II, 29 1393b, 23. Ex A^c et Tr. restituendum videtur *Αἴσωπος δὲ ἐν Σάμῳ δημηγορῶν δημαγωγοῦ κρινομένου περὶ θανάτου. δημηγορῶν* praeter morem dictum: correxerunt igitur *συνηγορῶν*, sed tum, nisi fallor, *ὑπὲρ* vix potest abesse.

Sic sanum videtur II, 20 1394a, 11 ubi A^c: *ἐπιλόγῳ χρώμενον τοῖς ἐνθυμήμασι.* Supervacanea sane correctio: *ἐπιλόγοις χρώμενον ἐπὶ τοῖς ἐνθυμήμασι.*

I, 5 1361a, 28 *τιμὴ δ' ἔστι μὲν σημεῖον εὐεργετικῆς εὐδοξίας* A^c. Iam si 1360b, 22 et 1361a, 25 comparabis, nihil discriminis intercedere inter vocabula *δόξαν* et *εὐδοξίαν* apud Aristotelem videbis. Multo usitatius vero *δόξα*. Itaque isti: *εὐεργετικῆς δόξης.*

Sic etiam I, 2 1356b, 18 *ῥητορείας* A^c Tr. et Dionys.

Digitized by Google

codd. firmatum non tulerunt et usitatum restituerunt: *ῥητορικῆς*.

Recte igitur et ad II, 23 1398b, 26 *εἰ ταῖς μὲν σεμναῖς θεαῖς καλῶς* (*ἱκανῶς* perverse det.) *εἶχεν, ἐν Ἀρείῳ πάγῳ δοῦναι τὰ δίκαια* Spengelius *τὰ δίκαια* tuitus est contra vulgatam ab istis restitutam lectionem: *δοῦναι δίκην*.

II, 24 1401a, 12 *ἐν δὲ τὸ παρὰ τὴν ὁμωνυμίαν, τὸ φάναι σπουδαῖον εἶναι μῦν*. Inusitatum sane illud *φάναι* sic nude positum; addunt igitur, quod vulgatum est, *ὡς*, cuius voculae ne Buhleum quidem miseruit.

Non ferendum istis videbatur, quod A^c exhibet ad I, 2 1358a, 3: *τῶν δὲ ἐνθυμημάτων μεγίστη διαφορὰ καὶ μάλιστα λεληθυῖα σχεδὸν παρὰ πᾶσίν ἐστιν*. Vulgatum et usitatum substituunt: *λεληθυῖα σχεδὸν πάντας*. Cf. 1359a, 3. 1397b, 25. 1401a, 5. 1403a, 15 et al.

Particula *μὲν* in priore membro omissa ab Aristotele vel maxime eos offendit et audacter intrudunt cf. I, 2 1356b, 31 A^c *τοῦτο γὰρ ἔντεχνον, τὸ δὲ καθ' ἕκαστον ἄπειρον*. Isti: aut *τοῦτο μὲν* aut *τοῦτο μὲν γὰρ*. Et sic saepe cf. II, 9 1387b, 19. I, 11 1370a, 19. III, 3 1406b, 10 et al. Sic etiam saepissime articulum, particulam *ὅτι* vel *ὡς*, alia, quae sine ulla offensione possunt abesse, repetunt in altero vel tertio membro.

b) Bellum autem indixisse videntur inconcinnitati Aristoteli propriae et plane singulari. Ex innumeris huius rei exemplis paucissima tantum proponenda videntur.

Sic I, 2 1355b, 30 *περὶ ὑγιεινῶν καὶ νοσερῶν* ex A^c et Tr. recepit Spengelius: recte ille quidem; nam quod deteriores exhibent *ὑγιεινὸν καὶ νοσερὸν* ideo correctum videtur, quod etiam in sequentibus *περὶ* semper cum accusativo coniunctum legitur. Sic II, 20 1394a, 6 *ῥᾷον* A^c correctum in *ῥάω* propter sequens *χρησιμώτερα* — Concinnitatis causa legunt II, 21 1395a, 5 *τὸ δὲ περὶ ὧν*

Digitized by Google

ἄπειρος, praecedit enim *τὸ μὲν μὴ τηλικοῦτον ὄντα.* — Rem variat Aristot. etiam ad II, 21 1395a, 23: *ἔστι δὲ παθητικὴ μέν,* sed det. *ἔστι δὲ παθητικῶς μὲν* propter praecedens *παθητικῶς εἰρημένη ᾗ.* — Sic etiam II, 12 1389a, 21 *μὴ,* quod A^c et Tr. habent, mutatum in *μήπω* propter v. 17 *διὰ τὸ μήπω τεθεωρηκέναι πολλὰς πονηρίας.* — Eodem modo II, 13 1390a, 4 *τὰ γὰρ πλείω τῶν γιγνομένων φαῦλά ἐστιν* pro *γιγνομένων* correxerunt *πραγμάτων* respicientes locum 1389b, 17 *καὶ τὰ πλείω φαῦλα εἶναι τῶν πραγμάτων.* Sic etiam II, 13 1389b, 33 *μᾶλλον* ex A^c et Tr. mutatum in *μάλιστα*; sequitur enim *καὶ οὗ δὲ ἐνδεεῖς τούτου μάλιστα ἐπιθυμεῖν.* — Sic variandi studio motus Aristoteles scripsit II, 19 1392a, 16 *καὶ οὗ ἡ ἀρχὴ δύναται γενέσθαι.* Isti concinnitatis causa *δυνατὴ γενέσθαι.* Ibidem v. 26 non sine aliqua probabilitatis specie scripserunt: *δυνατὸν ταῦτα καὶ εἶναι καὶ γενέσθαι* pro eo, quod est in A^c: *δυνατὰ ταῦτα καὶ ἔστι καὶ γίγνεται.* Et sic passim. Nolo enim exemplorum congeriem struere. Itaque etiam 1369a, 8. 1369b, 6 et aliis locis auctoritatem cod. A^c fidenter secuti sumus.

c) Etiam ne delicatas aures offenderet philosophus, iam provisum videtur ab his doctoribus Byzantinis.

Sic II, 20 1393a, 33 *καὶ γὰρ πρότερον Δαρεῖος οὐ πρότερον διέβη.* Quis ferat *πρότερον* et *πρότερον* sic positum? Itaque prius deleverunt. — Vix alia de causa III, 13 1413b, 22 *ὅπερ ὥσπερ ὁδοποιεῖ τῷ ὑποκρίνεσθαι* sustulerunt *ὥσπερ.* — Sic etiam 1412b, 9 *ἀλλ' ἄλλως* propter sequens deletum. — Similiter ex A^c et Tr. Vict. II, 23 1398b, 23 *ἢ αὐτοὶ οἱ κρίνοντες ἢ οὓς ἀποδέχονται οἱ κρίνοντες* recte restituit. Sed hi correctores alt. *οἱ κρίνοντες* omittunt, non casu puto, sed eodem consilio, quo etiam II, 22 1396a, 18 *σκοποῦντες τί ὑπάρχει τοιοῦτον αὐτοῖς ἢ δοκεῖ ὑπάρχειν* alt. *ὑπάρχειν* abiecerunt. — Nec latet causa

Digitized by Google

correctionis loco II, 7 1385b, 4 recte a Vahlenio ex A^c^ restitutus *εἴτε εἰδὼς εἴτε μὴ εἰδώς*; depravaverunt primum *εἰδότες*, tum alterum *εἰδώς* similiter ut supra *οἱ πρίνοντες* et *ὑπάρχειν* expunxerunt. Nec verum vidit Spengelius II, 1 1377b, 27 ubi A^c^ *καὶ τὸ πρὸς αὐτοὺς ὑπολαμβάνειν πως διακεῖσθαι αὐτόν*. Isti *ἔχειν πως*, et hoc sine dubio correctum puto, quod eos offendit eiusdem vocabuli *διακεῖσθαι* repetitio *διακείμενοί πως τυγχάνωσι* et *τὸ δὲ διακεῖσθαί πως*. — Similiter I, 15 1375b, 15 propter vocabuli *νόμου* incommodam repetitionem pro *πρὸς τὸν νόμον*, quod ex A^c^ recte recepit Spengelius, *πρὸς αὐτόν*. Itaque de veritate vocabuli *ὅμως* III, 1 1404a, 9, quod isti omittunt, non dubitare debebat Spengelius. Cf. et varietat. ad II, 3 1380b, 24. III, 5 1407b, 4.

d) Non raro praepositiones delent in verbis compositis, veluti

II, 7 1385b, 3 A^c^: *συνηναγκάσθησαν ΘΠ*: *ἠναγκάσθησαν* (propter praecedens *συνέπεσεν*?).

II, 13 1389b, 16 A^c^: *ἐξημαρτηκέναι ΘΠ*: *ἡμαρτηκέναι* (propter *ἐξηπατῆσθαι*?).

II, 21 1395b, 7 A^c^: *προϋπολαμβάνοντες ΘΠ*: *ὑπολαμβάνοντες*.

II, 23 1399b, 4 A^c^: *διαπεπραγμένους ΘΠ*: *πεπραγμένους*.

II, 3 1380b, 30 A^c^: *καταπραῦνειν ΘΠ*: *πραῦνειν*.

Cf. 1360a, 15. 1366a, 8. 1369b, 14. 18. 1379b, 7.

e) Haud raro etiam operam perdiderunt pro eis, quae universaliter dicta optimum praeberent sensum, peculiaria quaedam et propria substituentes. Cf. Vahlenium commentat. acad. p. 64.

Sic rectissime dictum A^c^ II, 2 1378b, 23 *ἔστι γὰρ ὕβρις τὸ πράττειν καὶ λέγειν, ἐφ' οἷς αἰσχύνη*. Quid isti? ... *ὕβρις τὸ βλάπτειν καὶ λυπεῖν, ἐφ' οἷς*. — Similiter A^c^ II, 4 1381a, 34 *παῖσαι* rectissime exhibet. Isti *τω-*

Digitized by Google

θάσαι quod falsissimum puto; nam *τωθάσαι* nunquam Graecis est *ἐμμελῶς σκώπτειν*. — Eodem modo II, 5 1383a, 10 *καὶ τοὺς τοιούτους*, quod A^c^ exhibet, expulerunt substituentes *καὶ τοὺς ὁμοίους*. — Similiter II, 13 1389b, 18 *ἀμφισβητοῦντες* pro *ἀμφιδοξοῦντες*, quod est in A^c^. Cf. et. 1391a, 27. 1392a, 3.

f) Denique quod summum discrimen inter meliorem et deteriorem recensionem intercedit, glossematum labes ubique invasit hos libros deteriores; plurima iam expulsa sunt cod. A^c^ auctoritate a Victorio. Continetur enim ibi hoc commentandi genus ut in omnibus codicibus antiquioribus intra fines modicos; tamen et ipse hac labe non vacuus est. Cf. adnotat. ad II, 20 1393b, 4 et III, 11 1411b, 30. Hoc vitio autem ubique foedissime inquinati sunt et libri deteriores et vetusta Gulielmi Translatio. Cf. hos locos praeter ceteros in tali re insignes: 1365a, 12. 1372a, 10. 1376b, 25. 27 (?). 33.

Pauca tantum singularia habet et modo ad meliorem, modo ad deteriorem recensionem declinat Vetusta Translatio. Quam ut magis quam qui ante me hos libros ediderunt, adsciscerem, factum est egregia Dittmeyeri mei dissertatione „Quae ratio inter vetustam Aristotelis rhetoricorum Translationem et Graecos codices intercedat“ Monachii MDCCCLXXXIII. Multa ibi egregie aut ingenio aut ope cod. Monac. 8003 m signati ab amico sagacissimo emendata sunt. Nec tamen ubique de verae scripturae fide constat, ut vix certum et tutum critices exercendae instrumentum illa translatio praebeat. Quamquam autem minime probandum videtur Dittmeyeri iudicium p. 68 prolatum „Si trium testium, qui ex eodem fonte, archetypum dico, hauserunt, duo idem praebent, auctoritate plerumque plus valent quam tertius“ (loco a Dittmeyero laudato A^c^ *ὅρον* legit), tamen hoc peculiare

Digitized by Google

habet Vetusta Translatio, quod paucis locis nobis servavit Aristotelis verba, quae in aliis codicibus interciderunt omnibus. Huius rei exemplum insigne primus detexit ex Translatione Dittmeyerus ad 1374a, 16 Dittm. p. 65, ubi glossemate illato (*ἔλαβε* = *ἔκλεψε* cf. et adnotat. ad 1405a, 27) genuina scriptura ita expulsa est ex codicibus omnibus, ut eius memoria sola Translationis fide servata sit (cf. et adnotat. ad 1379a, 21). Ad ipsa vero textus verba constituenda non sane multas peculiares exhibet lectiones, quas propter rationes a Dittmeyero expositas diligentius quam ceterorum codicum varietates examinavimus, recipere tamen atque comprobare dubitavimus.

Scholiorum, quae supersunt, duo genera exstant:

I. *Εἰς τὴν Ἀριστοτέλους ῥητορικὴν ὑπόμνημα ἀνώνυμον* Parisiis apud Conr. Neobarium 1539 foliis LXXXI comprehensa. Sed misera est textus eorum condicio multis modis aut emendandi, aut, quae labes multo etiam frequentior est, suo loco reponendi.

II. *Σχόλια τοῦ κυρίου Στεφάνου εἰς Ἀριστοτέλους τέχνην ῥητορικήν* edita 1839 ab I. A. Cramer in Anecdot. Paris. I 245—312.

Pauca sane peculiaria et bonae frugis habent hi commentarii (cf. adnotat. 1372a, 23. 1373b, 18. 1406a, 29. 31) futilissimis ubique repleti nugis atque ineptiis; tamen ne dubii haereamus, utrius recensionis vestigia sequantur, non omnibus quidem locis, tamen plurimis eorum lectiones enucleavimus et in adnotat. critica significavimus. Emendationes haud paucae, si tanti est, peti possunt ex codd. Graec. Monac. 90. 200. 234, de quibus oblata occasione accuratius disseram.

Restat, ut pauca addam de editionibus a me laudatis. Sunt autem hae:

Digitized by Google

Ald. = Aldus Manutius rhetorum Graecorum tom. prior fol. 161—234. Venet. 1508. (Huius editionis lectiones plerasque in adnot. crit. enotaverunt Paulus Geyer et Ioannes Melber.)

Venet. = Ed. ap. Ioa. Gryphium cum lectionis varietate in marg. appicta. Venet. 1546.

Vict. = Editiones Victorii cum commentariis amplissimis Florent. 1548 et 1579. Codicis A^c ope multa felicissime emendavit Victorius; praeterea tres alios libros litteris m p v notatos adhibuit.

Bas. Isingr. = ed. Bas. Isingriniana 1550, quae prima librorum capita distinxit.

Morel. = ed. Morelii Parisiis 1562.

Sylburg. = ed. Sylburgii Francof. 1584.

Buhl. = ed. Io. Theophil. Buhle. Vol. IV. Biponti 1793.

Gaisford. = curavit Thomas Gaisford Oxonii 1820. (Nomen eius in editione nusquam apparet.)

Bekker = ed. Berol. academica 1831.

Bekker^3 = rhet. tertium edita Berol. 1859.

Paris. = ed. Firmin Didot. Parisiis 1848.

Spengel. = ed. L. Spengel. Lipsiae Teubner 1867.

Cope = ed. Sandys. Cambridge 1877. III. vol. cum amplissimo commentario. (Talem textum post egregiam Spengelii operam lucem vidisse in patria Bentlei, iure mireris.)

Praeter ceteros egregie meruit M. Antonius Muretus, qui duos libros priores latine redditos Romae 1585 edidit. Cum enim ceteri in versionibus suis aut totidem verba Latina redderent aut verborum ambagibus sensum vel absconderent vel obruerent, Muretus fere solus ubique philosophi sententiam sermone perpolito atque elegantissimo expressit, praeterea autem singulari ingenii acumine locos plane desperatos felicissime emendavit, alios foedissimis

Digitized by Google

glossematum vitiis liberavit, aliis verbis recte transpositis medelam attulit.

Inter recentiores vero palmam assecutus est Leonardus Spengelius cum commentatione Academica „Ueber die Rhetorik des Aristoteles", Monach. 1851, tum editione supra laudata. Multa ibi egregie observata, emendata, iudicata sunt, sed semper summum eius meritum manebit, quod constantius, quam omnes ante eum editores, libri praestantissimi cod. A^{c} vestigia secutus est. Quas vero concinnitatis restituendae causa proposuit coniecturas, eae reiciendae sunt tantum non omnes, sunt aliae, quae magis librorum corruptelas coarguant, quam certam medelam afferant.

Ut autem de multis locis, qui Spengelio dubitationem vel suspicionem moverunt, nunc melius et certius possimus iudicare, immortale duorum virorum meritum est, Bonitzii et Vahlenii, qui viri more vere Germanico studiis attentis et severis, quam fallaci coniecturarum specie commendationem quaerere maluerunt. Inprimis Vahlenius et codicis A^{c} auctoritatis recte tenacissimus et in vitiis sanandis haud raro Spengelio felicior praeter commentationem Mus. Rhen. insertam IX p. 555—567 et commentat. academic. Vindob. 1861 in mantissa novissimae artis poeticae editioni addita nonnullos locos artis rhetoricae codicis A^{c} praesidio egregie emendatos exhibuit: has emendationes plerasque in textum recepimus, alias easque dubitationibus obnoxias in adnotatione critica indicavimus: in hac vero re plane me assentientem habet Vahlenius, quod omnem fere crisin et memoriam huius libelli dependere ab codicis A^{c} auctoritate iudicavit, recentiorum dubitationibus nec minuta nec labefactata.

Itaque nos lectiones paucas libri praestantissimi, quas iniuria nobis Spengelius vel improbasse vel sprevisse vi-

Digitized by Google

deretur, in textum restituimus et vel in levissimis rebus vestigia cod. A^{c} secuti *ν ἐφελκυστικὸν* addidimus, ubi codex addit, crasin etc. ex eius auctoritate admisimus, in *ἀδιαφόροις* denique omnibus hunc potissimum ducem habuimus. Cum autem omnis editionis criticae primum munus esse debeat, ut textus quasi historiam ante oculos nobis ponat, ut tota traditionis natura inde possit cognosci, nolui exemplum imitari Spengelii, qui solam cod. A^{c} varietatem enotavit et lectores de deteriorum librorum lectione aut nihil docuit aut ad commentarios suos relegans inutili labore vexavit. Itaque consensum codicum deteriorum ubique indicavimus, lectiones unius alteriusve codicis proprias et peculiares paucas tantum commemoravimus. Praeterea gravioribus tantum locis eos editores diserte nominavimus, qui lectione ex cod. A^{c} vel Translatione accepta de textus forma, qualis nunc exstat, bene meriti videntur.

Quae res si non semper bene nobis cessit, petimus et speramus veniam ab iis, qui varias talis rei difficultates ipsi iam experti sunt. Recentissimas vero coniecturas, quae non ita multae factae sunt quasque fuerunt qui specioso emendationum titulo se nobis venditare posse opinarentur, cum intenta mentis acie perlustrassemus, nonnullas in adnotatione critica communicavimus, plurimas memoratu indignas censuimus.

Scribebam Monachii mense Ianuario MDCCCLXXXV.

Adolphus Roemer.

Digitized by Google

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΤΕΧΝΗΣ ΡΗΤΟΡΙΚΗΣ Α.

---

1 Ἡ ῥητορική ἐστιν ἀντίστροφος τῇ διαλεκτικῇ· ἀμφότεραι 1354a
γὰρ περὶ τοιούτων τινῶν εἰσιν ἃ κοινὰ τρόπον τινὰ ἁπάντων
ἐστὶ γνωρίζειν καὶ οὐδεμιᾶς ἐπιστήμης ἀφωρισμένης. διὸ καὶ
πάντες τρόπον τινὰ μετέχουσιν ἀμφοῖν· πάντες γὰρ μέχρι
τινὸς καὶ ἐξετάζειν καὶ ὑπέχειν λόγον καὶ ἀπολογεῖσθαι 5
καὶ κατηγορεῖν ἐγχειροῦσιν. τῶν μὲν οὖν πολλῶν οἱ μὲν εἰκῇ
ταῦτα δρῶσιν, οἱ δὲ διὰ συνήθειαν ἀπὸ ἕξεως. ἐπεὶ δ' ἀμ-
φοτέρως ἐνδέχεται, δῆλον ὅτι εἴη ἂν αὐτὰ καὶ ὁδοποιεῖν·
δι' ὃ γὰρ ἐπιτυγχάνουσιν οἵ τε διὰ συνήθειαν καὶ οἱ ἀπὸ
τοῦ αὐτομάτου, τὴν αἰτίαν θεωρεῖν ἐνδέχεται, τὸ δὲ τοιοῦτον 10
ἤδη πάντες ἂν ὁμολογήσαιεν τέχνης ἔργον εἶναι. νῦν μὲν
οὖν οἱ τὰς τέχνας τῶν λόγων συντιθέντες ὀλίγον πεποιήκασιν
αὐτῆς μόριον· αἱ γὰρ πίστεις ἔντεχνόν ἐστι μόνον, τὰ δ'
ἄλλα προσθῆκαι· οἱ δὲ περὶ μὲν ἐνθυμημάτων οὐδὲν λέγου-

Liber I. 1354a, 2 „*quae communiter*" (κοινῇ) Tr. cf. et variet. ad 1358a, 12 et 32 ‖ 3 *διὸ* καὶ *ου* sic Z^b *καὶ* alt. man. ‖ 7 *οἱ δὲ καὶ διά* D Ald. ‖ *διὰ συνήθειαν καὶ ἀπὸ ἕξεως* Basil. ‖ 8 *ἀμφοτέρως* A^c Tr. E Q Venet. *ἀμφότερα* $Y^b Z^b$ B C D Ald. ‖ *ὁδωποιεῖν* A^c pr., nunc ex corr. *ὁδοποιεῖν* ‖ 10 *ταὐτομάτου Θ Π ταὐτομάτου, τούτου τὴν* Q E Tr. ‖ 12 *πεπορίκασι* Q(?) Bekker ‖ *οὐδὲν ὡς εἰπεῖν πεπορίκασιν αὐτῆς μόριον* A^c in marg. eadem man., sed est interpretatio, non lectionis varietas cf. Mus. Rhen. N. F. XXXIX, pag. 494 ‖ „*modicam adepti sunt ipsius partem*" (*ὀλίγου τετυχήκασιν αὐτῆς μορίου*) Tr. ‖ 13 *αὐτῆς* A^c Tr. $Y^b Z^b$ E Venet. *αὐτοῦ* Q(?) B D Ald. *αὐτῶν* C ‖ *ἐστιν* A^c pr., nunc *ν* erasum ut infra *κρίνουσιν* ‖ 14 *προσθῆκαι* A^c Tr. Venet. *προσθήκη* $Y^b Z^b$ B D Ald.

Digitized by Google

15 σιν, ὅπερ ἐστὶ σῶμα τῆς πίστεως, περὶ δὲ τῶν ἔξω τοῦ πράγματος τὰ πλεῖστα πραγματεύονται· διαβολὴ γὰρ καὶ ἔλεος καὶ ὀργὴ καὶ τὰ τοιαῦτα πάθη τῆς ψυχῆς οὐ περὶ τοῦ πράγματός ἐστιν ἀλλὰ πρὸς τὸν δικαστήν. ὥστ' εἰ περὶ πάσας ἦν τὰς κρίσεις καθάπερ ἐν ἐνίαις γε νῦν ἐστὶ τῶν πό-
20 λεων καὶ μάλιστα ταῖς εὐνομουμέναις, οὐδὲν ἂν εἶχον ὅ τι λέγωσιν· ἅπαντες γὰρ οἱ μὲν οἴονται δεῖν οὕτω τοὺς νόμους ἀγορεύειν, οἱ δὲ καὶ χρῶνται καὶ κωλύουσιν ἔξω τοῦ πράγματος λέγειν, καθάπερ καὶ ἐν Ἀρείῳ πάγῳ, ὀρθῶς τοῦτο νομίζοντες· οὐ γὰρ δεῖ τὸν δικαστὴν διαστρέφειν εἰς ὀργὴν
25 προάγοντας ἢ φθόνον ἢ ἔλεον· (ὅμοιον γὰρ κἂν εἴ τις ᾧ μέλλει χρῆσθαι κανόνι, τοῦτον ποιήσειε στρεβλόν)· ἔτι δὲ φανερὸν ὅτι τοῦ μὲν ἀμφισβητοῦντος οὐδέν ἐστιν ἔξω τοῦ δεῖξαι τὸ πρᾶγμα ὅτι ἔστιν ἢ οὐκ ἔστιν ἢ γέγονεν ἢ οὐ γέγονεν· εἰ δὲ μέγα ἢ μικρὸν ἢ δίκαιον ἢ ἄδικον, ὅσα μὴ ὁ νομοθέτης
30 διώρικεν, αὐτὸν δή που τὸν δικαστὴν δεῖ γιγνώσκειν καὶ οὐ μανθάνειν παρὰ τῶν ἀμφισβητούντων. μάλιστα μὲν οὖν προσήκει τοὺς ὀρθῶς κειμένους νόμους, ὅσα ἐνδέχεται, πάντα διορίζειν αὐτούς, καὶ ὅτι ἐλάχιστα καταλείπειν ἐπὶ τοῖς κρίνουσι, πρῶτον μὲν ὅτι ἕνα λαβεῖν καὶ ὀλίγους ῥᾷον ἢ πολλοὺς

15 *ῥῶμα* (*ῥώμη*) *τῆς πίστεως* ex vetere libro, qui nullus est, Muretus cf. 1354a, 19. 1354b, 9. 1399a, 15 ‖ 19 *τὰς κρίσεις* vetustis libris, qui nusquam apparuerunt, suadentibus delere voluit Muretus ‖ *ἐν ἐνίαις γε* E Spengel *τε* cet. at cf. 1355b, 4, ubi *τε* respondet *καὶ μάλιστα* ‖ *καθάπερ* ⟨*περὶ δίκας* (?) *τινὰς*⟩ *ἐν ἐνίαις γε* coni. Spengel *καθάπερ* ⟨*περὶ ἐνίας*⟩ *ἐν ἐνίαις* coni. Susemihl ‖ „*si circa omnia essent iudicia*“ Tr. (?) ‖ 21 *λέγωσιν* A^c pr., rec. man. correxit *λέγουσιν*, quod habent Y^b Z^b *Π* cf. variet. 1372a, 36. 1400b, 6 ‖ *λέξουσιν* Q ‖ 25 „*Ad iram provocantes aut timorem aut inimicitiam*“ Tr. Omisso *ἔλεον* (cf. 1419b, 25) vertit quod legitur marg. A^c: *γρ. ἢ φόβον ἢ ἔχθραν* ‖ melius abesset *φθόνον*; nam duobus tantum verbis contrariis talia notare solet cf. 1354b, 9—11. 1404a, 5. 1408b,

15. 1415a, 35 ‖ 26 *ποιήσε* sic A^c, pr. man. *ποιήσειε*, quod et BCY^b habent et pr. dedit Veneta, exarasse videtur, post. man. *ε* delevit ‖ *ποιήσει* DE ‖ *ποιήση* QZ^b.

Digitized by Google

εὖ φρονοῦντας καὶ δυναμένους νομοθετεῖν καὶ δικάζειν· ἔπειθ' 1354 b
αἱ μὲν νομοθεσίαι ἐκ πολλοῦ χρόνου σκεψαμένων γίνονται,
αἱ δὲ κρίσεις ἐξ ὑπογυίου, ὥστε χαλεπὸν ἀποδιδόναι τὸ δί-
καιον καὶ τὸ συμφέρον καλῶς τοὺς κρίνοντας. τὸ δὲ πάντων
μέγιστον, ὅτι ἡ μὲν τοῦ νομοθέτου κρίσις οὐ κατὰ μέ- 5
ρος ἀλλὰ περὶ μελλόντων τε καὶ καθόλου ἐστίν, ὁ δ'
ἐκκλησιαστὴς καὶ δικαστὴς ἤδη περὶ παρόντων καὶ
ἀφωρισμένων κρίνουσιν· πρὸς οὓς καὶ τὸ φιλεῖν ἤδη καὶ
τὸ μισεῖν καὶ τὸ ἴδιον συμφέρον συνῄρηται πολλάκις,
ὥστε μηκέτι δύνασθαι θεωρεῖν ἱκανῶς τὸ ἀληθές, ἀλλ' 10
ἐπισκοτεῖν τῇ κρίσει τὸ ἴδιον ἡδὺ ἢ λυπηρόν. περὶ μὲν οὖν
τῶν ἄλλων, ὥσπερ λέγομεν, δεῖ ὡς ἐλαχίστων ποιεῖν κύ-
ριον τὸν κριτήν, περὶ δὲ τοῦ γεγονέναι ἢ μὴ γεγονέναι,
ἢ ἔσεσθαι ἢ μὴ ἔσεσθαι, ἢ εἶναι ἢ μὴ εἶναι ἀνάγκη ἐπὶ
τοῖς κριταῖς καταλείπειν· οὐ γὰρ δυνατὸν ταῦτα τὸν νο- 15
μοθέτην προϊδεῖν. εἰ δὴ ταῦθ' οὕτως ἔχει, φανερὸν ὅτι τὰ
ἔξω τοῦ πράγματος τεχνολογοῦσιν ὅσοι τἆλλα διορίζου-
σιν, οἷον τί δεῖ τὸ προοίμιον ἢ τὴν διήγησιν ἔχειν, καὶ τῶν
ἄλλων ἕκαστον μορίων· οὐδὲν γὰρ ἐν αὐτοῖς ἄλλο πρα-
γματεύονται πλὴν ὅπως τὸν κριτὴν ποιόν τινα ποιήσωσιν, 20
περὶ δὲ τῶν ἐντέχνων πίστεων οὐδὲν δεικνύουσιν, τοῦτο δ' ἐστὶν
ὅθεν ἄν τις γένοιτο ἐνθυμηματικός. διὰ γὰρ τοῦτο τῆς αὐτῆς
οὔσης μεθόδου περὶ τὰ δημηγορικὰ καὶ δικανικὰ καὶ καλ-
λίονος καὶ πολιτικωτέρας τῆς δημηγορικῆς πραγματείας

1354 b, 4 τοὺς ante κρίνοντας om. $Y^b Z^b$ BCD || κρινοντᾶς A^c || 5 Post μέρος οὔτε περὶ τῶν παρόντων QDE ex Aldino libro propagatum in cet. secl. Buhle || 9 συνῄρηται libri omnes συνήρτηται, quod praefert Muretus, ed. Venet. in textu, συνῄρηται in marg. συναίρεται coni. Kayser || 11 ἐπισκοπεῖν BTr. A^c pr., nunc ex emendatione ἐπισκοτεῖν, quod iam dedit Ald. || „*attendere in iudicio*" (ἐπισκοπεῖν ἐν τῇ κρίσει) Tr. at cf. Tr. ad 1406 a, 36 || 12 ὡς ἐλάχιστον Y^b pr. ead. man. emendavit ἐλαχίστων || 14 Ante ἀνάγκη signum ><, cui respondet in marg. ἀνάπαλιν A^c, sed explicatio potius, quam varietas, ut supra 1354 a, 12 || 16 δὴ ex corr. A^c || 17 ὅσοι τἆλλα διορίζουσιν om. C || 21 „*nihil determinant*" (διορίζουσι) Tr.

Digitized by Google

25 οὔσης ἢ τῆς περὶ τὰ συναλλάγματα, περὶ μὲν ἐκείνης οὐδὲν λέγουσι, περὶ δὲ τοῦ δικάζεσθαι πάντες πειρῶνται τεχνολογεῖν, ὅτι ἧττόν ἐστι πρὸ ἔργου τὰ ἔξω τοῦ πράγματος λέγειν ἐν τοῖς δημηγορικοῖς καὶ ἧττόν ἐστι κακοῦργον ἡ δημηγορία δικολογίας, ὅτι κοινότερον. ἐνταῦθα μὲν γὰρ ὁ κριτὴς 30 περὶ οἰκείων κρίνει, ὥστ' οὐδὲν ἄλλο δεῖ πλὴν ἀποδεῖξαι ὅτι οὕτως ἔχει ὡς φησιν ὁ συμβουλεύων· ἐν δὲ τοῖς δικανικοῖς οὐχ ἱκανὸν τοῦτο, ἀλλὰ πρὸ ἔργου ἐστὶν ἀναλαβεῖν τὸν ἀκροατήν· περὶ ἀλλοτρίων γὰρ ἡ κρίσις, ὥστε πρὸς τὸ αὐτῶν σκοπούμενοι καὶ πρὸς χάριν ἀκροώμενοι διδόασι τοῖς ἀμφισβη-1355a τοῦσιν, ἀλλ' οὐ κρίνουσιν. διὸ καὶ πολλαχοῦ, ὥσπερ πρότερον εἴπομεν, ὁ νόμος κωλύει λέγειν ἔξω τοῦ πράγματος· ἐκεῖ δ' αὐτοὶ οἱ κριταὶ τοῦτο τηροῦσιν ἱκανῶς. ἐπεὶ δὲ φανερόν ἐστιν ὅτι ἡ μὲν ἔντεχνος μέθοδος περὶ τὰς πίστεις ἐστίν, ἡ δὲ 5 πίστις ἀπόδειξίς τις· (τότε γὰρ πιστεύομεν μάλιστα ὅταν ἀποδεδεῖχθαι ὑπολάβωμεν,) ἔστι δ' ἀπόδειξις ῥητορικὴ ἐνθύμημα, καὶ ἔστι τοῦτο ὡς εἰπεῖν ἁπλῶς κυριώτατον τῶν πίστεων, τὸ δ' ἐνθύμημα συλλογισμός τις, περὶ δὲ συλλογισμοῦ ὁμοίως ἅπαντος τῆς διαλεκτικῆς ἐστιν ἰδεῖν, ἢ αὐτῆς ὅλης ἢ 10 μέρους τινός, δῆλον [δ'] ὅτι ὁ μάλιστα τοῦτο δυνάμενος θεωρεῖν, ἐκ τίνων καὶ πῶς γίνεται συλλογισμός, οὗτος καὶ ἐνθυ-

25 οὔσης om. Tr. ‖ 29 δικολογίας ὅτι κοινότερον ~~ἀλλὰ καινότερον~~ sic A^c, postrema verba deleta, sed ὅτι pr., ut videtur, man. est et sic etiam Tr. et C; itaque cum Vahlenio recepi. De toto loco cf. Mus. Rhen. N. F. XXXIX, p. 495 ‖ δικολογίας ἀλλὰ κοινότερον QZ^{b}DE et pr. Y^b et B Spengel ‖ ἔνθα A^c corr. ead. man. ‖ 1355a, 1 καὶ ante πολλαχοῦ om. Tr. ‖ καὶ ante πρότερον addunt ΘΠTr. om. A^c, quem secutus sum. cf. Polit. 1253b, 20 καθάπερ εἴπομεν ἀρχόμενοι et Rhet. 1356a, 31 ‖ 2 εἴπομεν ex Tr. Spengel εἶπον cet. ‖ „lex prohibet quidem" Tr. (an ὁ μὲν νόμος propter oppositum: ἐκεῖ δ' αὐτοὶ οἱ κριταί?) ‖ 3 αὐτὸ οἱ κριταί A^c pr., sed ι postea additum ‖ τοῦτο om. B ‖ 5 τις om. Tr. ‖ 9 ὁμοίως om. Tr. ‖ 10 μέρους μορίου BY^b ‖ δ' om. QCETr. et compl. ed. vet. pr. secl. Buhle δὴ coni. Susem. ‖ 11 ὁ συλλογισμός BCY^b.

Digitized by Google

μηματικὸς ἂν εἴη μάλιστα, προσλαβὼν περὶ ποῖά τέ ἐστι τὰ ἐνθυμήματα καὶ τίνας ἔχει διαφορὰς πρὸς τοὺς λογικοὺς συλλογισμούς. τό τε γὰρ ἀληθὲς καὶ τὸ ὅμοιον τῷ ἀληθεῖ τῆς αὐτῆς ἐστι δυνάμεως ἰδεῖν, ἅμα δὲ καὶ οἱ ἄνθρωποι 15 πρὸς τὸ ἀληθὲς πεφύκασιν ἱκανῶς καὶ τὰ πλείω τυγχάνουσι τῆς ἀληθείας· διὸ πρὸς τὰ ἔνδοξα στοχαστικῶς ἔχειν τοῦ ὁμοίως ἔχοντος καὶ πρὸς τὴν ἀλήθειαν ἐστιν.

ὅτι μὲν οὖν τὰ ἔξω τοῦ πράγματος οἱ ἄλλοι τεχνολογοῦσι, καὶ διότι μᾶλλον ἀπονενεύκασι πρὸς τὸ δικολογεῖν, φανερόν· 20 χρήσιμος δέ ἐστιν ἡ ῥητορικὴ διά τε τὸ φύσει εἶναι κρείττω τἀληθῆ καὶ τὰ δίκαια τῶν ἐναντίων, ὥστε ἐὰν μὴ κατὰ τὸ προσῆκον αἱ κρίσεις γίγνωνται, ἀνάγκη δι' αὐτῶν ἡττᾶσθαι. τοῦτο δ' ἐστὶν ἄξιον ἐπιτιμήσεως. ἔτι δὲ πρὸς ἐνίους οὐδ' εἰ τὴν ἀκριβεστάτην ἔχοιμεν ἐπιστήμην, ῥᾴδιον ἀπ' ἐκείνης πεῖσαι λέγοντας· 25 διδασκαλίας γάρ ἐστιν ὁ κατὰ τὴν ἐπιστήμην λόγος, τοῦτο δὲ ἀδύνατον, ἀλλ' ἀνάγκη διὰ τῶν κοινῶν ποιεῖσθαι τὰς πίστεις καὶ τοὺς λόγους, ὥσπερ καὶ ἐν τοῖς τοπικοῖς ἐλέγομεν περὶ τῆς πρὸς τοὺς πολλοὺς ἐντεύξεως. ἔτι δὲ τἀναντία δεῖ δύνασθαι πείθειν, καθάπερ καὶ ἐν τοῖς συλλογισμοῖς, οὐχ ὅπως ἀμ- 30 φότερα πράττωμεν (οὐ γὰρ δεῖ τὰ φαῦλα πείθειν) ἀλλ' ἵνα μήτε λανθάνῃ πῶς ἔχει, καὶ ὅπως ἄλλου χρωμένου μὴ δικαίως

12 ποῖά τινα Tr. cf. 1356 a, 24. 1359 b, 35 ‖ ἐστὶ om. C ‖ 13 τὸ ἐνθύμημα Tr. et A^c pr., sed emendatum τὰ ἐνθυμήματα; proba videtur pr. man. lectio cf. 1357 a, 13 et Mus. Rhen. N. F. XXXIX pag. 495 ‖ 16 πλεῖστα Y^b C ‖ 19 οἱ] καὶ οἱ ΘΠ ‖ „negotiantur" (πραγματεύονται) Tr. ‖ 21 διά γε τό Dionys. ad Ammaeum cap. VI ‖ τὸ om. Z^b Ald. ‖ ταληθές Y^b ‖ 22 μὴ ead. man. super lineam A^c μὲν plures Dionysii libri ‖ Muretus legit φύσει μὲν et addit post ἐναντίων ⟨οὐκ ἀεὶ δὲ καὶ τοῖς πολλοῖς τάδε εὐπιστότερα τῶν ἐναντίων⟩ sic vertens „non tamen semper etiam in vulgus faciliora ad persuadendum." Ad sensum cf. 1373 a, 5 sqq. ‖ 24 Non ἐνίους, sed τοὺς πολλοὺς legisse videtur rhetor, quem laudat Spengel Comment. p. 24 ‖ 26 διδασκαλία Dionys. libri ‖ ἐστιν et τοῦτο δὲ ἀδύνατον om. C ‖ 31 „prava agere" (ποιεῖν vel πράττειν) Tr. ‖ τὰ φαῦλα ποιεῖν marg. ed. Isingr.

Digitized by Google

[τοῖς λόγοις] αὐτοῖς λύειν ἔχωμεν. τῶν μὲν οὖν ἄλλων τεχνῶν οὐδεμία τἀναντία συλλογίζεται, ἡ δὲ διαλεκτικὴ
35 καὶ ἡ ῥητορικὴ μόναι τοῦτο ποιοῦσιν· ὁμοίως γάρ εἰσιν ἀμφότεραι τῶν ἐναντίων. τὰ μέντοι ὑποκείμενα πράγματα οὐχ ὁμοίως ἔχει, ἀλλ' ἀεὶ τἀληθῆ καὶ τὰ βελτίω τῇ φύσει εὐσυλλογιστότερα καὶ πιθανώτερα ὡς ἁπλῶς εἰπεῖν. πρὸς δὲ τούτοις ἄτοπον εἰ τῷ σώματι μὲν αἰσχρὸν μὴ δύνασθαι
1355b βοηθεῖν ἑαυτῷ, λόγῳ δ' οὐκ αἰσχρόν· ὃ μᾶλλον ἴδιόν ἐστιν ἀνθρώπου τῆς τοῦ σώματος χρείας. εἰ δ' ὅτι μεγάλα βλάψειεν ἂν ὁ χρώμενος ἀδίκως τῇ τοιαύτῃ δυνάμει τῶν λόγων, τοῦτό γε κοινόν ἐστι κατὰ πάντων τῶν ἀγαθῶν πλὴν
5 ἀρετῆς, καὶ μάλιστα κατὰ τῶν χρησιμωτάτων, οἷον ἰσχύος ὑγιείας πλούτου στρατηγίας· τούτοις γὰρ ἄν τις ὠφελήσειεν τὰ μέγιστα χρώμενος δικαίως καὶ βλάψειεν ἀδίκως.

ὅτι μὲν οὖν οὐκ ἔστιν οὔτε ἑνός τινος γένους ἀφωρισμένου ἡ ῥητορική, ἀλλὰ καθάπερ ἡ διαλεκτική, καὶ ὅτι χρήσιμος, φανε-
10 ρόν, καὶ ὅτι οὐ τὸ πεῖσαι ἔργον αὐτῆς, ἀλλὰ τὸ ἰδεῖν τὰ ὑπάρχοντα πιθανὰ περὶ ἕκαστον, καθάπερ καὶ ἐν ταῖς ἄλλαις τέχναις πάσαις (οὐδὲ γὰρ ἰατρικῆς τὸ ὑγιᾶ ποιῆσαι, ἀλλὰ μέχρι οὗ ἐνδέχεται, μέχρι τούτου προαγαγεῖν. ἔστιν γὰρ καὶ τοὺς ἀδυνάτους μεταλαβεῖν ὑγιείας ὅμως θεραπεῦσαι καλῶς)
15 πρὸς δὲ τούτοις ὅτι τῆς αὐτῆς τό τε πιθανὸν καὶ τὸ φαινόμενον ἰδεῖν πιθανόν, ὥσπερ καὶ ἐπὶ τῆς διαλεκτικῆς συλλο-

33 *μὴ δικαίως τοῖς λόγοις αὐτοῖς* A^{c}Tr. ‖ *τοῖς λόγοις μὴ δικαίως αὐτοῖς* Y^{b}Z^{b} ‖ *τοῖς λόγοις αὐτοῖς μὴ δικαίως* BCDAld. et Veneta ubi *λύειν αὐτοί* ‖ *τοῖς λόγοις αὐτοῖς μὴ δικαίως αὐτοὶ λύειν* E ‖ *τοῖς λόγοις μὴ δικαίως αὐτοὶ λύειν* Q(?) Bekker ‖ *τοῖς λόγοις* delevit Spengel ‖ 38 *ἁπλῶς*] *γρ. ἀληθῶς* A^{c} marg.], quod vertit Tr. ‖ 39 *δὲ* om. *ΘΠ* ‖ 1355b, 1 *ἑαυτῶν* A^{c} cf. 1372b, 1 ‖ 4 *γε* Q(?) *τι* DE ceteri omnes et Tr. *τε*. cf. ad 1354a, 19 ‖ 6 „*talibus enim*" (*τοιούτοις*) Tr. ‖ 9 Post *διαλεκτικὴ* alterum membrum ⟨*οὔτε ἡ ἔντεχνος περὶ ἄλλο τι ἢ τὰς πίστεις καὶ μάλιστα περὶ τὰ ἐνθυμήματά ἐστι*⟩ vel similis sententiae excidisse putant Thurot. Susemihl ‖ 12 *οὐ γὰρ* C ‖ „*sanitates* vel *sanitatem*" Tr. ‖ 15 *τε*] *γε* ΘCE.

Digitized by Google

γισμόν τε καὶ φαινόμενον συλλογισμόν (ἡ γὰρ σοφιστικὴ
οὐκ ἐν τῇ δυνάμει ἀλλ' ἐν τῇ προαιρέσει· πλὴν ἐνταῦθα μὲν
ἔσται ὁ μὲν κατὰ τὴν ἐπιστήμην ὁ δὲ κατὰ τὴν προαίρεσιν
ῥήτωρ, ἐκεῖ δὲ σοφιστὴς μὲν κατὰ τὴν προαίρεσιν, διαλεκτι- 20
κὸς δὲ οὐ κατὰ τὴν προαίρεσιν ἀλλὰ κατὰ τὴν δύναμιν)
περὶ δὲ αὐτῆς ἤδη τῆς μεθόδου πειρώμεθα λέγειν, πῶς τε καὶ
ἐκ τίνων δυνησόμεθα τυγχάνειν τῶν προκειμένων. πάλιν οὖν
οἷον ἐξ ὑπαρχῆς ὁρισάμενοι αὐτὴν τίς ἐστι, λέγωμεν τὰ λοιπά.
2 ἔστω δὴ ῥητορικὴ δύναμις περὶ ἕκαστον τοῦ θεωρῆσαι 25
τὸ ἐνδεχόμενον πιθανόν. τοῦτο γὰρ οὐδεμιᾶς ἑτέρας ἐστὶ
τέχνης ἔργον· τῶν γὰρ ἄλλων ἑκάστη περὶ τὸ αὐτῇ ὑπο-
κείμενόν ἐστιν διδασκαλικὴ καὶ πειστική, οἷον ἰατρικὴ περὶ
ὑγιεινῶν καὶ νοσερῶν καὶ γεωμετρία περὶ τὰ συμβεβηκότα
πάθη τοῖς μεγέθεσι καὶ ἀριθμητικὴ περὶ ἀριθμῶν, ὁμοίως δὲ 30
καὶ αἱ λοιπαὶ τῶν τεχνῶν καὶ ἐπιστημῶν· ἡ δὲ ῥητορικὴ
περὶ τοῦ δοθέντος ὡς εἰπεῖν δοκεῖ δύνασθαι θεωρεῖν τὸ πιθα-
νόν, διὸ καί φαμεν αὐτὴν οὐ περί τι γένος ἴδιον ἀφωρισμέ-
νον ἔχειν τὸ τεχνικόν.

τῶν δὲ πίστεων αἱ μὲν ἄτεχνοί εἰσιν αἱ δ' ἔντεχνοι. ἄτεχνα 35
δὲ λέγω ὅσα μὴ δι' ἡμῶν πεπόρισται ἀλλὰ προϋπῆρχεν, οἷον
μάρτυρες βάσανοι συγγραφαὶ καὶ ὅσα τοιαῦτα, ἔντεχνα δὲ
ὅσα διὰ τῆς μεθόδου καὶ δι' ἡμῶν κατασκευασθῆναι δυνατόν,
ὥστε δεῖ τούτων τοῖς μὲν χρήσασθαι τὰ δὲ εὑρεῖν.

τῶν δὲ διὰ τοῦ λόγου ποριζομένων πίστεων τρία εἴδη 1356a
ἐστίν· αἱ μὲν γάρ εἰσιν ἐν τῷ ἤθει τοῦ λέγοντος, αἱ δὲ
ἐν τῷ τὸν ἀκροατὴν διαθεῖναί πως, αἱ δὲ ἐν αὐτῷ τῷ

17 τε . . . *συλλογισμόν* ead. man. addidit in marg. A^c ‖ *ἡ γὰρ σοφιστικὴ* A^{c}Tr. Spengel *ὁ γὰρ σοφιστικός Θ Π* ‖ 24 *λέγομεν* ΘBD ‖ 25 *ἔστι* Tr. ‖ *δ' ἡ* EAld. ‖ *δὲ* Q ‖ *δή* ex optimis libris pr. Vict. ‖ *δύναμις ῥητορική* Tr. ‖ 28 *πιστική* A^{c}Tr. (?) DE et sic Ald. Venet. Gaisford ‖ 29 *περὶ ὑγιεινῶν καὶ νοσερῶν* A^{c}Tr. Spengel *ὑγιεινὸν καὶ νοσερόν* cet. cf. variet. ad 1356a, 7 ‖ 30 *ἀριθμῶν* A^c Spengel *ἀριθμόν* ΘTr. et *Π* praeter C, ubi *ἀριθμοῦ* cf. 1356a, 7 ‖ 37 *καὶ ὅσα τοιαῦτα* ex A^c et Tr. Vict. om. *ΘΠ* ‖ 39 *καὶ εὑρεῖν* Muretus apud Riccobonum ‖ 1356a, 3 *διατίθεσθαι* Tr.

Digitized by Google

λόγῳ διὰ τοῦ δεικνύναι ἢ φαίνεσθαι δεικνύναι. διὰ μὲν
5 *οὖν τοῦ ἤθους, ὅταν οὕτω λεχθῇ ὁ λόγος ὥστε ἀξιόπιστον ποιῆσαι τὸν λέγοντα· τοῖς γὰρ ἐπιεικέσι πιστεύομεν μᾶλλον καὶ θᾶττον, περὶ πάντων μὲν ἁπλῶς, ἐν οἷς δὲ τὸ ἀκριβὲς μή ἐστιν ἀλλὰ τὸ ἀμφιδοξεῖν, καὶ παντελῶς. δεῖ δὲ καὶ τοῦτο συμβαίνειν διὰ τοῦ λόγου, ἀλλὰ μὴ διὰ τοῦ*
10 *προδεδοξάσθαι ποιόν τινα εἶναι τὸν λέγοντα· οὐ γὰρ ὥσπερ ἔνιοι τῶν τεχνολογούντων τιθέασιν ἐν τῇ τέχνῃ καὶ τὴν ἐπιείκειαν τοῦ λέγοντος ὡς οὐδὲν συμβαλλομένην πρὸς τὸ πιθανόν, ἀλλὰ σχεδὸν ὡς εἰπεῖν κυριωτάτην ἔχει πίστιν τὸ ἦθος. διὰ δὲ τῶν ἀκροατῶν, ὅταν εἰς πάθος ὑπὸ τοῦ λόγου προα-*
15 *χθῶσιν· οὐ γὰρ ὁμοίως ἀποδίδομεν τὰς κρίσεις λυπούμενοι καὶ χαίροντες ἢ φιλοῦντες καὶ μισοῦντες· πρὸς ὃ καὶ μόνον πειρᾶσθαί φαμεν πραγματεύεσθαι τοὺς νῦν τεχνολογοῦντας. περὶ μὲν οὖν τούτων δηλωθήσεται καθ' ἕκαστον, ὅταν περὶ τῶν παθῶν λέγωμεν· διὰ δὲ τοῦ λόγου πιστεύουσιν, ὅταν ἀληθὲς*
20 *ἢ φαινόμενον δείξωμεν ἐκ τῶν περὶ ἕκαστα πιθανῶν. ἐπεὶ δ' αἱ πίστεις διὰ τούτων εἰσί, φανερὸν ὅτι ταῦτα [τὰ τρία] ἐστὶν*

5 *οὖν* eadem man. supra lineam A^c om. Tr. ‖ 7 *περὶ πάντα* QDE ‖ 8 *μὴ ἔσται ΘΠ* ‖ *ἀμφιδοξοῦμεν* Tr. ‖ 9 *καὶ συμβαίνειν τοῦτο* Tr. ‖ *διὰ τοῦ λόγου* et *τοῦ προδεδοξάσθαι* A^c Spengel *διὰ τὸν λόγον* et *τὸ προδεδοξάσθαι ΘΠ* ‖ „*non per orationem* (*διὰ τοῦ λόγου*), *sed propter praeopinari*" (*διὰ τὸ προδεδόξασθαι*) Tr. (quod aperte falsum est) cf. adnot. crit. infra 19 ‖ 11 *τεχνολογούντων, οἳ οὐ τιθέασιν ἐν τῇ τέχνῃ τὴν ἐπιείκειαν* probante Fr. A Wolfio Lambinus ‖ *καὶ* ante *ἐπιείκειαν* om. *ΘΠ* Tr. Ald. Venet. in versione Muretus secl. Gaisford; ceterum cf. Mus. Rhen. N. F. XXXIX pag. 495 ‖ 12 *τοῦ λέγοντος* ead. man. addidit in marg. A^c ‖ *συμβαλλομένου* ΘBC Ald. ‖ 17 „*tentasse*" (*πειράσασθαι* vel *πεπειρᾶσθαι*) Tr. ‖ 19 *τοῦ λόγου* dedit Spengel *τὸν λόγον* A^c *τῶν λόγων ΘΠ* Tr. cf. supra 9 ‖ *πιστεύομεν* Tr. *πιστεύουσι* secl. Spengel, Vahlen, Bekker[3]; cessimus tamen librorum auctoritati et uncos sustulimus collatis locis imprimis 1369 a, 35—1369 b, 16 ubi in ultimo membro *δι' ἐπιθυμίαν δὲ πράττεται* et 1372 a, 15, aliis. Cf. Mus. Rhen. N. F. XXXIX pag. 495 sqq. ‖ 20 Post *φαινόμενον* ⟨*ἀληθὲς*⟩ addiderunt Spengel et Bekker[3], quod non necessarium esse ostendit 1369 b, 26. cf. Mus. Rhen. N. F. XXXIX pag. 496 ‖ 21 *ταύτας* A^c pr. (nescio an recte), sed

Digitized by Google

λαβεῖν τοῦ συλλογίσασθαι δυναμένου καὶ τοῦ θεωρῆσαι περὶ τὰ ἤθη καὶ περὶ τὰς ἀρετὰς καὶ τρίτον τοῦ περὶ τὰ πάθη, τί τε ἕκαστόν ἐστιν τῶν παθῶν καὶ ποῖόν τι, καὶ ἐκ τίνων ἐγγίνεται καὶ πῶς, ὥστε συμβαίνει τὴν ῥητορικὴν οἷον παραφυές τι 25 *τῆς διαλεκτικῆς εἶναι καὶ τῆς περὶ τὰ ἤθη πραγματείας, ἣν δίκαιόν ἐστι προσαγορεύειν πολιτικήν. διὸ καὶ ὑποδύεται ὑπὸ τὸ σχῆμα τὸ τῆς πολιτικῆς ἡ ῥητορικὴ καὶ οἱ ἀντιποιούμενοι ταύτης τὰ μὲν δι' ἀπαιδευσίαν τὰ δὲ δι' ἀλαζονείαν τὰ δὲ καὶ δι' ἄλλας αἰτίας ἀνθρωπικάς· ἔστι γὰρ μό-* 30 *ριόν τι τῆς διαλεκτικῆς καὶ ὁμοία, καθάπερ καὶ ἀρχόμενοι εἴπομεν· περὶ οὐδενὸς γὰρ ὡρισμένου οὐδετέρα αὐτῶν ἐστιν ἐπιστήμη, πῶς ἔχει, ἀλλὰ δυνάμεις τινὲς τοῦ πορίσαι λόγους.*

περὶ μὲν οὖν τῆς δυνάμεως αὐτῶν, καὶ πῶς ἔχουσι πρὸς ἀλλήλας, εἴρηται σχεδὸν ἱκανῶς. τῶν δὲ διὰ τοῦ δει- 35 *κνύναι ἢ φαίνεσθαι δεικνύναι, καθάπερ καὶ ἐν τοῖς διαλεκτικοῖς τὸ μὲν ἐπαγωγή ἐστιν τὸ δὲ συλλογισμὸς τὸ δὲ* 1356b *φαινόμενος συλλογισμός, καὶ ἐνταῦθα ὁμοίως· ἔστιν γὰρ τὸ μὲν*

super *σ* deletum signum ⟨·, cui idem respondet in margine, ubi *τρία*, quod recte secl. Spengel ‖ *ταῦτα τρία* $Y^b Z^b$ BC *τρία ταῦτα* DE Ald. *ταῦτα τὰ τρία* Q(?) ‖ 22 *τὰ περὶ τὰ ἤθη* Tr. ‖ 23 *περὶ* ante *τὰς ἀρετὰς* om. *ΘΠ* ‖ *τε* om. Q, legitur A^c, sed linea in marginem continuata ‖ 24 *ἔστιν* ead. man. super lineam A^c ‖ *τῶν παθῶν* om. E ‖ *γίνεται* Y^b BC ‖ 25 *παραφυὲς μέρος τι* BC et Y^b alt. man. ‖ In A^c super *παραφυές* signum ⟨·, idem in marg., ubi ead. man. *μέρος*, quod vertit et Tr. ‖ 26 *ἤθη* A^c Tr. CDE et pr. Vict. *πάθη* ΘBAld. ‖ 29 *τὰ δὲ* ab. ead. man. in marg. A^c ‖ *ἀλαζονίαν* A^c ‖ 30 *δι'* omissum in libris omnibus praeter Tr., cuius tamen in hac re auctoritas est nulla, pr. dedit Morelius ‖ 31 *ὁμοία* A^c Tr. Spengel *ὁμοίωμα ΘΠ* ‖ 32 *τούτων* Tr. ‖ 35 *δείκνυσθαι — δεικνυσθαι* Dionysius ‖ 1356b, 1 *ἐν τοῖς διαλεκτικοῖς*] *ἐν τοῖς ἀναλυτικοῖς* Dionysius ‖ *τὸ δὲ φαινόμενος συλλογισμός* ex Tr. et cod. A^c, ubi verba ex correctione quidem, sed in continuis textus verbis et a prima manu leguntur, inseruit Vict. Exstant etiam apud Dionys. Propter similiter cadens autem *τὸ δὲ φαινόμενος συλλογισμός* . . . usque ad 3 *τὸ δ' ἐνθύμημα συλλογισμός* om. *Θ* Ald. (nam falsum est, quod Bekker tradit de Y^b) et *Π* (B?); in cod. C super *συλλογισμός* signum relegans in marginem, ubi ab ead. man. verba leguntur: *τὸ μὲν ἐνθύμημά ἐστι, τὸ δὲ παράδειγμα.*

Digitized by Google

παράδειγμα ἐπαγωγή, τὸ δ' ἐνθύμημα συλλογισμός, ⟨τὸ δὲ φαινόμενον ἐνθύμημα φαινόμενος συλλογισμός⟩ καλῶ δ' ἐνθύμημα μὲν
5 ῥητορικὸν συλλογισμόν, παράδειγμα δὲ ἐπαγωγὴν ῥητορικήν. πάντες δὲ τὰς πίστεις ποιοῦνται διὰ τοῦ δεικνύναι ἢ παραδείγματα λέγοντες ἢ ἐνθυμήματα, καὶ παρὰ ταῦτα οὐδέν· ὥστ' εἴπερ καὶ ὅλως ἀνάγκη ⟨ἢ⟩ συλλογιζόμενον ἢ ἐπάγοντα δεικνύναι ὅτι-οῦν [ἢ ὁντινοῦν] (δῆλον δ' ἡμῖν τοῦτο ἐκ τῶν ἀναλυτικῶν), ἀναγ-
10 καῖον ἑκάτερον αὐτῶν ἑκατέρῳ τούτων τὸ αὐτὸ εἶναι. τίς δ' ἐστὶν διαφορὰ παραδείγματος καὶ ἐνθυμήματος, φανερὸν ἐκ τῶν τοπικῶν, (ἐκεῖ γὰρ περὶ συλλογισμοῦ καὶ ἐπαγωγῆς εἴρηται πρότερον), ὅτι τὸ μὲν ἐπὶ πολλῶν καὶ ὁμοίων δείκνυσθαι ὅτι οὕτως ἔχει ἐκεῖ μὲν ἐπαγωγή ἐστιν ἐνταῦθα δὲ παρά-
15 δειγμα, τὸ δὲ τινῶν ὄντων ἕτερόν τι διὰ ταῦτα συμβαίνειν παρὰ ταῦτα τῷ ταῦτα εἶναι ἢ καθόλου ἢ ὡς ἐπὶ τὸ πολὺ ἐκεῖ μὲν συλλογισμὸς ἐνταῦθα δὲ ἐνθύμημα καλεῖται. φανερὸν δ' ὅτι καὶ ἑκάτερον ἔχει ἀγαθὸν τὸ εἶδος τῆς ῥη-

4 τὸ δὲ φαινόμενον ἐνθύμημα φαινόμενος συλλογισμός ex coniectura confirmata a Dionysio l. l. addidit Spengelius ‖ καλῶ γὰρ Dionys. libri ‖ μὲν post ἐνθύμημα om. Z^b ‖ 6 Pro δὲ exspectamus γὰρ cum Sauppio, cuius diversam de h. l. sententiam vide Göttinger Nachrichten 1863 pag. 68 ‖ 7 πως addunt post οὐδὲν ΘΠ om. A^c Tr. Spengel ‖ 8 ἢ, quae particula post ἀνάγκη facile excidere poterat, ex E addidit Spengel ‖ 9 ἢ ὁντινοῦν omissum apud Dionysium et in E delevit Muretus ‖ 11—18 Locum difficillimum et multum vexatum a viris doctis acutissime expedivit Vahlenius Mus. Rhen. XXII, p. 101 sqq., quem in oratione interpungenda secutus sum ‖ 13 τὸ μὲν τὸ ἐπὶ ΘCEAld. ‖ ἐπὶ τῶν πολλῶν ΘΠ ‖ δεικνύναι Tr. ‖ ἐπιδείκνυσθαι $Y^b Z^b$E ‖ Variam lectionem, quae exstat in marg. A^c γρ. ὀλίγων ad πολλῶν recte rettulit Bekker; adscriptum enim legimus lin. 13 σημειωτέον (ση) διαφορὰν παραδείγματος καὶ ἐνθυμήματος; itaque varia lectio propter spatii angustias aberravit ad lin. 15 et 16 ‖ 15 συμβαίνειν διὰ ταῦτα Y^b ‖ διὰ ταῦτα in vers. om. Muretus ‖ 16 ταῦτα τῷ] τὸ Dionys. ‖ 18 φανερὸν δὲ καὶ ὅτι ἑκάτερον Tr. Dionys. Muretus Vahlen (nescio an recte) ‖ Vox ἀγαθὸν paene evanuit in A^c, ut olim erasa esse videatur et om. Tr. ‖ ἀγαθὰ coni. Sauppe ‖ ῥητορείας A^c Tr. (M) Dionys.

Digitized by Google

τορείας· καθάπερ γὰρ καὶ ἐν τοῖς μεθοδικοῖς εἴρηται, καὶ ἐν τούτοις ὁμοίως ἔχει. εἰσὶν γὰρ αἱ μὲν παραδειγματώδεις ῥη- 20 τορεῖαι αἱ δὲ ἐνθυμηματικαί, καὶ ῥήτορες ὁμοίως οἱ μὲν παραδειγματώδεις οἱ δὲ ἐνθυμηματικοί. πιθανοὶ μὲν οὖν οὐχ ἧττον οἱ λόγοι οἱ διὰ τῶν παραδειγμάτων, θορυβοῦνται δὲ μᾶλλον οἱ ἐνθυμηματικοί. τὴν δ' αἰτίαν αὐτῶν, καὶ πῶς ἑκατέρῳ χρηστέον, ἐροῦμεν ὕστερον· νῦν δὲ περὶ αὐτῶν τούτων 25 μᾶλλον διορίσωμεν καθαρῶς.

ἐπεὶ γὰρ τὸ πιθανὸν τινὶ πιθανόν ἐστι, καὶ τὸ μὲν εὐθὺς ὑπάρχει δι' αὑτὸ πιθανὸν καὶ πιστὸν τὸ δὲ τῷ δείκνυσθαι δοκεῖν διὰ τοιούτων, οὐδεμία δὲ τέχνη σκοπεῖ τὸ καθ' ἕκαστον, οἷον ἡ ἰατρικὴ τί Σωκράτει τὸ ὑγιεινόν ἐστιν ἢ Καλλίᾳ, ἀλλὰ τί τῷ 30 τοιῷδε ἢ τοῖς τοιοῖσδε· (τοῦτο γὰρ ἔντεχνον, τὸ δὲ καθ' ἕκαστον ἄπειρον καὶ οὐκ ἐπιστητόν) οὐδὲ ἡ ῥητορικὴ τὸ καθ' ἕκαστον ἔνδοξον θεωρήσει, οἷον Σωκράτει ἢ Ἱππίᾳ, ἀλλὰ τὸ τοιοῖσδε, καθάπερ καὶ ἡ διαλεκτική. καὶ γὰρ ἐκείνη συλλογίζεται οὐκ ἐξ ὧν ἔτυχεν· (φαίνεται γὰρ ἄττα καὶ τοῖς παραληροῦσιν) 35 ἀλλ' ἐκείνη μὲν ἐκ τῶν λόγου δεομένων, ἡ δὲ ῥητορικὴ ἐκ τῶν ἤδη βουλεύεσθαι εἰωθότων. ἔστιν δὲ τὸ ἔργον αὐτῆς περί 1357a τε τοιούτων περὶ ὧν βουλευόμεθα καὶ τέχνας μὴ ἔχομεν, καὶ ἐν τοῖς τοιούτοις ἀκροαταῖς οἳ οὐ δύνανται διὰ πολλῶν

Gaisford ῥητορικῆς ΘΠ ‖ 19 γὰρ om. Dionys. libri, δὲ Tr. ‖ 21 καὶ — 24 ἐνθυμηματικοί om. Z^b καὶ ῥήτορες — 22 ἐνθυμηματικοί om. in versione Muretus ‖ 22 καὶ πιθανοὶ DE Ald. ‖ οὖν om. $QY^bΠ$ ‖ 24 αὐτῶν in versione om. Muretus ‖ 25 ὕστερον et τούτων a pr. man. in marg. A^c ‖ 26 διορίσομεν Y^bZ^bBC ‖ 27 ὑπάρχει πιθανὸν εὐθὺς καὶ πιστὸν δι' αὐτό Y^bBC ‖ εὐθὺς ὑπάρχει πιθανὸν δι' αὐτὸ καὶ πιστόν $Q'Z^bDEAld.$ ‖ 28 ἐνδείκνυσθαι ΘBCDAld. ‖ 29 διὰ τῶν τοιούτων Y^bC ‖ 31 μὲν post τοῦτο addunt ΘΠ om. A^c Spengel ‖ 32 ἡ om. A^c ‖ τὸ ante καθ' ἕκαστον supra lineam A^c ‖ 33 τοιοισδὶ sic A^c ‖ τὸ τοῖς τοιοῖσδε coni. Spengel ‖ Calliae pro Hippiae Tr. (codd. M.V) ‖ 34 Verba καὶ γὰρ ἐκείνη . . . βουλεύεσθαι εἰωθότων in versione om. Muretus probante Vatero ‖ 1357a, 3 τὰ πόρρω συνορᾶν legit Muretus.

Digitized by Google

συνορᾶν οὐδὲ λογίζεσθαι πόρρωθεν. βουλευόμεθα δὲ περὶ τῶν
5 *φαινομένων ἐνδέχεσθαι ἀμφοτέρως ἔχειν· περὶ γὰρ τῶν*
ἀδυνάτων ἄλλως ἢ γενέσθαι ἢ ἔσεσθαι ἢ ἔχειν οὐδεὶς βου-
λεύεται οὕτως ὑπολαμβάνων· οὐδὲν γὰρ πλέον. ἐνδέχεται
δὲ συλλογίζεσθαι καὶ συνάγειν τὰ μὲν ἐκ συλλελογισμέ-
νων πρότερον, τὰ δ' ἐξ ἀσυλλογίστων μὲν δεομένων δὲ συλ-
10 *λογισμοῦ διὰ τὸ μὴ εἶναι ἔνδοξα, ἀνάγκη δὲ τούτων τὸ μὲν*
μὴ εἶναι εὐεπακολούθητον διὰ τὸ μῆκος (ὁ γὰρ κριτὴς ὑπό-
κειται εἶναι ἁπλοῦς), τὰ δὲ μὴ πιθανὰ διὰ τὸ μὴ ἐξ ὁμο-
λογουμένων εἶναι μηδ' ἐνδόξων, ὥστ' ἀναγκαῖον τό τε ἐνθύ-
μημα εἶναι καὶ τὸ παράδειγμα περί τε τῶν ἐνδεχομένων
15 *ὡς τὰ πολλὰ ἔχειν ἄλλως, τὸ μὲν παράδειγμα ἐπαγω-*
γὴν τὸ δ' ἐνθύμημα συλλογισμόν, καὶ ἐξ ὀλίγων τε καὶ
πολλάκις ἐλαττόνων ἢ ἐξ ὧν ὁ πρῶτος συλλογισμός· ἐὰν γὰρ
ᾖ τι τούτων γνώριμον, οὐδὲ δεῖ λέγειν· αὐτὸς γὰρ τοῦτο προσ-
τίθησιν ὁ ἀκροατής, οἷον ὅτι Δωριεὺς στεφανίτην ἀγῶνα νενίκη-
20 *κεν, ἱκανὸν εἰπεῖν ὅτι Ὀλύμπια γὰρ νενίκηκεν, τὸ δ' ὅτι στεφανί-*
της τὰ Ὀλύμπια, οὐδὲ δεῖ προσθεῖναι· γιγνώσκουσι γὰρ πάντες.

ἐπεὶ δ' ἐστὶν ὀλίγα μὲν τῶν ἀναγκαίων περὶ ὧν οἱ

4 *βουλευόμεθα δὲ* om. Z^b ‖ 7 *οὕτως*, non *ὀρθῶς* Y^b ‖ *ὑπολαμβάνειν* DE Ald. ‖ Super *πλέον* man. rec. in A^c *ἢ οὕτως ἔχει* ‖ *πλέον ἢ οὕτως ἐνδέχεται συμβουλεύειν ΘΠ*, quae verba ex interpretatione addita esse pr. vidit Muretus ‖ 10 *ἀναγκαῖον* Y^bBC ‖ *ἔνδοξα* — 11 *εἶναι* addidit alt. man. in marg. Z^b ‖ *τὰ* — *εὐεπακολούθητα* CTr. ‖ *μὴ* om. Y^bB ‖ 12 *μήτ* — *μήτ'* Tr. ‖ 14 *εἶναι τό τε ἐνθύμημα* Y^bBC ‖ *τε* post *περί* ex A^c Spengel, om. cet. ‖ 15 *καὶ ἄλλως ΘΠ* ‖ *καλῶς* pr. Y^b ‖ *περί τε τῶν ἐνδεχομένων* ⟨*καὶ*⟩ *ὡς τὰ πολλὰ* ⟨*συμβαινόντων*⟩ deletis verbis *ἔχειν ἄλλως* Vahlen ‖ „*de contingentibus aliter se habere, ut multo*" Tr. ‖ 17 Verba *ἐὰν γὰρ ᾖ τι τοιούτων* — usque ad *γίγνεται συλλογισμός* 1357 b, 6 in A^c in inferiore marg. dextro eadem manu antiqua scripta sunt cum multis scripturae compendiis nec pauca lectu difficillima sunt ‖ 18 *τοιούτων* A^c ‖ *οὐδὲν* et hic et 21 Tr. ‖ 19 *πρόσθησιν* A^c ‖ 20 *γὰρ* A^cTr. iam Vict. om. *ΘΠ* ‖ 22 *τὰ ἀναγκαῖα* Tr. Venet. ‖ Post *ἀναγκαίων* membrum desiderat Spengel: ⟨*τὰ δὲ πλεῖστα τῶν ὡς ἐπὶ τὸ πολύ*⟩ ‖ *περὶ ὧν* cum Mureto et Vahlenio scripsi *ἐξ' ὧν* libri omnes.

Digitized by Google

ῥητορικοὶ συλλογισμοί εἰσι· (τὰ γὰρ πολλὰ περὶ ὧν αἱ κρίσεις καὶ αἱ σκέψεις, ἐνδέχεται καὶ ἄλλως ἔχειν· περὶ ὧν μὲν γὰρ πράττουσι, βουλεύονται καὶ σκοποῦσι, τὰ δὲ πραττόμενα πάντα τοιούτου γένους ἐστί, καὶ οὐδὲν ὡς ἔπος εἰπεῖν ἐξ ἀνάγκης τούτων) τὰ δ' ὡς ἐπὶ τὸ πολὺ συμβαίνοντα καὶ ἐνδεχόμενα ἐκ τοιούτων ἀνάγκη ἑτέρων συλλογίζεσθαι, τὰ δ' ἀναγκαῖα ἐξ ἀναγκαίων (δῆλον δ' ἡμῖν καὶ τοῦτο ἐκ τῶν ἀναλυτικῶν), φανερὸν ὅτι ἐξ ὧν τὰ ἐνθυμήματα λέγεται, τὰ μὲν ἀναγκαῖα ἔσται, τὰ δὲ πλεῖστα ὡς ἐπὶ τὸ πολύ, τὰ δ' ἐνθυμήματα ἐξ εἰκότων καὶ ἐκ σημείων, ὥστε ἀνάγκη τούτων ἑκάτερον ἑκατέρῳ ταὐτὸ εἶναι. τὸ μὲν γὰρ εἰκός ἐστιν ὡς ἐπὶ τὸ πολὺ γινόμενον, οὐχ ἁπλῶς δὲ καθάπερ ὁρίζονταί τινες, ἀλλὰ τὸ περὶ τὰ ἐνδεχόμενα ἄλλως ἔχειν, οὕτως ἔχον πρὸς ἐκεῖνο πρὸς ὃ εἰκός, ὡς τὸ καθόλου πρὸς τὸ κατὰ μέρος· τῶν δὲ σημείων τὸ μὲν οὕτως ἔχει ὡς τῶν καθ' ἕκαστόν τι πρὸς τὸ καθόλου, τὸ δὲ ὡς τῶν καθόλου τι πρὸς τὸ κατὰ μέρος. τούτων δὲ τὸ μὲν ἀναγκαῖον τεκμήριον, τὸ δὲ μὴ ἀναγκαῖον ἀνώνυμόν ἐστι κατὰ τὴν διαφοράν. ἀναγκαῖα μὲν οὖν λέγω ἐξ ὧν γίνεται συλλογισμός. διὸ καὶ τεκμήριον τὸ τοιοῦτον τῶν σημείων ἐστίν· ὅταν γὰρ μὴ ἐνδέχεσθαι οἴωνται λῦσαι τὸ λεχθέν, τότε φέρειν οἴονται τεκμήριον ὡς δεδειγμένον καὶ πεπερασμένον· τὸ γὰρ τέκμαρ καὶ πέρας ταὐτόν ἐστι κατὰ τὴν ἀρχαίαν γλῶτταν. ἔστιν δὲ τῶν σημείων τὸ μὲν ὡς τὸ καθ' ἕκαστον πρὸς τὸ καθόλου ὧδε, οἷον εἴ τις εἴπειεν σημεῖον εἶναι ὅτι οἱ σοφοὶ δίκαιοι, Σωκράτης γὰρ σοφὸς

23 Verba *τὰ γὰρ πολλὰ — ἄλλως ἔχειν* acute defensa a Vahlenio in versione om. Muretus ‖ 24 *καὶ αἱ σκέψεις* om. Z^b *καὶ αἱ* paene evanuit A^c ‖ 25 *μὲν* om. Tr. ‖ 26 *ἔπος* om. Q. ‖ 32 *τὰ δ' ἐνθυμήματα* ex A^c Spengel *λέγεται γὰρ ἐνθυμήματα ΘΠ λέγεται δὲ* Tr. et Muretus ‖ 34 *τὸ ὡς ἐπὶ τὸ πολύ* E Muretus ‖ 1357 b, 6 Post *συλλογισμὸς ἄλυτος* addit Kayser ‖ 7 *οἴωνται*] *οἷόν τε* Y^bBC ‖ 11 *ὧδε* om. Tr. ‖ *εἴπειεν* A^c pr. nunc ex corr. *εἴποιεν* ‖ *εἴποι ΘΠ* cf. 15. 19.

Digitized by Google

ἦν καὶ δίκαιος. τοῦτο μὲν οὖν σημεῖον, λυτὸν δέ, κἂν ἀληθὲς ᾖ τὸ εἰρημένον· ἀσυλλόγιστον γάρ. τὸ δέ, οἷον εἴ τις εἴπειεν σημεῖον ὅτι νοσεῖ, πυρέττει γάρ, ἢ τέτοκεν ὅτι γάλα ἔχει, ἀναγκαῖον. ὅπερ τῶν σημείων τεκμήριον μόνον ἐστίν· μόνον γάρ, ἂν ἀληθὲς ᾖ, ἄλυτόν ἐστιν. τὸ δὲ ὡς τὸ καθόλου πρὸς τὸ κατὰ μέρος ἔχον, οἷον εἴ τις εἴπειεν, ὅτι πυρέττει, σημεῖον εἶναι, πυκνὸν γὰρ ἀναπνεῖ. λυτὸν δὲ καὶ τοῦτο, κἂν ἀληθὲς ᾖ· ἐνδέχεται γὰρ καὶ μὴ πυρέττοντα πνευστιᾶν. τί μὲν οὖν εἰκός ἐστι καὶ τί σημεῖον καὶ τεκμήριον, καὶ τί διαφέρουσιν, εἴρηται μὲν καὶ νῦν, μᾶλλον δὲ φανερῶς καὶ περὶ τούτων, καὶ διὰ τίν' αἰτίαν τὰ μὲν ἀσυλλόγιστά ἐστι τὰ δὲ συλλελογισμένα, ἐν τοῖς ἀναλυτικοῖς διώρισται περὶ αὐτῶν.

παράδειγμα δὲ ὅτι μέν ἐστιν ἐπαγωγὴ καὶ περὶ ποῖα ἐπαγωγή, εἴρηται· ἔστι δὲ οὔτε ὡς μέρος πρὸς ὅλον οὔθ' ὡς ὅλον πρὸς μέρος οὔθ' ὡς ὅλον πρὸς ὅλον, ἀλλ' ὡς μέρος πρὸς μέρος, ὅμοιον πρὸς ὅμοιον, ὅταν ἄμφω μὲν ᾖ ὑπὸ τὸ αὐτὸ γένος, γνωριμώτερον δὲ θάτερον ᾖ θατέρου, παράδειγμά ἐστιν· οἷον ὅτι ἐπιβουλεύει τυραννίδι Διονύσιος αἰτῶν τὴν φυλακήν· καὶ γὰρ Πεισί-

13 ἐστιν post σημεῖον addunt ΘΠ ‖ Quid pro λυτὸν primitus fuerit in A^c, perspici non potest (αὐτόν Bekker ἄλυτον Gaisford), nunc ex corr. et maiusculis litteris exaratum λυτέον ut est in Tr. ΘBD ‖ λυτὸν γὰρ C ‖ γρ. λυτὸν in marg. exempl. Vict. ‖ λυτέον δὲ τὸ εἰρημένον, κἂν Tr. ‖ 15 εἴποιεν Y^b Z^b CD εἴποι QBE σημεῖον εἶναι C ‖ 18 πρὸς τὸ μέρος sic A^c, sed huic signo non respondet idem in margine, ubi nihil adnotatum invenitur ‖ εἴποιε Y^b Z^b BCD εἴποι QE ‖ 19 λυτὸν γὰρ Tr. ‖ 21 μὲν om. Tr. ‖ 22 καὶ τί τεκμήριον Tr. ‖ 25 περὶ αὐτῶν in versione om. Muretus ‖ πάντων coni. Spengel ‖ 26 καὶ ποία ἐπαγωγή Tr. ‖ καὶ — ἐπαγωγή om. Z^b ‖ 27 Verba οὔθ' ὡς ὅλον — 28 ὡς μέρος πρὸς μέρος om. A^c pr. addidit man. ead. in marg. cum multis compendiis, ubi etiam legitur, ni fallor, οὐδ' ἐνὶ ὅλον πρὸς ὅλον ‖ 30 θάτερον ἢ τοῦτο ἢ θατέρου A^c pr. rec. man. delevit τοῦτο ἢ ‖ παράδειγμά ἐστι in versione om. Muretus ‖ 31 ἐπιβουλεύει Tr. E et rec. man. marg. Z^b Spengel ‖ ἐπεβούλευε cet.

Digitized by Google

στρατος πρότερον ἐπιβουλεύων ᾔτει φυλακὴν καὶ λαβὼν ἐτυράν-
νευσε, καὶ Θεαγένης ἐν Μεγάροις· καὶ ἄλλοι ὅσους ἴσασι,
παράδειγμα πάντες γίγνονται τοῦ Διονυσίου, ὃν οὐκ ἴσασίν
πω εἰ διὰ τοῦτο αἰτεῖ. πάντα δὲ ταῦτα ὑπὸ τὸ αὐτὸ 35
καθόλου, ὅτι ὁ ἐπιβουλεύων τυραννίδι φυλακὴν αἰτεῖ.
ἐξ ὧν μὲν οὖν λέγονται αἱ δοκοῦσαι εἶναι πίστεις ἀποδεικτι- 1358a
καί, εἴρηται. τῶν δὲ ἐνθυμημάτων μεγίστη διαφορὰ καὶ
μάλιστα λεληθυῖα σχεδὸν παρὰ πᾶσίν ἐστιν ἥπερ καὶ περὶ τὴν
διαλεκτικὴν μέθοδον τῶν συλλογισμῶν· τὰ μὲν γὰρ αὐτῶν
ἐστι κατὰ τὴν ῥητορικὴν ὥσπερ καὶ κατὰ τὴν διαλεκτικὴν 5
μέθοδον τῶν συλλογισμῶν, τὰ δὲ κατ' ἄλλας τέχνας καὶ
δυνάμεις, τὰς μὲν οὔσας τὰς δ' οὔπω κατειλημμένας· διὸ
καὶ λανθάνουσίν τε [τοὺς ἀκροατάς], καὶ μᾶλλον ἁπτόμενοι
κατὰ τρόπον μεταβαίνουσιν ἐξ αὐτῶν. μᾶλλον δὲ σαφὲς
ἔσται τὸ λεγόμενον διὰ πλειόνων ῥηθέν. λέγω γὰρ διαλε- 10
κτικούς τε καὶ ῥητορικοὺς συλλογισμοὺς εἶναι περὶ ὧν τοὺς
τόπους λέγομεν. οὗτοι δ' εἰσὶν οἱ κοινοὶ περὶ δικαίων καὶ
φυσικῶν καὶ περὶ πολιτικῶν καὶ περὶ πολλῶν διαφερόν-
των εἴδει, οἷον ὁ τοῦ μᾶλλον καὶ ἧττον τόπος· οὐδὲν γὰρ
μᾶλλον ἔσται ἐκ τούτου συλλογίσασθαι ἢ ἐνθύμημα εἰπεῖν 15

32 ἐτυράννησε ΘΠ ‖ 35 αὐτοῦ Y^bZ^bBD τοῦ αὐτοῦ EAld. ‖ 36 ὁ ante ἐπιβουλεύων om. ΘΠ ‖ 1358a, 1 πίστις A^c ‖ in marg.: περὶ ἐνθυμημάτων A^c ‖ 2 μεγίστη A^cTr. Bekker μεγάλη ΘΠ ‖ 3 παρὰ πᾶσιν A^c Spengel πάντας ΘΠTr. ‖ 4 τὰ μὲν γὰρ αὐτῶν ἐστι κατὰ ῥητορικὴν μέθοδον τῶν συλλογισμῶν ὥσπερ καὶ κατὰ τὴν διαλεκτικήν, τὰ δὲ BC et Y^bZ^b(?) ‖ ὥσπερ . . . τῶν συλλογισμῶν in versione om. Muretus ‖ ὥσπερ καὶ κατὰ τὴν διαλεκτικὴν τινὲς τῶν συλλογισμῶν coni. Spengel ‖ 8 τοὺς ἀκροατάς praeeunte Mureto secl. Spengel ‖ 9 post τρόπον δεόντως ΘBCD ‖ ἐξ αὐτῶν in scripto commentario Vict. ‖ 12 Errore librarii pr. in A^c erat λόγους, quod rec. man. in τόπους correxit. Etiam in marg. γρ. τόπους ‖ ὧν τά τε εἴδη καὶ τοὺς τόπους λέγομεν Muretus apud Riccobonum ‖ κοινοί A^cTr. C et Y^b alt. man. Spengel κοινῇ cet. ‖ 13 περὶ ante πολιτικῶν om. Y^bBCTr. ‖ 14 τῷ ante εἴδει rec. man. addidit A^c ut est in ΘΠAld. ‖ 15 ἐκ τούτου ead. man. addidit in marg. A^c.

Digitized by Google

περὶ δικαίων ἢ περὶ φυσικῶν ἢ περὶ ὁτουοῦν· καίτοι ταῦτα εἴδει διαφέρει. ἴδια δὲ ὅσα ἐκ τῶν περὶ ἕκαστον εἶδος καὶ γένος προτάσεών ἐστιν, οἷον περὶ φυσικῶν εἰσι προτάσεις ἐξ ὧν οὔτε ἐνθύμημα οὔτε συλλογισμός ἐστι περὶ τῶν ἠθικῶν, 20 καὶ περὶ τούτων ἄλλαι ἐξ ὧν οὐκ ἔσται περὶ τῶν φυσικῶν· ὁμοίως δὲ τοῦτ' ἔχει ἐπὶ πάντων. κἀκεῖνα μὲν οὐ ποιήσει περὶ οὐδὲν γένος ἔμφρονα· περὶ οὐδὲν γὰρ ὑποκείμενόν ἐστιν· ταῦτα δὲ ὅσῳ τις ἂν βελτίω ἐκλέγηται, [τὰς προτάσεις] λήσει ποιήσας ἄλλην ἐπιστήμην τῆς διαλεκτικῆς καὶ ῥητο- 25 ρικῆς· ἂν γὰρ ἐντύχῃ ἀρχαῖς, οὐκέτι διαλεκτικὴ οὐδὲ ῥητορικὴ ἀλλ' ἐκείνη ἔσται ἧς ἔχει τὰς ἀρχάς. ἔστι δὲ τὰ πλεῖστα τῶν ἐνθυμημάτων ἐκ τούτων τῶν εἰδῶν λεγόμενα τῶν κατὰ μέρος καὶ ἰδίων, ἐκ δὲ τῶν κοινῶν ἐλάττω. καθάπερ οὖν καὶ ἐν τοῖς τοπικοῖς, καὶ ἐνταῦθα διαιρετέον 30 τῶν ἐνθυμημάτων τά τε εἴδη καὶ τοὺς τόπους ἐξ ὧν ληπτέον. λέγω δ' εἴδη μὲν τὰς καθ' ἕκαστον γένος ἰδίας προτάσεις, τόπους δὲ τοὺς κοινοὺς ὁμοίως πάντων. πρότερον οὖν εἴπωμεν περὶ τῶν εἰδῶν· πρῶτον δὲ λάβωμεν τὰ γένη τῆς ῥητορικῆς, ὅπως διελόμενοι πόσα ἐστίν, περὶ τούτων χωρὶς λαμ- 35 βάνωμεν τὰ στοιχεῖα καὶ τὰς προτάσεις.

3 ἔστιν δὲ τῆς ῥητορικῆς εἴδη τρία τὸν ἀριθμόν· τοσοῦτοι

16 περὶ ante φυσικῶν om. ΘΠ || καὶ τοῖ αυτα sic A^c || διαφέρουσι Y^b E Ald. || 17 ἰδίᾳ coni. Vict. || εἴδη δὲ Muretus || ἰδίους δὲ ὅσοι exspectat Spengel || 23 βέλτιον Q E Tr. || βελτίους Camerarius et Maioraggius || τὰς προτάσεις auctore Mureto delevi || Interpunctione succurrit loco Spengel ἐκλέγηται, τὰς προτάσεις λήσει || 27 λεγομένων τῶν ex Mureti versione coni. Vahlen || 32 κοινῶς ΘB || πρῶτον μὲν οὖν Tr. schol. || 36 δὴ Tr. || „genera" vertit Muretus unde γένη pro εἴδη Bekker[3] || τῆς ῥητορικῆς εἴδη secl. Spengel, tamquam ex margine illatum || (De talibus argumenti titulis cf. 1375a, 26. 1405a, 3 et adnot. crit. ad 1393a, 23. etiam h. l. in marg. A^c ead. man. legitur: ὅτι τρία εἴδη τῆς ῥητορικῆς: nihil tamen mutare audeo cum et alibi et 1396b, 29 περὶ ἕκαστον τῶν εἰδῶν i. e. γενῶν, nisi fallor, dicatur, cf. et Polit. 1258b, 32 et Mus. Rhen. N. F. XXXIX pag. 496).

Digitized by Google

γὰρ καὶ οἱ ἀκροαταὶ τῶν λόγων ὑπάρχουσιν ὄντες. σύγκειται μὲν γὰρ ἐκ τριῶν ὁ λόγος, ἔκ τε τοῦ λέγοντος καὶ περὶ οὗ λέγει καὶ πρὸς ὅν, καὶ τὸ τέλος πρὸς τοῦτόν ἐστιν, 1358 b
λέγω δὲ τὸν ἀκροατήν. ἀνάγκη δὲ τὸν ἀκροατὴν ἢ θεωρὸν εἶναι ἢ κριτήν, κριτὴν δὲ ἢ τῶν γεγενημένων ἢ τῶν μελλόντων. ἔστιν δ' ὁ μὲν περὶ τῶν μελλόντων κρίνων οἷον ἐκκλησιαστής, ὁ δὲ περὶ τῶν γεγενημένων οἷον ὁ δικαστής, ὁ 5
δὲ περὶ τῆς δυνάμεως ὁ θεωρός, ὥστ' ἐξ ἀνάγκης ἂν εἴη τρία γένη τῶν λόγων τῶν ῥητορικῶν, συμβουλευτικόν, δικανικόν, ἐπιδεικτικόν. συμβουλῆς δὲ τὸ μὲν προτροπὴ τὸ δὲ ἀποτροπή· ἀεὶ γὰρ καὶ οἱ ἰδίᾳ συμβουλεύοντες καὶ οἱ κοινῇ δημηγοροῦντες τούτων θάτερον ποιοῦσιν. δίκης δὲ τὸ μὲν 10
κατηγορία τὸ δ' ἀπολογία· τούτων γὰρ ὁποτερονοῦν ποιεῖν ἀνάγκη τοὺς ἀμφισβητοῦντας. ἐπιδεικτικοῦ δὲ τὸ μὲν ἔπαινος τὸ δὲ ψόγος. χρόνοι δὲ ἑκάστου τούτων εἰσὶ τῷ μὲν συμβουλεύοντι ὁ μέλλων· περὶ γὰρ τῶν ἐσομένων συμβουλεύει ἢ προτρέπων ἢ ἀποτρέπων, τῷ δὲ δικαζομένῳ ὁ γε- 15
νόμενος· περὶ γὰρ τῶν πεπραγμένων ἀεὶ ὁ μὲν κατηγορεῖ ὁ δὲ ἀπολογεῖται, τῷ δ' ἐπιδεικτικῷ κυριώτατος μὲν ὁ παρών· κατὰ γὰρ τὰ ὑπάρχοντα ἐπαινοῦσιν ἢ ψέγουσιν πάντες, προσχρῶνται δὲ πολλάκις καὶ τὰ γενόμενα ἀναμιμνήσκοντες καὶ τὰ μέλλοντα προεικάζοντες. τέλος δὲ 20
ἑκάστοις τούτων ἕτερόν ἐστι, καὶ τρισὶν οὖσι τρία, τῷ μὲν συμβουλεύοντι τὸ συμφέρον καὶ βλαβερόν· ὁ μὲν γὰρ

1358 b, 4 οἷον ὁ ἐκκλησιαστής D ‖ 5 ὁ ante δικαστής om. Y^b BC et Gregor. Corinth. VII, 1269 assentiente Spengelio ‖ 6 In errorem inductus a Bekkero περὶ secl. Spengel; at in codice A^c ead. man. pr. super lineam scriptum et sanum est cf. etiam 1391 b, 17 ‖ οἷον ὁ θεωρός ex Tr. Morelius ὁ secl. Spengel ct. Mus. Rhen. N. F. XXXIX pag. 496 sqq. ‖ 7 τρία ἂν εἴη γένη Tr. ‖ 11 κατηγορίαι et ἀπολογίαι Z^b ‖ 13 an ἑκάστῳ ut infra 21 ἑκάστοις? ‖ 15 συμβουλεύει ὁ προτρέπων Tr. ‖ ἢ ἀποτρέπων om. Z^b ‖ 16 ἀεὶ om. Y^b BC ‖ ὁ μὲν om. Z^b ‖ 17 τῷ ἐπιδεικτικῷ cf. ad 1359 a, 15 ‖ 21 ἑκάστοις D ‖ ἑκάστου Q ‖ ἑκάστοις δὲ τούτων τέλος ἕτερον Tr. ‖ 21 τωϝ sic A^c cf. 1372 b, 1 ‖ 22 μὲν om. Tr.

Digitized by Google

προτρέπων ὡς βέλτιον συμβουλεύει, ὁ δὲ ἀποτρέπων ὡς χεῖρον ἀποτρέπει, τὰ δ' ἄλλα πρὸς τοῦτο συμπαραλαμ-
25 *βάνει ἢ δίκαιον ἢ ἄδικον, ἢ καλὸν ἢ αἰσχρόν· τοῖς δὲ δικαζομένοις τὸ δίκαιον καὶ τὸ ἄδικον, τὰ δ' ἄλλα καὶ οὗτοι συμπαραλαμβάνουσι πρὸς ταῦτα· τοῖς δ' ἐπαινοῦσιν καὶ ψέγουσιν τὸ καλὸν καὶ τὸ αἰσχρόν, τὰ δ' ἄλλα καὶ οὗτοι πρὸς ταῦτα ἐπαναφέρουσιν. σημεῖον δ' ὅτι τὸ εἰρημένον*
30 *ἑκάστοις τέλος· περὶ μὲν γὰρ τῶν ἄλλων ἐνίοτε οὐκ ἂν ἀμφισβητήσαιεν, οἷον ὁ δικαζόμενος ὡς οὐ γέγονεν ἢ οὐκ ἔβλαψεν· ὅτι δ' ἀδικεῖ, οὐδέ ποτ' ἂν ὁμολογήσειεν· οὐδὲν γὰρ ἂν ἔδει δίκης. ὁμοίως δὲ καὶ οἱ συμβουλεύοντες τὰ μὲν ἄλλα πολλάκις προῖενται, ὡς δὲ ἀσύμφορα συμ-*
35 *βουλεύουσιν ἢ ἀπ' ὠφελίμων ἀποτρέπουσιν οὐκ ἂν ὁμολογήσαιεν· ὡς δ' οὐκ ἄδικον τοὺς ἀστυγείτονας καταδουλοῦσθαι καὶ τοὺς μηδὲν ἀδικοῦντας, πολλάκις οὐδὲν φροντίζουσιν. ὁμοίως δὲ καὶ οἱ ἐπαινοῦντες καὶ οἱ ψέγοντες οὐ σκοποῦσιν*
1359a *εἰ συμφέροντα ἔπραξεν ἢ βλαβερά, ἀλλὰ καὶ ἐν ἐπαίνῳ πολλάκις τιθέασιν ὅτι ὀλιγωρήσας τοῦ αὐτῷ λυσιτελοῦντος ἔπραξεν ὅ τι καλόν, οἷον Ἀχιλλέα ἐπαινοῦσιν ὅτι ἐβοήθησε τῷ ἑταίρῳ Πατρόκλῳ εἰδὼς ὅτι δεῖ αὐτὸν ἀποθανεῖν ἐξὸν ζῆν.*
5 *τούτῳ δὲ ὁ μὲν τοιοῦτους θάνατος κάλλιον, τὸ δὲ ζῆν συμφέρον. φανερὸν δὲ ἐκ τῶν εἰρημένων ὅτι ἀνάγκη περὶ τούτων ἔχειν πρῶτον τὰς προτάσεις· τὰ γὰρ τεκμήρια καὶ τὰ εἰκότα καὶ τὰ σημεῖα προτάσεις εἰσὶν ῥητορικαί· ὅλως*

24 *χείρονος* coni. Kayser ‖ 31 *ὡς* post *ἢ* addunt Q Z^b D E Tr. ‖ 32 *οὐκ ἂν* pro *οὐδέ ποτ' ἄν* Tr. ‖ *ὁμολογήσειεν* — 35 *ἂν ὁμολογήσαιεν* om. Z^b, non Y^b ut falso tradit Bekker ‖ 33 *οὐδὲ γὰρ* Q Y^b B D E ‖ 36 *ὡς δ' οὐκ ἄδικον* A^c pr. sed ead. prima manus *ὡς οὐδ' οὐκ ἄδικον* emendavit ‖ *οὐκ* delet Fr. A. Wolf ‖ *ὡς γὰρ* et *οὐ καλὸν ἢ ἄδικον* coni. Spengel (vix recte) ‖ 37 *οὐδὲν* A^c Tr. *οὐδὲ* Θ BD ‖ 38 *οὐδὲν σκοποῦσι* Tr. ‖ 1359a, 1 *ἔπραξαν* Z^b Tr. ‖ 3 *ὅ τι* Tr. A^c pr.; sed *ὁ* delevit man. rec. *ὅτι* recepit Spengel ‖ *τι* ΘΠ ‖ *ἐτιμώρησε* ed. Isingr. ‖ 7 *τὰς* om. ΘBCD ‖ 8 *ὅλως* A^c Tr. B C E *ὅλος* ΘD ‖ *ὁ μὲν γὰρ ἁπλῶς συλλογισμός*

Digitized by Google

μὲν γὰρ συλλογισμὸς ἐκ προτάσεών ἐστιν, τὸ δ' ἐνθύμημα συλλογισμός ἐστι συνεστηκὼς ἐκ τῶν εἰρημένων προτάσεων. 10

ἐπεὶ δὲ οὔτε πραχθῆναι οἷόν τε οὔτε πραχθήσεσθαι τὰ ἀδύνατα ἀλλὰ τὰ δυνατά, οὐδὲ τὰ μὴ γενόμενα ἢ μὴ ἐσόμενα οὐχ οἷόν τε τὰ μὲν πεπρᾶχθαι τὰ δὲ πραχθήσεσθαι, ἀναγκαῖον καὶ τῷ συμβουλεύοντι καὶ τῷ δικαζομένῳ καὶ τῷ ἐπιδεικτικῷ ἔχειν προτάσεις περὶ δυνατοῦ καὶ ἀδυνάτου, 15 καὶ εἰ γέγονεν ἢ μή, καὶ εἰ ἔσται ἢ μή. ἔτι δὲ ἐπεὶ ἅπαντες καὶ ἐπαινοῦντες καὶ ψέγοντες καὶ προτρέποντες καὶ ἀποτρέποντες καὶ κατηγοροῦντες καὶ ἀπολογούμενοι οὐ μόνον τὰ εἰρημένα δεικνύναι πειρῶνται ἀλλὰ καὶ ὅτι μέγα ἢ μικρὸν τὸ ἀγαθὸν ἢ τὸ κακόν, ἢ τὸ καλὸν ἢ τὸ αἰσχρόν, 20 ἢ τὸ δίκαιον ἢ τὸ ἄδικον, ἢ καθ' αὑτὰ λέγοντες ἢ πρὸς ἄλληλα ἀντιπαραβάλλοντες, δῆλον ὅτι δέοι ἂν καὶ περὶ μεγέθους καὶ μικρότητος καὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος προτάσεις ἔχειν, καὶ καθόλου καὶ περὶ ἑκάστου, οἷον τί μεῖζον ἀγαθὸν ἢ ἔλαττον ἢ ἀδίκημα ἢ δικαίωμα· ὁμοίως δὲ 25 καὶ περὶ τῶν ἄλλων. περὶ ὧν μὲν οὖν ἐξ ἀνάγκης δεῖ λαβεῖν τὰς προτάσεις, εἴρηται· μετὰ δὲ ταῦτα διαιρετέον ἰδίᾳ περὶ ἑκάστου τούτων, οἷον περὶ ὧν συμβουλὴ καὶ περὶ ὧν οἱ ἐπιδεικτικοὶ λόγοι, τρίτον δὲ περὶ ὧν αἱ δίκαι.

4 πρῶτον μὲν οὖν ληπτέον περὶ ποῖα ἀγαθὰ ἢ κακὰ 30

schol. cf. Susemihl ad. Pol. 1254 a, 10 ‖ 11 πραχθήσεσθαι] πεπράχθαι A^{c} schol. ‖ 12 μὴ post ἢ om. Z^{b} Tr. ‖ 13 οὐχ οἷόν τε dubitanter delet Spengel (at cf. locum a Spengelio laudatum 1418 a, 16 et Indicem 539 a, 48) ‖ τὰ μὲν πρᾶξαι C et Y^{b} pr., ubi rec. man. correxit πεπράχθαι ‖ 15 Et hic et 1358 b, 17 pro ἐπιδεικτικῷ ἐπιδεικνυμένῳ proposuit Spengel ‖ 17 οἱ ἐπαινοῦντες καὶ οἱ ψέγοντες Y^{b}BC ‖ Et propter sequentia et ut disputationis ordo servaretur καὶ προτρέποντες καὶ ἀποτρέποντες καὶ ἐπαινοῦντες καὶ ψέγοντες transponere voluit Spengel ‖ 20 ἢ τὸ ἀγαθόν ΘΠ ‖ 22 ἢ πρὸς ἄλλα (ἄλλο schol.) ἀντιπαραλλάβοντες sic Z^{b} alt. man. correxit βάλλοντες ‖ 25 ἢ ἀγαθόν Q cf. ad 20 ‖ ἀγαθὸν delendum censet Kayser ‖ 26 λέγειν vel εἰπεῖν pro λαβεῖν Tr. ‖ 28 καὶ ante περὶ om. Z^{b} ‖ 30 ἢ ποῖα κακά Tr. (?).

Digitized by Google

ὁ συμβουλεύων συμβουλεύει, ἐπειδὴ οὐ περὶ ἅπαντα ἀλλ' ὅσα ἐνδέχεται καὶ γενέσθαι καὶ μή. ὅσα δὲ ἐξ ἀνάγκης ἢ ἔστιν ἢ ἔσται ἢ ἀδύνατον ἢ εἶναι ἢ γενέσθαι, περὶ δὲ τούτων οὐκ ἔστι συμβουλή. οὐδὲ δὴ περὶ τῶν ἐνδεχομένων ἁπάντων· ἔστιν γὰρ καὶ φύσει ἔνια καὶ ἀπὸ τύχης γινόμενα ἀγαθὰ τῶν ἐνδεχομένων καὶ γίγνεσθαι καὶ μή, περὶ ὧν οὐδὲν πρὸ ἔργου τὸ συμβουλεύειν· ἀλλὰ δῆλον ὅτι περὶ ὅσων ἐστὶν τὸ βουλεύεσθαι. τοιαῦτα δ' ἐστὶν ὅσα πέφυκεν ἀνάγεσθαι εἰς ἡμᾶς, καὶ ὧν ἡ ἀρχὴ τῆς γενέσεως ἐφ' ἡμῖν ἐστιν· μέχρι γὰρ τού-
1359 b του σκοποῦμεν, ἕως ἂν εὕρωμεν εἰ ἡμῖν δυνατὰ ἢ ἀδύνατα πρᾶξαι. καθ' ἕκαστον μὲν οὖν ἀκριβῶς διαριθμήσασθαι καὶ διαλαβεῖν εἰς εἴδη περὶ ὧν εἰώθασι χρηματίζειν, ἔτι δ' ὅσον ἐνδέχεται περὶ αὐτῶν διορίσαι κατὰ τὴν ἀλή-
5 θειαν, οὐ δεῖ κατὰ τὸν παρόντα καιρὸν ζητεῖν διὰ τὸ μήτε τῆς ῥητορικῆς εἶναι τέχνης ἀλλ' ἐμφρονεστέρας καὶ μᾶλλον ἀληθινῆς, πολλῷ τε πλείω δεδόσθαι καὶ νῦν αὐτῇ τῶν οἰκείων θεωρημάτων· ὅπερ γὰρ καὶ πρότερον εἰρηκότες τυγχάνομεν, ἀληθές ἐστιν, ὅτι ἡ ῥητορικὴ σύγκειται μὲν
10 ἔκ τε τῆς ἀναλυτικῆς ἐπιστήμης καὶ τῆς περὶ τὰ ἤθη πολιτικῆς, ὁμοία δ' ἐστὶν τὰ μὲν τῇ διαλεκτικῇ τὰ δὲ τοῖς σοφιστικοῖς λόγοις. ὅσῳ δ' ἄν τις ἢ τὴν διαλεκτικὴν ἢ ταύτην μὴ καθάπερ ἂν δυνάμεις ἀλλ' ἐπιστήμας πειρᾶται

31 *δή* in *ἐπειδὴ* ead. man., sed linea in marginem continuata A^c ‖ 32 *ὅσα* ead. man. supra lineam A^c ‖ *καὶ μὴ* — 33 *γενέσθαι* om. Q ‖ 33 Post *ἀδύνατον* spatium unius litterae capax in A^c, ubi primitus scriptum fuisse videtur *ἢ*, quod recepi cf. 1357 a, 6, om. cet. ‖ *δέ* post *περὶ* om. QCDETr. ‖ 34 *ἔσται* A^c(?) *ἡ συμβουλή* C ‖ 37 *ὅσον* Z^b cf. 1355 b, 29 ‖ 38 *δὲ* post *τοιαῦτα* om. Tr. ‖ 1359 b, 1 *ἢ ἀδύνατα* om. Tr. ‖ 2 *διορίσασθαι* Tr. ‖ 6 ad *μὴ* cf. Tr. 1355 a, 32 ‖ „*illustrioris*" unde *ἐμφανεστέρας* coni. Morelius ‖ 7 *πολλῷ τε* Tr. CA^c, sed in A^c *τε* rec. man. delevit. *τε* recepit Spengel, *δὲ* ceteri ‖ 9 *μὲν* ead. man. super lineam A^c om. C secl. Spengel (perperam) ‖ 10 *ἐκ διαλεκτικῆς ἐπιστήμης* Tr. ‖ 12 *πολιτικοῖς λόγοις* marg. ed. Venetae ‖ 13 *πειράσηται* Tr. an etiam Q? nam in Y^b *πειρᾶται* cf. Tr. ad. 1356 a, 15.

Digitized by Google

κατασκευάζειν, λήσεται τὴν φύσιν αὐτῶν ἀφανίσας τῷ μεταβαίνειν ἐπισκευάζων εἰς ἐπιστήμας ὑποκειμένων τινῶν πρα- 15
γμάτων, ἀλλὰ μὴ μόνον λόγων. ὅμως δὲ ὅσα πρὸ ἔργου μέν ἐστι διελεῖν, ἔτι δ' ὑπολείπει σκέψιν τῇ πολιτικῇ ἐπιστήμῃ, εἴπωμεν καὶ νῦν.

σχεδὸν γάρ, περὶ ὧν βουλεύονται πάντες καὶ περὶ ὧν ἀγορεύουσιν οἱ συμβουλεύοντες, τὰ μέγιστα τυγχάνει πέντε τὸν 20
ἀριθμὸν ὄντα· ταῦτα δ' ἐστὶν περί τε πόρων, καὶ πολέμου καὶ εἰρήνης, ἔτι δὲ περὶ φυλακῆς τῆς χώρας, καὶ τῶν εἰσαγομένων καὶ ἐξαγομένων, καὶ νομοθεσίας. ὥστε περὶ μὲν πόρων τὸν μέλλοντα συμβουλεύειν δέοι ἂν τὰς προσόδους τῆς πόλεως εἰδέναι τίνες καὶ πόσαι, ὅπως εἴτε τις παραλείπεται προστεθῇ καὶ 25
εἴ τις ἐλάττων αὐξηθῇ, ἔτι δὲ τὰς δαπάνας τῆς πόλεως ἁπάσας, ὅπως εἴ τις περίεργος ἀφαιρεθῇ καὶ εἴ τις μείζων ἐλάττων γένηται· οὐ γὰρ μόνον πρὸς τὰ ὑπάρχοντα προστιθέντες πλουσιώτεροι γίνονται, ἀλλὰ καὶ ἀφαιροῦντες τῶν δαπανημάτων. ταῦτα δ' οὐ μόνον ἐκ τῆς περὶ τὰ ἴδια ἐμ- 30
πειρίας ἐνδέχεται συνορᾶν, ἀλλ' ἀναγκαῖον καὶ τῶν παρὰ τοῖς ἄλλοις εὑρημένων ἱστορικὸν εἶναι πρὸς τὴν περὶ τούτων συμβουλήν.

περὶ δὲ πολέμου καὶ εἰρήνης τὴν δύναμιν εἰδέναι τῆς πόλεως, ὁπόση τε ὑπάρχει ἤδη καὶ πόσην ἐνδέχεται ὑπάρξαι, καὶ ποία τις ἥ τε ὑπάρχουσά ἐστιν καὶ 35

17 ἔτι] εἴ τι Y[b] ‖ 19 περὶ ὧν ἀγορεύουσιν, ἃ ead. man. A[c] ‖ περὶ ἃ cet. quod defendit Spengel, ego prius recepi ‖ 21 ἔτι δὲ καὶ Tr. et frag. Monac. ‖ 22 Super εἰσαγομένων signum ⟨· relegans in marg., ubi ead. man. καὶ ἐξαγομένων A[c] cet. cf. Mus. Rhen. N. F. XXXIX pag. 497 ‖ περὶ ante νομοθεσίας omissum in libris omnibus (Q?) delevi ‖ 23 τοὺς μέλλοντας Tr. ‖ 24 συμβουλεύειν A[c]CD Spengel συμβουλεύσειν cet. ‖ τὰς om. Ald. ‖ 25 καὶ τίνες Tr. ‖ λείπεται schol. ‖ 26 εἴτε τις E εἰ τε τις C τε ead. man. ‖ 27 Pluralem εἴ τινες κτλ. exhibet Tr. ‖ 29 θέντες in ras. erasum etiam, quod superscriptum erat A[c] ‖ πλουσιότεροι A[c] ‖ 32 ὡρισμένων pro εὑρημένων schol. ‖ περὶ τούτων A[c] ου ex corr. rec. man. ‖ 35 ὑπάρξειν Tr.

Digitized by Google

ἥ τις ἐνδέχεται προσγενέσθαι, ἔτι δὲ πολέμους πῶς καὶ τίνας πεπολέμηκεν. οὐ μόνον δὲ τῆς οἰκείας πόλεως ἀλλὰ καὶ τῶν ὁμόρων ταῦτα ἀναγκαῖον εἰδέναι. [ἢ] καὶ πρὸς οὓς ἐπίδοξον πολεμεῖν, ὅπως πρὸς μὲν τοὺς κρείττους εἰρηνεύηται,
1360a πρὸς δὲ τοὺς ἥττους ἐπ' αὐτοῖς ᾖ τὸ πολεμεῖν. καὶ τὰς δυνάμεις, πότερον ὅμοιαι ἢ ἀνόμοιαι· ἔστιν γὰρ καὶ ταύτῃ πλεονεκτεῖν ἢ ἐλαττοῦσθαι. ἀναγκαῖον δὲ καὶ πρὸς ταῦτα μὴ μόνον τοὺς οἰκείους πολέμους τεθεωρηκέναι ἀλλὰ καὶ τοὺς τῶν ἄλλων, πῶς
5 ἀποβαίνουσιν· ἀπὸ γὰρ τῶν ὁμοίων τὰ ὅμοια γίγνεσθαι πέφυκεν.

ἔτι δὲ περὶ φυλακῆς τῆς χώρας μὴ λανθάνειν πῶς φυλάττεται, ἀλλὰ καὶ τὸ πλῆθος εἰδέναι τῆς φυλακῆς καὶ τὸ εἶδος καὶ τοὺς τόπους τῶν φυλακτηρίων, τοῦτο δ' ἀδύνατον μὴ ἔμπειρον ὄντα τῆς χώρας, ἵν' εἴτ' ἐλάττων ἡ φυ-
10 λακὴ προστεθῇ καὶ εἴ τις περίεργος ἀφαιρεθῇ καὶ τοὺς ἐπιτηδείους τόπους τηρῶσι μᾶλλον.

ἔτι δὲ περὶ τροφῆς, πόση δαπάνη ἱκανὴ τῇ πόλει καὶ ποία, ἡ αὐτοῦ τε γιγνομένη καὶ εἰσαγώγιμος, καὶ τίνων τ' ἐξαγωγῆς δέονται καὶ τίνων εἰσαγωγῆς, ἵνα πρὸς τούτους καὶ
15 συνθῆκαι καὶ συμβολαὶ γίγνωνται· πρὸς δύο γὰρ διαφυλάττειν ἀναγκαῖον ἀνεγκλήτους τοὺς πολίτας, πρός τε τοὺς κρείττους καὶ πρὸς τοὺς εἰς ταῦτα χρησίμους.

36 ἥτις ead. man. A^c, sed linea in marginem continuata ‖ πῶς καὶ τίνας omnium, ut videtur, librorum lectio (Q?) ‖ τίνας καὶ πῶς error Bekkeri ex ed. Moreliana ‖ 37 πεπολεμήκασι et 39 εἰρηνεύωνται Tr. ‖ 38 ἢ pusillo ductu ead. man. super lineam A^c: est varia lectio pro καὶ (ἢ πρὸς οὕς fragm. Monac.) et sic irrepsit in textum in deterioribus et Tr.; itaque cum Spengelio seclusi ‖ 39 ἀμφίδοξον Tr. ‖ κρείττονας ΘDEÅld. ‖ 1360a, 1 ἐφ' αὐτοῖς A^c ἐπ' αὐτῆς Z^b ‖ ἐπ' αὐτῇ Isingr. ‖ 2 ταύταις Tr. ‖ 6 ἔτι δὲ καὶ schol. cf. 1359b, 21 ‖ 13 in marg. A^c γρ. καὶ πόση τε αὐτόθεν (αὐτόθι ΘΠTr.) γινομένη καὶ πόση εἰσαγώγιμος quod vertit Tr. ‖ τ' post τίνων om. Y^b BC ‖ πρὸς τούτοις Z^b schol. A^c pr., sed ibi eadem man. correxit τούτους ‖ πρὸς ταῦτα Tr. (Mm.) ed. Isingr. (an etiam Q? nam Y^b τούτους legit) cf. Mus. Rhen. N. F. XXXIX pag. 497 ‖ 15 καὶ post συνθῆκαι om. Z^b ‖ σύμβολα coni. Madvig ‖ 16 φυλάττειν ΘBC ‖ ἀνεγκλήτους τὰς πόλεις C.

Digitized by Google

εἰς δ' ἀσφάλειαν ἅπαντα μὲν ταῦτα ἀναγκαῖον δύνασθαι θεωρεῖν, οὐκ ἐλάχιστον δὲ περὶ νομοθεσίας ἐπαΐειν· ἐν γὰρ τοῖς νόμοις ἐστὶν ἡ σωτηρία τῆς πόλεως, ὥστ' ἀναγκαῖον εἰδέναι πόσα τέ ἐστι πολιτειῶν εἴδη, καὶ ποῖα συμφέρει ἑκάστῃ, καὶ ὑπὸ τίνων φθείρεσθαι πέφυκεν καὶ οἰκείων τῆς πολιτείας καὶ ἐναντίων. λέγω δὲ τὸ ὑπὸ οἰκείων φθείρεσθαι, ὅτι ἔξω τῆς βελτίστης πολιτείας αἱ ἄλλαι πᾶσαι καὶ ἀνιέμεναι καὶ ἐπιτεινόμεναι φθείρονται, οἷον δημοκρατία οὐ μόνον ἀνιεμένη ἀσθενεστέρα γίνεται ὥστε τέλος ἥξει εἰς ὀλιγαρχίαν, ἀλλὰ καὶ ἐπιτεινομένη σφόδρα, ὥσπερ καὶ ἡ γρυπότης καὶ ἡ σιμότης οὐ μόνον ἀνιέμενα ἔρχεται εἰς τὸ μέσον, ἀλλὰ καὶ σφόδρα γρυπὰ γινόμενα ἢ σιμὰ οὕτως διατίθεται ὥστε μηδὲ μυκτῆρα δοκεῖν εἶναι. χρήσιμον δὲ πρὸς τὰς νομοθεσίας τὸ μὴ μόνον ἐπαΐειν τίς πολιτεία συμφέρει ἐκ τῶν παρεληλυθότων θεωροῦντι, ἀλλὰ καὶ τὰς παρὰ τοῖς ἄλλοις εἰδέναι, αἱ ποῖαι τοῖς ποίοις ἁρμόττουσιν. ὥστε δῆλον ὅτι πρὸς μὲν τὴν νομοθεσίαν αἱ τῆς γῆς περίοδοι χρήσιμοι· ἐντεῦθεν γὰρ λαβεῖν ἔστιν τοὺς τῶν ἐθνῶν νόμους, πρὸς δὲ τὰς πολιτικὰς συμβουλὰς τὰς τῶν περὶ τὰς πράξεις γραφόντων ἱστορίας· ἅπαντα δὲ ταῦτα πολιτικῆς ἀλλ' οὐ ῥητορικῆς ἔργον ἐστίν.

περὶ ὧν μὲν οὖν ἔχειν δεῖ ⟨τὰς προτάσεις⟩ τὸν μέλλοντα συμβουλεύειν, τὰ μέγιστα τοσαῦτά ἐστιν· ἐξ ὧν δὲ δεῖ καὶ 1360b περὶ τούτων καὶ περὶ τῶν ἄλλων προτρέπειν ἢ ἀποτρέπειν, λέγωμεν πάλιν.

18 μὲν πάντα Z^b Ald. ‖ ἀναγκαῖα ΘBDE ‖ 26 ἥξειν Q ‖ ὥσπερ καὶ ἡ γρυπότης καὶ ἡ σιμότης σφόδρα γρυπὴ γινομένη ἢ σιμὴ οὕτω διατίθεται ceteris deletis coni. Spengel ‖ 29 Post διατίθεται τὴν ῥῖνα addunt QY^b BCTr. om. Aldus ‖ 31 γρ. ἃ τῇ πολιτείᾳ in marg. A^c, quod vertit Tr. ‖ 32 θεωροῦντι aut delendum aut θεωροῦντα scribendum censet Spengel ‖ 35 ἔστι λαβεῖν CTr. ‖ 36 πολι ^τι κάς sic A^c in spatio vacuo ras. ‖ τὰς — ἱστορίας ex A^c Spengel, αἱ — ἱστορίαι ΘΠTr. ‖ 38 τὰς προτάσεις inseruit Vahlen ‖ ἐπαΐειν pro ἔχειν coni. Madvig ‖ 1360b, 2 ἢ ἀποτρέπειν ead. man. in marg. A^c cum signo ⟨·, cui idem respondet super προτρέπειν ‖ λέγομεν A^c Z^b.

Digitized by Google

5 σχεδὸν δὲ καὶ ἰδίᾳ ἑκάστῳ καὶ κοινῇ πᾶσι σκοπός
5 τίς ἐστιν, οὗ στοχαζόμενοι καὶ αἱροῦνται καὶ φεύγουσιν· καὶ
τοῦτ' ἐστὶν ἐν κεφαλαίῳ εἰπεῖν ἥ τ' εὐδαιμονία καὶ τὰ μόρια
αὐτῆς. ὥστε παραδείγματος χάριν λάβωμεν τί ἐστιν ὡς
ἁπλῶς εἰπεῖν ἡ εὐδαιμονία, καὶ ἐκ τίνων τὰ μόρια ταύ-
της· περὶ γὰρ ταύτης καὶ τῶν εἰς ταύτην συντεινόντων
10 καὶ τῶν ἐναντίων ταύτῃ αἵ τε προτροπαὶ καὶ αἱ ἀποτρο-
παὶ πᾶσαί εἰσιν· τὰ μὲν γὰρ παρασκευάζοντα ταύτην ἢ τῶν μο-
ρίων τι, ἢ μεῖζον ἀντ' ἐλάττονος ποιοῦντα, δεῖ πράττειν, τὰ δὲ
φθείροντα ἢ ἐμποδίζοντα ἢ τὰ ἐναντία ποιοῦντα μὴ πράττειν.

ἔστω δὴ εὐδαιμονία εὐπραξία μετ' ἀρετῆς, ἢ αὐτάρ-
15 κεια ζωῆς, ἢ ὁ βίος ὁ μετὰ ἀσφαλείας ἡδιστος, ἢ εὐ-
θενία κτημάτων καὶ σωμάτων μετὰ δυνάμεως φυλακτι-
κῆς τε καὶ πρακτικῆς τούτων· σχεδὸν γὰρ τούτων ἓν ἢ
πλείω τὴν εὐδαιμονίαν ὁμολογοῦσιν εἶναι ἅπαντες.

εἰ δή ἐστιν ἡ εὐδαιμονία τοιοῦτον, ἀνάγκη αὐτῆς εἶναι μέρη
20 εὐγένειαν πολυφιλίαν χρηστοφιλίαν πλοῦτον εὐτεκνίαν πολυ-
τεκνίαν εὐγηρίαν, ἔτι τὰς τοῦ σώματος ἀρετάς, οἷον ὑγίειαν
κάλλος ἰσχὺν μέγεθος, δύναμιν ἀγωνιστικήν, δόξαν τιμὴν
εὐτυχίαν ἀρετήν· οὕτω γὰρ ἂν αὐταρκέστατος εἴη,
25 εἰ ὑπάρχοι αὐτῷ τά τ' ἐν αὐτῷ καὶ τὰ ἐκτὸς ἀγαθά·

4 δὴ Tr. ‖ 5 τις om. frag. Monac. ‖ 7 ταύτης C ‖ ὥστε παραδείγματος — 8 τὰ μόρια ταύτης om. C ‖ 9 ταύτης καὶ in marg. A^c ead. man. cum signo ⟨·, cui idem respondet ⟨· in textu super γὰρ ‖ εἰς ταῦτα Q ‖ 10 αἱ ante ἀποτροπαί om. ΘBC ‖ 11 πᾶσαι A^c Tr. Vict. ‖ πᾶσιν ΘΠ ‖ αὐτὴν Tr. ‖ 12 μεῖζονα Toup. apud Gaisford ‖ ποιοῦντα om. Tr. ‖ 13 δὲ alt. man. addidit Z^b ‖ τὰ ante ἐναντία om. Y^b BC ‖ 15 ὁ om. Z^b ‖ 16 εὐθενία A^c Tr. Morelius ‖ εὐσθένεια ΘΠ ‖ εὐθηνία Bekker ‖ χρημάτων pro κτημάτων Z^b, sed iam pr. man. emendavit κτημάτων ‖ 17 φυλακῆς et πρακτικοῦ Z^b Ald. ‖ τι τούτων ἢ ἓν Tr. ‖ 18 εἶναι ead. man. super lineam A^c ‖ 23 Post ἀρετὴν: ἢ καὶ τὰ μέρη (μόρια D) αὐτῆς φρόνησιν ἀνδρείαν δικαιοσύνην σωφροσύνην addunt Q Y^b BDE Tr. fragm. Monac. secl. Gaisford om. Bekker[3] ‖ 25 ὑπάρχει ΘΠ.

Digitized by Google

οὐ γὰρ ἔστιν ἄλλα παρὰ ταῦτα. ἔστι δ' ἐν αὐτῷ μὲν τὰ περὶ ψυχὴν καὶ τὰ ἐν σώματι, ἔξω δὲ εὐγένεια καὶ φίλοι καὶ χρήματα καὶ τιμή. ἔτι δὲ προσήκειν οἰόμεθα δυνάμεις ὑπάρχειν καὶ τύχην· οὕτω γὰρ ἂν ἀσφαλέστατος ὁ βίος εἴη. λάβωμεν τοίνυν ὁμοίως καὶ τούτων ἕκαστον τί ἐστιν. 30

εὐγένεια μὲν οὖν ἐστιν ἔθνει μὲν καὶ πόλει τὸ αὐτόχθονας ἢ ἀρχαίους εἶναι, καὶ ἡγεμόνας τοὺς πρώτους ἐπιφανεῖς, καὶ πολλοὺς ἐπιφανεῖς γεγονέναι ἐξ αὐτῶν ἐπὶ τοῖς ζηλουμένοις· ἰδίᾳ δὲ εὐγένεια ἢ ἀπ' ἀνδρῶν ἢ ἀπὸ γυναικῶν, καὶ γνησιότης ἀπ' ἀμφοῖν, καὶ ὥσπερ ἐπὶ πόλεως τούς τε πρώτους γνωρίμους ἢ ἐπ' ἀρετῇ ἢ πλούτῳ ἢ ἄλλῳ τῷ τῶν τιμωμένων, καὶ πολλοὺς ἐπιφανεῖς ἐκ τοῦ γένους καὶ ἄνδρας καὶ γυναῖκας καὶ νέους καὶ πρεσβυτέρους. 35

εὐτεκνία δὲ καὶ πολυτεκνία οὐκ ἄδηλα· ἔστιν δὲ τῷ κοινῷ 1361a *μὲν [εὐτεκνία], νεότης ἂν ᾖ πολλὴ καὶ ἀγαθή, ἀγαθὴ δὲ κατ' ἀρετὴν σώματος, οἷον μέγεθος κάλλος ἰσχὺν δύναμιν ἀγωνιστικήν· ψυχῆς δὲ σωφροσύνη καὶ ἀνδρία νέου ἀρεταί. ἰδίᾳ δὲ εὐτεκνία καὶ πολυτεκνία τὸ τὰ ἴδια τέκνα* 5 *πολλὰ καὶ τοιαῦτα εἶναι, καὶ θήλεα καὶ ἄρρενα· θηλειῶν δὲ ἀρετὴ σώματος μὲν κάλλος καὶ μέγεθος, ψυχῆς δὲ σωφροσύνη καὶ φιλεργία ἄνευ ἀνελευθερίας. ὁμοίως δὲ*

29 *δύναμιν* Tr. (fors. recte) ‖ *ἂν* super lineam ead. man. et *εἴη* corr. A^c, unde *ἐστι* vel *ἔσται* primitus fuisse coni. Spengel ‖ 31 *ἐστιν* om. $Z^b Y^b \Pi$ Ald. ‖ 32 Prius *ἐπιφανεῖς* delendum censet Spengel ‖ *καὶ πολλοὺς ἐπιφανεῖς* ut ex l. 37 male illatum delet Kayser (certe falsum) ‖ 36 *πρώτους* om. Z^b ‖ 37 *τῷ* om. Tr. ‖ *εἶναι* post *τιμωμένων* addit fragm. Monac. et *γεγονέναι* vel simile verbum excidisse putat Spengel ‖ 1361a, 1 *κοινῇ* Tr. ‖ 2 *εὐτεκνία* secl. Spengel ‖ 3 *μὲν* post *ἀρετήν* addunt Tr. fragm. Monac. ‖ *ὑγίειαν* ante *μέγεθος* inserendum censet Spengel (vix recte) ‖ *ἰσχὺν* alt. man. addidit Z^b ‖ 4 Inde ab *σωφροσύνη* altera manus incipit Z^b ‖ *ἀνδρεία* $A^c Y^b$ B E Ald. ‖ *·νέου ἀρεταί·* sic A^c ‖ *ψυχῆς δὲ νέου ἀρετή* Tr. ‖ 5 *ἰδίᾳ* corr. A^c ‖ *ἰδία* vertit Tr. ut supra 1360b, 34 ‖ 8 *φιλοεργία* D E Ald. ‖ *οὕτως δὲ* Tr.

Digitized by Google

καὶ ἰδίᾳ καὶ κοινῇ καὶ κατ' ἄνδρας καὶ κατὰ γυναῖκας δεῖ
10 ζητεῖν ἕκαστον ὑπάρχειν τῶν τοιούτων· ὅσοις γὰρ τὰ κατὰ γυναῖκας φαῦλα ὥσπερ Λακεδαιμονίοις, σχεδὸν κατὰ τὸ ἥμισυ οὐκ εὐδαιμονοῦσιν.

πλούτου δὲ μέρη νομίσματος πλῆθος, γῆς, χωρίων κτῆσις πλήθει καὶ μεγέθει καὶ κάλλει διαφερόντων, ἔτι δὲ ἐπίπλων κτῆσις καὶ βοσκημάτων καὶ ἀνδραπόδων πλή-
15 θει καὶ κάλλει διαφερόντων, ταῦτα δὲ πάντα ἀσφαλῆ καὶ ἐλευθέρια καὶ χρήσιμα. ἔστιν δὲ χρήσιμα μὲν μᾶλλον τὰ κάρπιμα, ἐλευθέρια δὲ τὰ πρὸς ἀπόλαυσιν· κάρπιμα δὲ λέγω ἀφ' ὧν αἱ πρόσοδοι, ἀπολαυστικὰ δὲ ἀφ' ὧν μηδὲν παρὰ τὴν χρῆσιν γίγνεται, ὅ τι καὶ ἄξιον. ὅρος δὲ ἀσφα-
20 λείας μὲν τὸ ἐνταῦθα καὶ οὕτω κεκτῆσθαι ὥστ' ἐφ' αὑτῷ εἶναι τὴν χρῆσιν αὐτῶν, τοῦ δὲ οἰκεῖα εἶναι ὅταν ἐφ' αὑτῷ ᾖ ἀπαλλοτριῶσαι ἢ μή· λέγω δὲ ἀπαλλοτρίωσιν δόσιν καὶ

12 H. l. definitio *πλούτου* desideratur cf. Mus. Rhen. N. F. XXXIX p. 497 ‖ *νομίσματος πλῆθος* A^c Tr. Morelius ‖ *νομίσματα ΘΠ* ‖ *χωρίων κτήσεις Θ* C E ‖ Totum locum edidi fidem cod. A^c secutus, de quo omnes fere, qui cod. inspexerunt, falsa propagaverunt praeter Vahlenium. Ibi enim *χωρίων κτῆσις πλήθει καὶ μεγέθει καὶ κάλλει διαφερόντων* in continuis textus verbis leguntur. Super *διαφερόντων* ⟨· quod signum relegat in marg., ubi ead. prima et antiqua man. exaravit: *ἔτι δὲ ἐπίπλων κτῆσις καὶ ἀνδραπόδων καὶ βοσκημάτων καὶ πλήθει καὶ κάλλει διαφερόντων*, quod in textum recipere non dubitavi. Accedit Tr. auctoritas et plane eodem modo verba leguntur in fragm. Monac. et cod. Dresdensi apud Vahlenium Index Lectionum Univers. Berol. Sem. aest. 1875 p. 7.. ‖ *χωρίων κτῆσις, ἔτι δὲ ἐπίπλων κτῆσις* (*κτῆσις* om. B C Y^b) *καὶ βοσκημάτων καὶ ἀνδραπόδων πλήθει* (*καὶ πλήθει* B C) *καὶ μεγέθει καὶ κάλλει διαφερόντων ΘΠ* et editores omnes cf. Mus. Rhen. N. F. XXXIX pag. 498 ‖ 15 Ex Mureti versione post *πάντα οἰκεῖα* inserendum putat Spengel cf. variet. 1379 a, 16 ‖ *καὶ* ante *ἀσφαλῆ* addunt *ΘΠ*, om. A^c Tr. frag. Monac., quos secutus sum ‖ 16 *χρὴ εἶναι δηλονότι* D in marg. *χρήσιμα χρὴ εἶναι δηλονότι* in textu Q E Ald. ‖ 18 *ἀπολαυτικὰ* A^c ‖ 20 *μὲν* om. B Y^b ‖ *οὕτως* A^c pr., nunc *σ* erasum est ‖ 21 *δὲ*, quod exstat in C et libro Victorii, restituit Spengel, *τε*, quod legunt ceteri, servato *μὲν* vix stare potest; itaque *μὲν* deletum videtur Y^b B ‖ *οἰκεῖον ΘΠ* ‖ 22 *αυτω παλλοτριῶσαι* A^c pr. sed superscriptum

Digitized by Google

πρᾶσιν. ὅλως δὲ τὸ πλουτεῖν ἐστιν ἐν τῷ χρῆσθαι μᾶλλον ἢ ἐν τῷ κε-
κτῆσθαι· καὶ γὰρ ἡ ἐνέργειά ἐστι τῶν τοιούτων καὶ ἡ χρῆσις πλοῦτος.

εὐδοξία δ' ἐστὶν τὸ ὑπὸ πάντων σπουδαῖον ὑπολαμβάνε- 25
σθαι ἢ τοιοῦτόν τι ἔχειν οὗ πάντες ἐφίενται ἢ οἱ πολλοὶ ἢ
οἱ ἀγαθοὶ ἢ οἱ φρόνιμοι.

τιμὴ δ' ἐστὶν μὲν σημεῖον εὐεργετικῆς εὐδοξίας, τιμῶνται δὲ
δικαίως μὲν καὶ μάλιστα οἱ εὐεργετηκότες, οὐ μὴν ἀλλὰ τιμᾶται καὶ
ὁ δυνάμενος εὐεργετεῖν· εὐεργεσία δὲ ἢ εἰς σωτηρίαν καὶ ὅσα 30
αἴτια τοῦ εἶναι, ἢ εἰς πλοῦτον, ἢ εἴς τι τῶν ἄλλων ἀγαθῶν,
ὧν μὴ ῥᾳδία ἡ κτῆσις ἢ ὅλως ἢ ἐνταῦθα ἢ ποτέ· πολλοὶ
γὰρ διὰ μικρὰ δοκοῦντα τιμῆς τυγχάνουσιν, ἀλλ' οἱ τόποι
καὶ οἱ καιροὶ αἴτιοι. μέρη δὲ τιμῆς θυσίαι, μνῆμαι ἐν
μέτροις καὶ ἄνευ μέτρων, γέρα, τεμένη, προεδρίαι, τάφοι, 35
εἰκόνες, τροφαὶ δημόσιαι, τὰ βαρβαρικά, οἷον προσκυνήσεις
καὶ ἐκστάσεις, δῶρα τὰ παρ' ἑκάστοις τίμια. καὶ γὰρ τὸ
δῶρόν ἐστι κτήματος δόσις καὶ τιμῆς σημεῖον, διὸ καὶ οἱ
φιλοχρήματοι καὶ οἱ φιλότιμοι ἐφίενται αὐτῶν· ἀμφο-
τέροις γὰρ ἔχει ὧν δέονται· καὶ γὰρ κτῆμά ἐστιν, οὗ ἐφίεν- 1361b
ται οἱ φιλοχρήματοι, καὶ τιμὴν ἔχει, οὗ οἱ φιλότιμοι.

σώματος δὲ ἀρετὴ ὑγίεια, αὕτη δὲ οὕτως ὥστε ἀνόσους
εἶναι χρωμένους τοῖς σώμασιν· πολλοὶ γὰρ ὑγιαίνουσιν ὥσπερ
Ἡρόδικος λέγεται, οὓς οὐδεὶς ἂν εὐδαιμονίσειε τῆς ὑγιείας 5

η et α crassiore atramento ‖ ἢ μὴ, quod omnes libri post εἶναι habent, monente Spengelio post ἀπαλλοτριῶσαι transposui ‖ 24 ἡ ead. man. super lineam A^c ‖ χρῆσις A^c Tr. Venet. κτῆσις ΘΠ ‖ 28 εὐδοξίας A^c Spengel δόξης ΘΠ ‖ 29 καὶ ante μάλιστα om. Tr. fragm. Monac. ‖ 31 ἄλλων om. Y^b BC ‖ 32 τότε pro ποτέ Tr. (fors. recte) ‖ 33 γὰρ διὰ μικρὰ καὶ δοκοῦνταί τὸ δοῦναι sic D ‖ διὰ τὸ μικρὰ δοῦναι Q ‖ τόποι A^c C Isingr. Bekker ‖ τρόποι cet. (ρ deletum alt. man. Y^b) ‖ utrumque et τόποι et τρόποι explicat schol. ‖ 34 μνῆμαι ἔμμετροι frag. Monac. ‖ 37 Mirum profert fragm. Monac. ἑκαστάσεις ‖ 1361b, 1 ἀμφότερον Z^b ‖ ἀμφότερα fragm. Monac. ‖ ἐστὶν post κτῆμα om. fragm. Monac. ‖ ἐφίενται] δέονται fragm. Monac. et Tr. ‖ 5 ὃν Q Z^b D E ‖ εὐδαιμονίσειε ex Tr. pr. dedit Morelius ‖ εὐδαιμονήσειε A^c Z^b et ceteri.

Digitized by Google

διὰ τὸ πάντων ἀπέχεσθαι τῶν ἀνθρωπίνων ἢ τῶν πλείστων. κάλλος δὲ ἕτερον καθ' ἑκάστην ἡλικίαν ἐστίν. νέου μὲν οὖν κάλλος τὸ πρὸς τοὺς πόνους χρήσιμον ἔχειν τὸ σῶμα τούς τε πρὸς δρόμον καὶ πρὸς βίαν, ἡδὺν ὄντα ἰδεῖν πρὸς ἀπό-
10 λαυσιν, διὸ οἱ πένταθλοι κάλλιστοι, ὅτι πρὸς βίαν καὶ πρὸς τάχος ἅμα πεφύκασιν· ἀκμάζοντος δὲ πρὸς μὲν πόνους τοὺς πολεμικούς, ἡδὺν δ' εἶναι δοκεῖν μετὰ φοβερότητος· γέροντος δὲ πρὸς μὲν πόνους τοὺς ἀναγκαίους ἱκανόν, ἄλυπον δὲ διὰ τὸ μηδὲν ἔχειν ὧν τὸ γῆρας λωβᾶται.
15 ἰσχὺς δ' ἐστὶ μὲν δύναμις τοῦ κινεῖν ἕτερον ὡς βούλεται, ἀνάγκη δὲ κινεῖν ἕτερον ἢ ἕλκοντα ἢ ὠθοῦντα ἢ αἴροντα ἢ πιέζοντα ἢ συνθλίβοντα, ὥστε ὁ ἰσχυρὸς ἢ πᾶσιν ἢ τούτων τισίν ἐστιν ἰσχυρός. μεγέθους δὲ ἀρετὴ τὸ ὑπερέχειν κατὰ μῆκος καὶ βάθος καὶ πλάτος τῶν πολλῶν τοσούτῳ
20 μείζονι ὥστε μὴ βραδυτέρας ποιεῖν τὰς κινήσεις διὰ τὴν ὑπερβολήν. ἀγωνιστικὴ δὲ σώματος ἀρετὴ σύγκειται ἐκ μεγέθους καὶ ἰσχύος καὶ τάχους· καὶ γὰρ ὁ ταχὺς ἰσχυρός ἐστιν· ὁ γὰρ δυνάμενος τὰ σκέλη ῥιπτεῖν πως καὶ κινεῖν ταχὺ καὶ πόρρω δρομικός, ὁ δὲ θλίβειν καὶ κατέχειν πα-
25 λαιστικός, ὁ δὲ ὦσαι τῇ πληγῇ πυκτικός, ὁ δ' ἀμφοτέροις τούτοις παγκρατιαστικός, ὁ δὲ πᾶσι πένταθλος.

εὐγηρία δ' ἐστὶν βραδυτὴς γήρως μετ' ἀλυπίας· οὔτε γὰρ εἰ ταχὺ γηράσκει, εὔγηρως, οὔτ' εἰ μόγις μὲν λυπηρῶς δέ. ἔστιν δὲ καὶ ἐκ τῶν τοῦ σώματος ἀρετῶν καὶ τύχης· μὴ ἄνοσος γὰρ
30 ὢν μηδὲ ἰσχυρὸς οὐκ ἔσται ἀπαθής οὐδ' ἄλυπος, καὶ πολυ-

7 οὖν om. Tr. et fragm. Monac. ‖ 9 καὶ post ἰδεῖν addit Tr. ‖ ἀπόλαυσιν in versione om. Muretus ‖ 12 φαιδρότητος Q ‖ 13 ἱκανόν ead. man. in marg. cum signis respondentibus A^c ‖ 17 πιεζοῦντα A^c ‖ 19 καὶ — καὶ] ἢ — ἢ ΘBCE ‖ ἢ πλάτος ἢ βάθος D ‖ 20 μείζονα Q (? nam Z^b et Y^b μείζονι) ‖ τοσοῦτον ὥστε μὴ ποιεῖν βραδυτέρας C ‖ 22 καὶ τάχους delet Spengel ‖ ἰσχυρός τις Tr. ‖ 25 πυκτικός A^{c}Tr. Vict. ‖ πληκτικός ΘΠ ‖ 27 μὲν addit post ἐστιν Tr. ‖ 28 μὲν post μόγις om. Tr. ‖ 29—31 Ut saltem legi possit h. l., scripsi et distinxi cum Spengelio.

Digitized by Google

χρόνιος [οὔτ'] ἄνευ τύχης διαμείνειεν ἄν. ἔστιν δέ τις καὶ χωρὶς ἰσχύος καὶ ὑγιείας ἄλλη δύναμις μακροβιότητος· πολλοὶ γὰρ ἄνευ τῶν τοῦ σώματος ἀρετῶν μακρόβιοί εἰσιν· ἀλλ' οὐδὲν ἡ ἀκριβολογία χρήσιμος ἡ περὶ τούτων εἰς τὰ νῦν.

πολυφιλία δὲ καὶ χρηστοφιλία οὐκ ἄδηλα τοῦ φίλου 35
ὡρισμένου, ὅτι ἔστιν ὁ τοιοῦτος φίλος ὅς τις, ἃ οἴεται ἀγαθὰ εἶναι ἐκείνῳ, πρακτικός ἐστιν αὐτῶν δι' ἐκεῖνον. ᾧ δὴ πολλοὶ τοιοῦτοι, πολύφιλος, ᾧ δὲ καὶ ἐπιεικεῖς ἄνδρες, χρηστόφιλος.

εὐτυχία δέ ἐστιν, ὧν ἡ τύχη ἀγαθῶν αἰτία, ταῦτα
γίγνεσθαι καὶ ὑπάρχειν ἢ πάντα ἢ τὰ πλεῖστα ἢ τὰ 1362 a
μέγιστα. αἰτία δ' ἐστὶν ἡ τύχη ἐνίων μὲν καὶ ὧν αἱ τέχναι, πολλῶν δὲ καὶ ἀτέχνων, οἷον ὅσων ἡ φύσις, ἐνδέχεται δὲ καὶ παρὰ φύσιν εἶναι· ὑγιείας μὲν γὰρ τέχνη αἰτία, κάλλους δὲ καὶ μεγέθους φύσις. ὅλως δὲ τὰ τοιαῦτα τῶν ἀγα- 5
θῶν ἐστὶν ἀπὸ τύχης, ἐφ' οἷς ἐστὶν ὁ φθόνος. ἔστιν δὲ καὶ τῶν παρὰ λόγον ἀγαθῶν αἰτία τύχη, οἷον εἰ οἱ ἄλλοι αἰσχροὶ ἀδελφοί, ὁ δὲ καλός, ἢ οἱ ἄλλοι μὴ εἶδον τὸν θησαυρόν, ὁ δ' εὗρεν, ἢ εἰ τοῦ πλησίον ἔτυχεν τὸ βέλος, τούτου δὲ μή, ἢ εἰ μὴ ἦλθε μόνος ἀεὶ φοιτῶν, οἱ δὲ ἅπαξ 10
ἐλθόντες διεφθάρησαν· πάντα γὰρ τὰ τοιαῦτα εὐτυχήματα δοκεῖ εἶναι.

περὶ δὲ ἀρετῆς ἐπείπερ οἰκειότατος ὁ περὶ τοὺς ἐπαίνους τόπος, ὅταν περὶ ἐπαίνου ποιώμεθα τὸν λόγον, τότε διοριστέον.
6 ὧν μὲν οὖν δεῖ στοχάζεσθαι προτρέποντα ὡς ἐσομέ- 15

In marg. dext. A^c varia lectio nisi fallor γρ. καὶ ἰσχυρὸς pertinet ad μηδέ || 31 οὔτ' ἂν εὐτυχὴς A^c et, ut videtur, libri omnes || ἄνευ τύχης palmaris Mureti coniectura, qui etiam οὔτε, pro quo οὐκ proposuit Spengelius, in versione omittit || 37 αὐτῶν om. Tr. || 38 ἄνδρες om. Tr. || 1362 a, 2 καὶ ὧν αἱ τέχναι recepi ex A^{c}Z^b fragm. Mon. Ald. || καὶ ὧν καὶ αἱ τεχναι C || ἐνίων μὲν ὧν καὶ αἱ τέχναι cet. || 3 καὶ ante ἀτέχνων om. Z^b || Primus hunc locum sic distinxit Bonitz I. 87 || 4 ἡ αἰτία ΘD altera man. delevit ἡ Y^b || 7 παρὰ λογον ω alt. man. A^c || παραλόγων fragm. Monac. Ald. || εἰ om. Y^{b}Z^{b}BD Ald. || 8 εἷς δὲ pro ὁ δὲ Tr. || 9 non omittit εἰ A^c || 10 μὴ ante ἦλθε om. QD εἰ ἦλθον Ald. || 15 et 16 προτρέποντα et ἀποτρέποντα A^c Z^b || προτρέποντας et ἀποτρέποντας Y^{b}QΠTr. Ald.

Digitized by Google

νων ἢ ὑπαρχόντων, καὶ ὧν ἀποτρέποντα, φανερόν· τὰ γὰρ ἐναντία τούτων ἐστίν. ἐπεὶ δὲ πρόκειται τῷ συμβουλεύοντι σκοπὸς τὸ συμφέρον, βουλεύονται γὰρ οὐ περὶ τοῦ τέλους ἀλλὰ περὶ τῶν πρὸς τὸ τέλος, ταῦτα δ' ἐστὶ τὰ συμφέροντα κατὰ
20 *τὰς πράξεις, τὸ δὲ συμφέρον ἀγαθόν, ληπτέον ἂν εἴη τὰ στοιχεῖα περὶ ἀγαθοῦ καὶ συμφέροντος ἁπλῶς. ἔστω δὴ ἀγαθὸν ὃ ἂν αὐτὸ ἑαυτοῦ ἕνεκα ᾖ αἱρετόν, καὶ οὗ ἕνεκα ἄλλο αἱρούμεθα, καὶ οὗ ἐφίεται πάντα ἢ πάντα τὰ αἴσθησιν ἔχοντα ἢ νοῦν ἢ εἰ λάβοι νοῦν· καὶ ὅσα ὁ νοῦς ἂν ἑκάστῳ*
25 *ἀποδοίη, καὶ ὅσα ὁ περὶ ἕκαστον νοῦς ἀποδίδωσιν ἑκάστῳ, τοῦτό ἐστιν ἑκάστῳ ἀγαθόν, καὶ οὗ παρόντος εὖ διάκειται καὶ αὐτάρκως ἔχει, καὶ τὸ αὔταρκες, καὶ τὸ ποιητικὸν ἢ φυλακτικὸν τῶν τοιούτων, καὶ ᾧ ἀκολουθεῖ τὰ τοιαῦτα, καὶ τὰ κωλυτικὰ τῶν ἐναντίων καὶ τὰ φθαρτικά. ἀκολουθεῖ δὲ*
30 *διχῶς· ἢ γὰρ ἅμα ἢ ὕστερον, οἷον τῷ μὲν μανθάνειν τὸ ἐπίστασθαι ὕστερον, τῷ δὲ ὑγιαίνειν τὸ ζῆν ἅμα. καὶ τὰ ποιητικὰ τριχῶς, τὰ μὲν ὡς τὸ ὑγιαίνειν ὑγιείας, τὰ δὲ ὡς σιτία ὑγιείας, τὰ δὲ ὡς τὸ γυμνάζεσθαι, ὅτι ὡς ἐπὶ τὸ πολὺ ποιεῖ ὑγίειαν. τούτων δὲ κειμένων ἀνάγκη τάς τε*
35 *λήψεις τῶν ἀγαθῶν ἀγαθὰς εἶναι καὶ τὰς τῶν κακῶν ἀποβολάς· ἀκολουθεῖ γὰρ τῷ μὲν τὸ μὴ ἔχειν τὸ κακὸν ἅμα, τῷ δὲ τὸ ἔχειν ἀγαθὸν ὕστερον. καὶ ἡ ἀντ' ἐλάτ-*

δὲ

18 *γὰρ* A^c *γὰρ* pr. dedit Spengel, *δὲ* cet. ‖ 20 *τὰ* ante *στοιχεῖα* in ras. A^c om. cet. ‖ 23 *ἐφίεται πάντα* A^c pr., nunc ex corr. rec. man. *ἐφίενται πάντες*, quod habent B fragm. Monac. ‖ 24 *ἢ* ante *εἰ* om. Y^b B ‖ *καὶ γὰρ ὡς ὁ νοῦς . . . καὶ ὡς ὁ περὶ ἕκαστον νοῦς* coni. Vahlen ‖ *ἂν* om. ΘBDE Ald. ‖ 25 *ἕκαστα* QD fragm. Monac. ‖ *ἑκάστου* Z^b E Ald. ‖ 26 *τοῦτο γὰρ* Tr. ‖ *ἐστιν ἕκα* ead. man. linea in marginem continuata, ab *στοι* nova incipit linea A^c ‖ 28 *τούτων* E fragm. Monac. Tr. Ald. ‖ 29 *θεῖ* in fine verbi *ἀκολουθεῖ* corr. crassiore atramento A^c ‖ 31 *τῷ δὲ* corr. A^c ‖ *τὰ* ante *ποιητικά* ead. man. supra lineam A^c ‖ 32 *τριχῶς* suspectum videtur Spengelio (vix recte) ‖ 33 *ὅτι τὸ ἐπὶ πολύ* Y^b B ‖ 37 *ἅμα*, quod seclusit Spengel, minusculis litteris supra lineam exaratum A^c nescio an pr. man., etiam *ὕστερον* Spengelio suspicionem movit ‖ *τὸ ἀγαθὸν* Z^b E Ald.

Digitized by Google

τονος ἀγαθοῦ μείζονος λῆψις καὶ ἀντὶ μείζονος κακοῦ ἐλάττονος· ᾧ γὰρ ὑπερέχει τὸ μεῖζον τοῦ ἐλάττονος, τούτου γίνε- 1362b
ται τοῦ μὲν λῆψις τοῦ δ' ἀποβολή. καὶ τὰς ἀρετὰς δὲ ἀνάγκη ἀγαθὸν εἶναι· κατὰ γὰρ ταύτας εὖ τε διάκεινται οἱ ἔχοντες, καὶ ποιητικαὶ τῶν ἀγαθῶν εἰσι καὶ πρακτικαί. περὶ ἑκάστης δὲ καὶ τίς καὶ ποία χωρὶς ῥητέον. καὶ τὴν 5
ἡδονὴν ἀγαθὸν εἶναι· πάντα γὰρ ἐφίεται τὰ ζῷα αὐτῆς τῇ φύσει. ὥστε καὶ τὰ ἡδέα καὶ τὰ καλὰ ἀνάγκη ἀγαθὰ εἶναι· τὰ μὲν γὰρ ἡδονῆς ποιητικά, τῶν δὲ καλῶν τὰ μὲν ἡδέα τὰ δὲ αὐτὰ καθ' ἑαυτὰ αἱρετά ἐστιν.

ὡς δὲ καθ' ἓν εἰπεῖν, ἀνάγκη ἀγαθὰ εἶναι τάδε. εὐδαιμονία· 10
καὶ γὰρ καθ' αὑτὸ αἱρετὸν καὶ αὔταρκες, καὶ ἕνεκα αὐτοῦ πολλὰ αἱρούμεθα. δικαιοσύνη, ἀνδρία, σωφροσύνη, μεγαλοψυχία, μεγαλοπρέπεια καὶ αἱ ἄλλαι αἱ τοιαῦται ἕξεις· ἀρεταὶ γὰρ ψυχῆς. καὶ ὑγίεια καὶ κάλλος καὶ τὰ τοιαῦτα· ἀρεταὶ γὰρ σώματος καὶ ποιητικαὶ πολλῶν, οἷον ἡ ὑγίεια 15
καὶ ἡδονῆς καὶ τοῦ ζῆν, διὸ καὶ ἄριστον δοκεῖ εἶναι, ὅτι δύο τῶν τοῖς πολλοῖς τιμιωτάτων αἴτιόν ἐστιν, ἡδονῆς καὶ τοῦ ζῆν. πλοῦτος· ἀρετὴ γὰρ κτήσεως καὶ ποιητικὸν πολλῶν. φίλος καὶ φιλία· καὶ γὰρ καθ' αὑτὸν αἱρετὸς ὁ φίλος καὶ ποιητικὸς πολλῶν. τιμή, δόξα· καὶ γὰρ ἡδέα 20
καὶ ποιητικὰ πολλῶν, καὶ ἀκολουθεῖ αὐτοῖς ὡς ἐπὶ τὸ πολὺ τὸ ὑπάρχειν ἐφ' οἷς τιμῶνται. δύναμις τοῦ λέγειν, τοῦ πράττειν· ποιητικὰ γὰρ πάντα τὰ τοιαῦτα ἀγαθῶν. ἔτι εὐφυΐα, μνήμη, εὐμάθεια, ἀγχίνοια, πάντα τὰ τοιαῦτα·

1362b, 1 τούτου ex Mureti versione dedit Vahlen || τούτῳ A^c || τοῦτο ΘΠ || 5 Post ῥητέον ὕστερον inserendum censet Spengel (vix recte cf. 1378a, 20) || 7 τῇ ante φύσει om. C fragm. Monac. || καὶ τὰ καλὰ καὶ τὰ ἡδέα Tr. || 10 εὐδαιμονίαν Tr. cf. adnotat. crit. ad 1381a, 9 || 11 αὐτῆς fragm. Monac., quod necessario reponendum censet Spengel || 12 ἄλλα pro πολλὰ in versione Muretus || τἆλλα coni. Kayser || ἀνδρεία $A^c Y^b BE$ || 13 alterum αἱ om. $Y^b Z^b CAld.$ || 14 καὶ κάλλος —15 ὑγίεια om. Q || 15 ἡ om. $Y^b Z^b BDE$ || 16 ὅτι] ἐπεὶ Tr. || 17 τοῖς om. ΘBCE || 18 ποιητικὴ $Y^b Z^b BDE$ || 19 et 20 αἱρετὸν et ποιητικόν ΘBDEAld. || 24 μνήμη iam Vict. proposuit, quem secutus sum ||

Digitized by Google

25 ποιητικαὶ γὰρ αὗται ἀγαθῶν αἱ δυνάμεις εἰσίν. ὁμοίως δὲ καὶ αἱ ἐπιστῆμαι πᾶσαι καὶ αἱ τέχναι. καὶ τὸ ζῆν· εἰ γὰρ μηδὲν ἄλλο ἕποιτο ἀγαθόν, καθ' αὑτὸ αἱρετόν ἐστιν. καὶ τὸ δίκαιον· συμφέρον γάρ τι κοινῇ ἐστιν.

ταῦτα μὲν οὖν σχεδὸν τὰ ὁμολογούμενα ἀγαθά ἐστιν· ἐν δὲ 30 τοῖς ἀμφισβητησίμοις ἐκ τῶνδε οἱ συλλογισμοί. ᾧ τὸ ἐναντίον κακόν, τοῦτ' ἀγαθόν. καὶ οὗ τὸ ἐναντίον τοῖς ἐχθροῖς συμφέρει· οἷον εἰ τὸ δειλοὺς εἶναι μάλιστα συμφέρει τοῖς ἐχθροῖς, δῆλον ὅτι ἀνδρία μάλιστα ὠφέλιμον τοῖς πολίταις. καὶ ὅλως ὃ οἱ ἐχθροὶ βούλονται ἢ ἐφ' ᾧ χαίρουσι, τοὐναντίον 35 τούτου ὠφέλιμον φαίνεται· διὸ εἴρηται

„ἦ κεν γηθήσαι Πρίαμος".

ἔστι δ' οὐκ ἀεὶ τοῦτο, ἀλλ' ὡς ἐπὶ τὸ πολύ. οὐδὲν γὰρ κωλύει ἐνίοτε ταὐτὸ συμφέρειν τοῖς ἐναντίοις· ὅθεν λέγεται ὡς τὰ 1363 a κακὰ συνάγει τοὺς ἀνθρώπους, ὅταν ᾖ ταὐτὸ βλαβερὸν ἀμφοῖν. καὶ οὗ μή ἐστιν ὑπερβολή, τοῦτο ἀγαθόν, ὃ δ' ἂν ᾖ μεῖζον ἢ δεῖ, κακόν. καὶ οὗ ἕνεκα πολλὰ πεπόνηται ἢ δεδαπάνηται· φαινόμενον γὰρ ἀγαθὸν ἤδη, καὶ ὡς τέλος τὸ τοιοῦτον ὑπολαμ- 5 βάνεται καὶ τέλος πολλῶν, τὸ δὲ τέλος ἀγαθόν. ὅθεν ταῦτ' εἴρηται

„κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ"

καὶ

„αἰσχρόν τοι δηρόν τε μένειν·"

καὶ ἡ παροιμία δὲ τὸ ἐπὶ θύραις τὴν ὑδρίαν. καὶ οὗ πολλοὶ ἐφίεν

μνῆμαι libri ‖ εὐφυεῖαι μνῆμαι εὐμάθειαι Tr. ‖ καὶ πάντα Tr. ‖ ad h. l. cf. Mus. Rhen. N. F. XXXIX pag. 498 ‖ 10—28 Praeter cetera, quae in hac disputatione suspicionem movent, maxime offendit, quod in fine totius enumerationis post δικαιοσύνην versu 13 memoratam nunc tam abrupte iterum repetitur τὸ δίκαιον ‖ 32 Post εἶναι ead. man. supra lineam ἡμᾶς frag. Monac. et schol. ‖ συμφέρει post μάλιστα om. Tr. ‖ οις in ἐχθροῖς in ras. A^c ‖ 33 ἀνδρεία $A^c Y^b B$ ‖ 34 καὶ ὅλως] καὶ οὕτως fragm. Monac. ‖ 35 τούτου A^c schol., quod recepi, τούτῳ cet. ‖ εὖ εἴρηται ΘΠ Tr. ‖ εὖ om. A^c Spengel ‖ γηθήση Z^b E Ald. ‖ 37 ταῦτα Q ταὐτά Tr. ‖ 1363 a, 1 δ pro οὗ dubitanter coni. Spengel ‖ 3 καὶ ⟨γὰρ⟩ ὡς τέλος coni. Vahlen ‖ τέλος ἤδη τὸ τοιοῦτον ΘΠ Tr. fragm. Monac. Ald. ‖ 7 καὶ ἡ παροιμία, ὅτι Tr. ‖ οἱ πολλοί

Digitized by Google

ται, καὶ τὸ περιμάχητον φαινόμενον· οὗ γὰρ πάντες ἐφίεν-
ται, τοῦτ' ἀγαθὸν ἦν, οἱ δὲ πολλοὶ ὥσπερ πάντες φαίνον-
ται. καὶ τὸ ἐπαινετόν· οὐδεὶς γὰρ τὸ μὴ ἀγαθὸν ἐπαινεῖ. 10
καὶ ὃ οἱ ἐχθροὶ καὶ οἱ φαῦλοι ἐπαινοῦσιν· ὥσπερ γὰρ πάν-
τες ἤδη ὁμολογοῦσιν, εἰ καὶ οἱ κακῶς πεπονθότες· διὰ γὰρ
τὸ φανερὸν ὁμολογοῖεν ἄν, ὥσπερ καὶ φαῦλοι οὓς οἱ φί-
λοι ψέγουσι καὶ οὓς οἱ ἐχθροὶ μὴ ψέγουσιν. διὸ λελοι-
δορῆσθαι ὑπέλαβον Κορίνθιοι ὑπὸ Σιμωνίδου ποιήσαντος 15
Κορινθίοις δ' οὐ μέμφεται τὸ Ἴλιον.
καὶ ὃ τῶν φρονίμων τις ἢ τῶν ἀγαθῶν ἀνδρῶν ἢ γυναικῶν
προέκρινεν, οἷον Ὀδυσσέα Ἀθηνᾶ καὶ Ἑλένην Θησεὺς καὶ
Ἀλέξανδρον αἱ θεαὶ καὶ Ἀχιλλέα Ὅμηρος. καὶ ὅλως τὰ προ-
αιρετά· προαιροῦνται δὲ πράττειν τά τε εἰρημένα καὶ τὰ τοῖς 20
ἐχθροῖς κακὰ καὶ τὰ τοῖς φίλοις ἀγαθὰ καὶ τὰ δυνατά. ταῦτα

coni. Spengel ‖ 8 *πάντα* fragm. Monac. cf. 1362 a, 23 ‖ 9 $^{\tau\upsilon}$*το* sic A^{c} *τον* ead. man supra lineam ‖ an *τὸ ἀγαθὸν*? ‖ 11 *καὶ οἱ φαῦλοι* omissum in schol. cum Mureto seclusit Spengel (vix recte) ‖ *οἱ* ante *φαῦλοι* om. ΘBCE ‖ *ἐπαινοῦσι* in marg. ead. pr. man. A^{c} (vix abesse potest) ‖ 12 *ὁμολογοῦσιν* (*ν* in ras.) *καὶ ὃ οἱ κακῶς πεπονθότες* C ‖ utramque lectionem ὃ et *εἰ* exhibet Tr. ‖ *εἰ καὶ* om. fragm. Monac. ‖ 13 *ὁμολογήσειεν* ΘBEAld. *ὁμολογήσαιεν* CD ‖ 14 Vestigia cod. A^{c} secutus hunc locum edidi. Ibi enim ante *οὓς οἱ ἐχθροὶ* signum ⟨· relegans in marg., ubi eadem prima et antiqua manu verba minusculis litteris exarata leguntur haec: *οὓς οἱ φίλοι ψέγουσι καὶ ἀγαθοί*, sed *ἀγαθοί* paene evanuit, ut erasum esse videatur, et primus rectissime delevit Muretus ‖ Vulgatam deteriorum librorum et vet. Tr. auctoritate male defensam *ὥσπερ καὶ φαῦλοι οὓς οἱ φίλοι ψέγουσι καὶ ἀγαθοὶ οὓς οἱ ἐχθροὶ ἐπαινοῦσιν* Bekker^{3} retinuit. At *ἐπαινοῦσι* plane absurdum esse iam perspexit Vict. ‖ Gaisfordium secutus *οὓς οἱ φίλοι ψέγουσι καὶ ἀγαθοὶ* secl. Spengel ‖ *γρ. δὲ καὶ οὕτως· φαῦλοι, οὓς οἱ φαῦλοι οὐ ψέγουσιν* schol. Cf. Mus. Rhen. N. F. XXXIX pag. 499 ‖ 16 *Κορινθίοισι δ' οὐ μανίει τὸ Ἴλιον* schol. Pindar. Ol. XIII. 78 ‖ *Ἴλιον* corr. A^{c} ‖ 17 Pro *φρονίμων οὐρανίων* perperam G. Wolfius. Equidem ante *φρονίμων* ⟨*θεῶν ἢ*⟩ excidisse putaverim cf. Mus. Rhen. N. F. XXXIX pag. 499 ‖ 21 Varia lectio ad *ταῦτα* exstat in marg. A^{c}, *γρ. δυνατά* quod exhibet Tr. et schol.

Digitized by Google

δὲ διχῶς ἐστιν τά τε γενόμενα ἂν καὶ τὰ ῥᾳδίως γιγνόμενα. ῥᾴδια δὲ ὅσα ἢ ἄνευ λύπης ἢ ἐν ὀλίγῳ χρόνῳ· τὸ γὰρ χαλεπὸν ὁρίζεται ἢ λύπῃ ἢ πλήθει χρόνου. καὶ
25 *ἐὰν ὡς βούλονται· βούλονται δὲ ἢ μηδὲν κακὸν ἢ ἔλαττον τοῦ ἀγαθοῦ· τοῦτο δὲ ἔσται, ἐὰν ἢ λανθάνῃ ἡ τιμωρία ἢ μικρὰ ᾖ. καὶ τὰ ἴδια, καὶ ἃ μηδείς, καὶ τὰ περιττά· τιμὴ γὰρ οὕτω μᾶλλον. καὶ τὰ ἁρμόττοντα αὐτοῖς· τοιαῦτα δὲ τά τε προσήκοντα κατὰ γένος καὶ δύναμιν, καὶ ὧν ἐλ-*
30 *λείπειν οἴονται καὶ ἂν μικρὰ ᾖ· οὐδὲν γὰρ ἧττον προαιροῦνται ταῦτα πράττειν. καὶ τὰ εὐκατέργαστα· δυνατὰ γὰρ ὡς ῥᾴδια· εὐκατέργαστα δὲ ἃ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ ὅμοιοι ἢ οἱ ἥττους κατώρθωσαν. καὶ ἃ χαριοῦνται τοῖς φίλοις, ἢ ἃ ἀπεχθήσονται τοῖς ἐχθροῖς. καὶ ὅσα οὓς θαυμάζουσι*
35 *προαιροῦνται πράττειν. καὶ πρὸς ἃ εὐφυεῖς εἰσιν καὶ ἔμπειροι· ῥᾷον γὰρ κατορθώσειν οἴονται. καὶ ἃ μηδεὶς φαῦλος· ἐπαινετὰ γὰρ μᾶλλον. καὶ ὧν ἐπιθυμοῦντες τυγχάνουσιν. οὐ γὰρ μόνον ἡδὺ ἀλλὰ καὶ βέλτιον φαίνεται. καὶ μά-*
1363b *λιστα ἕκαστοι πρὸς ἃ τοιοῦτοι, οἷον οἱ φιλόνικοι εἰ νίκη ἔσται, οἱ φιλότιμοι εἰ τιμή, οἱ φιλοχρήματοι εἰ χρήματα, καὶ*

22 ἂν secl. Spengel ‖ 23 ἢ ante ἄνευ om. Tr. ‖ 24 ὁρίζουσι Tr. cf. et adnot. ad 1373b, 19 ‖ ἢ πλήθει χρόνου ἢ λύπης fragm. Monac. ‖ 25 καὶ ἐὰν ὡς pr. Vict. ex codd. (A^c Tr.) antea ὡς ἂν ‖ ἕως ἂν D ‖ βούλωνται Y^b BD ‖ 26 ἐὰν ἢ λανθάνῃ ἢ ἡ τιμωρία μικρὰ ᾖ Fr. A. Wolf ‖ ἡ τιμωρία delendum censet Spengel ‖ „molestia" Tr. δυσχέρεια Dittmeyer ‖ 27 ἃ μηδεὶς ex l. 36 male huc illatum delet Ussing ‖ 28 οὕτω γὰρ ΘBD ‖ οὕτω om. C ‖ 29 καὶ κατὰ δύναμιν Q fragm. Monac. ‖ 30 γὰρ ead. man. supra lineam A^c ‖ 31 καὶ ὡς ῥᾴδια A^c ὡς ead. man. pr. ‖ 32 ἃ] καὶ ἃ ΘΠ ‖ οἱ ante ὅμοιοι om. Y^b Z^b fragm. Monac. ‖ 33 ἃ ante οἱ addit Tr. ‖ 34 ἃ ante ἀπεχθήσονται om. fragm. Monac. ‖ καὶ ὅσα ὁ σπουδαῖος πράττειν βούλεται schol., ut ante οὓς θαυμάζουσι ⟨ὁ σπουδαῖος καὶ⟩ excidisse coniicias. Ad ὁ σπουδαῖος cf. 1371a, 9 ‖ 36 ὡσειν in κατορθώσειν corr. A^c ‖ 38 καὶ ἃ μάλιστα ΘBDE ‖ Post μάλιστα add. χαίρουσιν ἐπιθυμοῦντες ἕκαστοι fragm. Monac. ‖ 1363b, 1 φιλόνεικοι A^c et pr. Y^b B. Ald.

Digitized by Google

οἱ ἄλλοι ὡσαύτως. περὶ μὲν οὖν ἀγαθοῦ καὶ τοῦ συμφέρον-
τος ἐκ τούτων ληπτέον τὰς πίστεις·
7 ἐπεὶ δὲ πολλάκις ὁμολογοῦντες ἄμφω συμφέρειν 5
περὶ τοῦ μᾶλλον ἀμφισβητοῦσιν, ἐφεξῆς ἂν εἴη λεκτέον
περὶ τοῦ μείζονος ἀγαθοῦ καὶ τοῦ μᾶλλον συμφέροντος. ἔστω
δὴ ὑπερέχον μὲν τὸ τοσοῦτον καὶ ἔτι, ὑπερεχόμενον δὲ τὸ
ἐνυπάρχον. καὶ μεῖζον μὲν ἀεὶ καὶ πλεῖον πρὸς ἔλαττον,
μέγα δὲ καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον πρὸς τὸ τῶν 10
πολλῶν μέγεθος, καὶ ὑπερέχον μὲν τὸ μέγα, τὸ δὲ ἐλ-
λεῖπον μικρόν, καὶ πολὺ καὶ ὀλίγον ὡσαύτως. ἐπεὶ οὖν
ἀγαθὸν λέγομεν τό τε αὐτὸ αὐτοῦ ἕνεκα καὶ μὴ ἄλλου
αἱρετόν, καὶ οὗ πάντ' ἐφίεται, καὶ ὃ νοῦν ἂν καὶ φρόνησιν
λαβόντα ἕλοιτο, καὶ τὸ ποιητικὸν καὶ τὸ φυλακτικόν, ἢ 15
ᾧ ἕπεται τὰ τοιαῦτα, τὸ δ' οὗ ἕνεκα τὸ τέλος ἐστίν, τέλος
δέ ἐστιν οὗ ἕνεκα τὰ ἄλλα, αὐτῷ δὲ ἀγαθὸν τὸ πρὸς αὐτὸν
ταῦτα πεπονθός, ἀνάγκη τά τε πλείω τοῦ ἑνὸς καὶ τῶν
ἐλαττόνων συναριθμουμένου τοῦ ἑνὸς ἢ τῶν ἐλαττόνων μεῖ-
ζον ἀγαθὸν εἶναι· ὑπερέχει γάρ, τὸ δὲ ἐνυπάρχον ὑπερέ- 20

3 οὖν om. ΘB ‖ τοῦ ante συμφέροντος om. Y^{b}B fragm. Monac. ‖ 6 λέγειν C λεκτέον καὶ Z^{b}E Ald. ‖ 8 μὲν τὸ τοσοῦτον A^{c} et τὸ pr. et antiqua manu, itaque recepi; habet etiam schol. om. cet. ‖ 9 μὲν ἂν ἀεὶ QZ^{b}BD ‖ Post πλεῖον οὕτως ἔχει addit Tr., quae praeterea h. l. habet, corrupta puto ‖ 13 ἐπεὶ οὖν ἀγαθὸν λέγομεν τό τε αὐτὸ αὐτοῦ ἕνεκα A^{c} et ον et αὐτὸ ead. pr. man. (ἀγαθὰ vix recte dictum puto, sed αὐτὰ potest abesse) ‖ 14 καὶ ὃ νοῦν ἂν καὶ φρόνησιν λαβόντα (sic) ἕλοιτο A^{c} corr. pr. man. Certe voluit corrector ἃ — λαβόντες ἕλοιντο, et λαβόντες ἕλοιντο Tr. E cf. et ad 1362a, 23 ‖ 15 τὸ ante φυλακτικόν om. ΘΠ ‖ 16 αὐτοῦ pro οὗ coni. Susem. ‖ 17 τω in αὐτωι corr. A^{c}, ut primitus αὐτὸ fuisse videatur, quod habent Tr. et schol. ‖ πρὸς αὐτὸν Z^{b}E et A^{c} pr. nunc ex corr. rec. man. αὐτόν: i. e. ν deleatur ‖ αὐτὸ, quod perversum est, praebent ceteri omnes ‖ 20 ὑπερέχει] ἐνυπάρχει C et Mureti versio (nescio an recte).

Digitized by Google

χεται. καὶ ἐὰν τὸ μέγιστον τοῦ μεγίστου ὑπερέχῃ, καὶ αὐτὰ αὐτῶν· καὶ ὅσα αὐτὰ αὐτῶν, καὶ τὸ μέγιστον τοῦ μεγίστου, οἷον εἰ ὁ μέγιστος ἀνὴρ γυναικὸς τῆς μεγίστης μείζων, καὶ ὅλως οἱ ἄνδρες τῶν γυναικῶν μείζους· καὶ εἰ οἱ ἄνδρες
25 ὅλως τῶν γυναικῶν μείζους, καὶ ἀνὴρ ὁ μέγιστος τῆς μεγίστης γυναικὸς μείζων· ἀνάλογον γὰρ ἔχουσιν αἱ ὑπεροχαὶ τῶν γενῶν καὶ τῶν μεγίστων ἐν αὐτοῖς. καὶ ὅταν τόδε μὲν τῷδε ἕπηται, ἐκεῖνο δὲ τούτῳ μή· ἕπεται δὲ ἢ τῷ ἅμα ἢ τῷ ἐφεξῆς ἢ τῇ δυνάμει· ἐνυπάρχει γὰρ ἡ χρῆ-
30 σις ἡ τοῦ ἑπομένου ἐν τῇ θατέρου. ἕπεται δὲ ἅμα μὲν τῷ ὑγιαίνειν τὸ ζῆν, τούτῳ δὲ ἐκεῖνο οὔ, ὕστερον δὲ τῷ μανθάνειν τὸ ἐπίστασθαι, δυνάμει δὲ τῷ ἱεροσυλεῖν τὸ ἀποστερεῖν· ὁ γὰρ ἱεροσυλήσας κἂν ἀποστερήσειεν. καὶ τὰ ὑπερέχοντα τοῦ αὐτοῦ μείζονι μείζω· ἀνάγκη γὰρ ὑπερέχειν καὶ τοῦ
35 μείζονος. καὶ τὰ μείζονος ἀγαθοῦ ποιητικὰ μείζω· τοῦτο γὰρ ἦν τὸ μείζονος ποιητικῷ εἶναι. καὶ οὗ τὸ ποιητικὸν μεῖζον, ὡσαύτως· εἰ γὰρ τὸ ὑγιεινὸν αἱρετώτερον τοῦ ἡδέος καὶ μεῖζον ἀγαθόν, καὶ ἡ ὑγίεια τῆς ἡδονῆς μείζων. καὶ
1364a τὸ αἱρετώτερον καθ' αὑτὸ τοῦ μὴ καθ' αὑτό, οἷον ἰσχὺς ὑγιεινοῦ· τὸ μὲν γὰρ οὐχ αὑτοῦ ἕνεκα, τὸ δὲ αὑτοῦ, ὅπερ ἦν τὸ ἀγαθόν. κἂν ᾖ τὸ μὲν τέλος, τὸ δὲ μὴ τέλος· τὸ μὲν γὰρ ἄλλου ἕνεκα, τὸ δὲ αὑτοῦ, οἷον τὸ γυμνάζεσθαι τοῦ εὖ
5 ἔχειν τὸ σῶμα. καὶ τὸ ἧττον προσδεόμενον θατέρου ἢ ἐτέ-

22 Pro ὅσα ὅταν scribendum videtur ‖ ἐάν Venet. ‖ εἰ interpretatur schol. Cf. Mus. Rhen. N. F. XXXIX pag. 499 ‖ 23 εἰ om. ΘBDE ‖ Pro ὅλως hic et 24 ἁπλῶς schol. ‖ 25 τῶν γυναικῶν ὅλως ΘΠ ‖ 27 τῶν ἐν αὐτοῖς (?) Tr. ‖ 28 ἕπεται sic A^{c} et *H* pr. man. (nescio an recte) ‖ 31 ἐκείνῳ sic A^{c}, sed ω paene evanuit, ut cerni vix possit ‖ τοῦτο δὲ ἐκείνῳ οὔ C et Tr. ‖ 33 τὰ ὑπερέχοντά τινος μείζονος μείζω schol. (?); An δυοῖν ante τὰ ὑπερέχοντα inserendum videtur? cf. Top. 118b, 3 ‖ 36 γὰρ ἂν ἦν ΘBDE ‖ 1364a, 1 καὶ τὸ αἱρετόν interpretatur schol. vix legit comparativum ‖ τοῦ μὴ καθ' αὑτὸ om. et Tr. (vix recte, quamquam et infra 1365a, 34 et 37 genetivi subaudiendi) ‖ 3 post *Hι* ras. A^{c}.

Digitized by Google

ρων· αὐταρκέστερον γάρ· ἧττον δὲ προσδεῖται τὸ ἐλαττόνων ἢ ῥᾳόνων προσδεόμενον. καὶ ὅταν τόδε μὲν ἄνευ τοῦδε μὴ ᾖ ἢ μὴ δυνατὸν ᾖ γενέσθαι, θάτερον δὲ ἄνευ τούτου· αὐταρκέστερον δὲ τὸ μὴ δεόμενον, ὥστε φαίνεται μεῖζον ἀγαθόν. κἂν ᾖ ἀρχή, τὸ δὲ μὴ ἀρχή. κἂν ᾖ αἴτιον, τὸ δ' οὐκ 10 αἴτιον διὰ τὸ αὐτό· ἄνευ γὰρ αἰτίου καὶ ἀρχῆς ἀδύνατον εἶναι ἢ γενέσθαι. καὶ δυοῖν ἀρχαῖν τὸ ἀπὸ τῆς μείζονος ἀρχῆς μεῖζον, καὶ δυοῖν αἰτίοιν τὸ ἀπὸ τοῦ μείζονος αἰτίου μεῖζον. καὶ ἀνάπαλιν δὲ δυοῖν ἀρχαῖν ἡ τοῦ μείζονος ἀρχὴ μείζων, καὶ δυοῖν αἰτίοιν τὸ τοῦ μείζονος αἴτιον μεῖζον. δῆ- 15 λον οὖν ἐκ τῶν εἰρημένων ὅτι ἀμφοτέρως μεῖζόν ἐστιν φαίνεσθαι· καὶ γὰρ εἰ ἀρχή, τὸ δὲ μὴ ἀρχή, δόξει μεῖζον εἶναι, καὶ εἰ μὴ ἀρχή, τὸ δὲ ἀρχή· τὸ γὰρ τέλος μεῖζον καὶ οὐκ ἀρχή, ὥσπερ ὁ Λεωδάμας κατηγορῶν ἔφη Καλλιστράτου τὸν βουλεύσαντα τοῦ πράξαντος μᾶλλον ἀδικεῖν· οὐ γὰρ ἂν πρα- 20 χθῆναι μὴ βουλευσαμένου· πάλιν δὲ καὶ Χαβρίου, τὸν πράξαντα τοῦ βουλεύσαντος· οὐ γὰρ ἂν γενέσθαι, εἰ μὴ ἦν ὁ πράξων· τούτου γὰρ ἕνεκα ἐπιβουλεύειν, ὅπως πράξωσιν. καὶ τὸ σπανιώτερον τοῦ ἀφθόνου, οἷον χρυσὸς σιδήρου ἀχρηστότερος ὤν· μεῖζον γὰρ ἡ κτῆσις διὰ τὸ χαλεπωτέραν 25

9 Pro *δὲ γὰρ* exspectaveris cum Morelio ‖ 11 *καὶ*] *ἢ* Z^b Y^bBDE ‖ 12 *δυεῖν* Y^bB ‖ *ἀρχῶν* *ΘΠ* ‖ *ἀρχῆς* pr. man. super lineam A^c, legit quoque Tr. et omnes ceteri, itaque in textum recepi, om. Bekker Spengel ‖ 13 Post *μεῖζον* signum ⟨· et idem in marg. ubi pr. man. *καὶ δυοῖν — — μεῖζον* cf. Mus. Rhen. N. F. XXXIX pag. 500 ‖ 14 *δὲ* C et Tr. pr. Morelius Spengel´ *δή* cet. ‖ *δυεῖν ἀρχῶν* Y^bB ‖ 15 *τὸ* $^{\pi}_{\alpha}$ *τοῦ μείζονος* sic A^c (sed *ἀπὸ* aperte falsum) ‖ 16 *φαίνεσθαι* post *ἐστιν* ex marg. A^c et Tr. pr. Vict. ‖ om. *ΘΠ* Bekker cf. Mus. Rhen. N. F. XXXIX pag. 500 ‖ 17 *γάρ*, quod cet. omittunt, ex A^c et Tr. inseruit Vict. ‖ *εἶναι* om. Tr. ‖ 19 *καλλιστράτω ἔφη* Q ‖ *ἔφη καλλιστράτω* $Y^b Z^b$BCE ‖ 20 *πρᾶξαι* Tr. ‖ 21 *δὲ* ϛ· sed ϛ (*καὶ*) erasum esse videtur A^c om. Tr. ‖ 22 *συμβουλεύσαντος* Y^bBC ‖ *οὐδὲ γὰρ ἂν* Tr. et schol. ‖ 23 *συμβουλέυειν* C ‖ 25 *μείζων* QY^b*Π*Ald. ‖ *χαλεπώτερον* Q T^bDE Ald.

Digitized by Google

εἶναι. ἄλλον δὲ τρόπον τὸ ἄφθονον τοῦ σπανίου, ὅτι ἡ χρῆσις ὑπερέχει· τὸ γὰρ πολλάκις τοῦ ὀλιγάκις ὑπερέχει, ὅθεν λέγεται ἄριστον μὲν ὕδωρ.

καὶ ὅλως τὸ χαλεπώτερον τοῦ ῥᾴονος· σπανιώτερον γάρ. ἄλλον δὲ τρόπον τὸ ῥᾷον τοῦ χαλεπωτέρου· ἔχει γὰρ ὡς βουλόμεθα. καὶ ᾧ τὸ ἐναντίον μεῖζον, καὶ οὗ ἡ στέρησις μείζων. καὶ ἀρετὴ μὴ ἀρετῆς καὶ κακία μὴ κακίας μείζων· τὰ μὲν γὰρ τέλη, τὰ δ' οὐ τέλη. καὶ ὧν τὰ ἔργα καλλίω ἢ αἰσχίω, μείζω αὐτά καὶ ὧν αἱ κακίαι καὶ αἱ ἀρεταὶ μείζους, καὶ τὰ ἔργα μείζω, ἐπείπερ ὡς τὰ αἴτια καὶ αἱ ἀρχαί, καὶ τὰ ἀποβαίνοντα, καὶ ὡς τὰ ἀποβαίνοντα, καὶ τὰ αἴτια καὶ αἱ ἀρχαί. καὶ ὧν ἡ ὑπεροχὴ αἱρετωτέρα ἢ καλλίων, οἷον τὸ ἀκριβῶς ὁρᾶν αἱρετώτερον τοῦ ὀσφραίνεσθαι. καὶ γὰρ ὄψις
1364b ὀσφρήσεως· καὶ τὸ φιλέταιρον εἶναι τοῦ φιλοχρήματον μᾶλλον κάλλιον, ὥστε καὶ φιλεταιρία φιλοχρηματίας. καὶ ἀντικειμένως δὲ τῶν βελτιόνων αἱ ὑπερβολαὶ βελτίους καὶ καλλιόνων καλλίους. καὶ ὧν αἱ ἐπιθυμίαι καλλίους ἢ βελτίους· αἱ γὰρ μείζους ὀρέξεις μειζόνων εἰσίν. καὶ τῶν καλλιόνων δὲ ἢ καὶ βελτιόνων αἱ ἐπιθυμίαι βελτίους καὶ καλλίους διὰ τὸ αὐτό. καὶ ὧν αἱ ἐπιστῆμαι καλλίους ἢ σπουδαιότεραι, καὶ τὰ πράγματα καλλίω καὶ σπουδαιότερα· ὡς γὰρ ἔχει ἡ ἐπιστήμη, καὶ τὸ ἀληθές· κελεύει δὲ τὸ αὐτῆς ἑκάστη. καὶ τῶν σπουδαιοτέρων δὲ καὶ καλλιόνων αἱ

26 δὲ om. Tr. ‖ 31 καὶ ἀρετὴ μὴ κακίας καὶ κακία μὴ ἀρετῆς coni. Bonitz ‖ 32 μεῖζον Tr. ‖ 34 alterum αἱ om. ΘΠ ‖ 37 αἱ ὑπεροχαὶ ut infra ὑπερβολαὶ schol. ‖ 38 οἷον ⟨εἰ⟩ τὸ ἀκριβῶς ὁρᾶν αἱρετώτερον τοῦ ὀσφραίνεσθαι, καὶ ὄψις ὀσφρήσεως coni. Vahlen ‖ οἷον ὄψις ὀσφρήσεως· καὶ γὰρ τὸ ἀκριβῶς ὁρᾶν αἱρετώτερον τοῦ ὀσφραίνεσθαι proposuit Spengel ‖ 1364b, 2 καλλίων A^c ‖ μᾶλλον καλὸν Tr. ‖ 3 δὲ] καὶ Tr. ‖ 6 καὶ post ἢ om. ΘBCE ‖ 9 ἔχει om. ΘBDE ‖ Tr. emendanda videtur: „*sicut enim se habet scientia et veritas, sic et res*". Tum prodit varietas ὡς γὰρ ἔχει ἡ ἐπιστήμη καὶ τὸ ἀληθές, οὕτω καὶ τὸ πρᾶγμα ‖ Pro κελεύει δὲ — ἑκάστη Kayser coni. ἀληθεύει δὲ περὶ τὸ αὐτῆς ἑκάστη ‖ 10 δὲ om. ΘBDE.

Digitized by Google

ἐπιστῆμαι ἀνάλογον διὰ ταῦτα. καὶ ὃ κρίνειαν ἂν ἢ κεκρίκασιν οἱ φρόνιμοι ἢ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ πλείους ἢ οἱ κράτιστοι ἀγαθὸν ἢ μεῖζον, ἀνάγκη οὕτως ἔχειν, ἢ ἁπλῶς ἢ ᾗ κατὰ τὴν φρόνησιν ἔκριναν. ἔστι δὲ τοῦτο κοινὸν καὶ κατὰ τῶν ἄλλων· καὶ γὰρ τὶ καὶ ποσὸν καὶ ποιὸν οὕτως 15 ἔχει ὡς ἂν ἡ ἐπιστήμη καὶ ἡ φρόνησις εἴποι. ἀλλ' ἐπ' ἀγαθῶν εἰρήκαμεν· ὥρισται γὰρ ἀγαθὸν εἶναι ὃ λαβόντα τὰ πράγματα φρόνησιν ἕλοιτ' ἂν ἕκαστον· δῆλον οὖν ὅτι καὶ μεῖζον, ὃ μᾶλλον ἡ φρόνησις λέγει. καὶ τὸ τοῖς βελτίοσιν ὑπάρχον, ἢ ἁπλῶς ἢ ᾗ βελτίους, οἷον ἡ ἀνδρία ἰσχύος. 20 καὶ ὃ ἕλοιτ' ἂν ὁ βελτίων, ἢ ἁπλῶς ἢ ᾗ βελτίων, οἷον τὸ ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν· τοῦτο γὰρ ὁ δικαιότερος ἂν ἕλοιτο. καὶ τὸ ἥδιον τοῦ ἧττον ἡδέος· τὴν γὰρ ἡδονὴν πάντα διώκει, καὶ αὐτοῦ ἕνεκα τοῦ ἥδεσθαι ὀρέγονται, ὥρισται δὲ τούτοις τὸ ἀγαθὸν καὶ τὸ τέλος. ἥδιον δὲ τό τε 25 ἀλυπότερον καὶ τὸ πολυχρονιώτερον ἡδύ. καὶ τὸ κάλλιον τοῦ ἧττον καλοῦ· τὸ γὰρ καλόν ἐστιν ἤτοι τὸ ἡδὺ ἢ τὸ καθ' αὑτὸ αἱρετόν. καὶ ὅσων αὐτοὶ αὐτοῖς ἢ φίλοις βούλονται αἴτιοι εἶναι μᾶλλον, ταῦτα μείζω ἀγαθά, ὅσων δὲ ἥκιστα, μείζω κακά. καὶ τὰ πολυχρονιώτερα τῶν ὀλι- 30 γοχρονιωτέρων καὶ τὰ βεβαιότερα τῶν μὴ βεβαιοτέρων· ὑπερέχει γὰρ ἡ χρῆσις τῶν μὲν τῷ χρόνῳ τῶν δὲ τῇ

11 *ταὐτά* coni. Finkh. *ταὐτό* coni. Spengel (nescio an recte) ‖ *κρίνειεν* Y^bBDE ‖ 12 *ἢ πάντες* om. Tr. ‖ 13 *ἀγαθὸν μεῖζον* schol. ‖ *ἢ* ex codd. receptum a Victorio pr. om. ed. Venet. et secl. Spengel ‖ *ἀγαθὸν ἢ* delet Vater ‖ 14 *εἰ κατὰ* libri, ut videtur, omnes *ᾗ* pr. Isingr. cf. Topik 116a, 16 ‖ 15 *καὶ ποιὸν καὶ ποσὸν* Tr. ‖ Ad *τὶ* pertinet quod ex marg. A^c adnotavit Gaisford *ἡ οὐσία* ‖ 17 *εἶναι* om. Tr. ‖ 20 *ἡ* ante *ἀνδρία* om. ΘDE ‖ *ἀνδρεία* A^cEB (pr.) Y^bZ ^{b}pr. ‖ 22 *ἕλοιτ' ἂν* ΘΠ ‖ 24 *αὐτοῦ* ex coni. Spengelii scripsi, *αὑτοῦ* libri omnes praeter C, ubi *ἑαυτῆς*. ‖ Post *ὀρέγονται* addit marg. A^c *ἥδεσθαι* quod vertit Tr. ‖ *ὥρισται γὰρ* Tr. ‖ 26 *τὸ* ante *πολυχρονιώτερον* om. Y^b Z^bBD ‖ 27 *τὸ* post *ἢ* om. ΘΠ ‖ 29 *αἴτιον* libri omnes praeter A^c et C ‖ 31 *τῶν ἀβεβαιοτέρων* A^cTr.

Digitized by Google

βουλήσει· ὅταν γὰρ βούλωνται, ὑπάρχει μᾶλλον ἡ τοῦ βε-
βαίου. καὶ ὡς ἂν ἐκ τῶν συστοίχων καὶ τῶν ὁμοίων πτώ-
35 σεων, καὶ τἆλλ' ἀκολουθεῖ, οἷον εἰ τὸ ἀνδρείως κάλλιον καὶ
αἱρετώτερον τοῦ σωφρόνως, καὶ ἀνδρία σωφροσύνης αἱρετω-
τέρα καὶ τὸ ἀνδρεῖον εἶναι τοῦ σωφρονεῖν. καὶ ὃ πάντες
αἱροῦνται τοῦ μὴ ὃ πάντες. καὶ ὃ οἱ πλείους ἢ ⟨ὃ⟩ οἱ ἐλάττους·
1365 a ἀγαθὸν γὰρ ἦν οὗ πάντες ἐφίενται, ὥστε καὶ μεῖζον οὗ
μᾶλλον. καὶ ὃ οἱ ἀμφισβητοῦντες ἢ οἱ ἐχθροὶ ἢ οἱ κρίνον-
τες ἢ οὓς οὗτοι κρίνουσιν· τὸ μὲν γὰρ ὡς ἂν εἰ πάντες φαῖεν
ἐστί, τὸ δὲ οἱ κύριοι καὶ οἱ εἰδότες. καὶ ὁτὲ μὲν οὗ πάντες
5 μετέχουσι μεῖζον· ἀτιμία γὰρ τὸ μὴ μετέχειν· ὁτὲ δὲ οὗ
μηδεὶς ἢ οὗ ὀλίγοι. σπανιώτερον γάρ. καὶ τὰ ἐπαινετώτερα·
καλλίω γάρ. καὶ ὧν αἱ τιμαὶ μείζους, ὡσαύτως· ἡ γὰρ
τιμὴ ὥσπερ ἀξία τίς ἐστιν. καὶ ὧν αἱ ζημίαι μείζους. καὶ
τὰ τῶν ὁμολογουμένων ἢ φαινομένων μεγάλων μείζω.
10 καὶ διαιρούμενα δὲ εἰς τὰ μέρη τὰ αὐτὰ μείζω φαίνεται·
πλειόνων γὰρ ὑπερέχειν φαίνεται, ὅθεν καὶ ὁ ποιητής φησι
πεῖσαι τὸν Μελέαγρον ἀναστῆναι

33 ἡ erasum A^c ‖ 34 ὡς ἓν ἐκ τῶν συστοίχων coni. Kayser ‖ 35 εἰ om. QZ^bDE ead. man. super lineam Y^b ‖ καὶ κάλλιον DE ‖ 36 ἀνδρεία A^cY^bE ‖ αἱρετώτερον Z^bC ‖ αἱρετωτέρα om. Tr. ‖ 38 τοῦ δ μὴ πάντες Tr. et schol. Morelius Sylburg (At cf. Ind. 539 a, 14 et 41 sqq.) ‖ δ quod ante οἱ facillime excidere poterat, ex Tr. recepi, om. cet. ‖ ἐλάττονες ΘBD ‖ 1365 a, 2 „*et quod litigantes* (ἀμφισβητοῦντες) *potentiores* (κρείττους) *inimici* (ἐχθροί), *quam quos* (quod m) *isti iudicant*“ an ἢ δ αὐτοὶ κρίνουσιν? Tr. αὐτοὶ vertit Muretus ‖ 7 ὡσαύτως om. Tr. ‖ 10 διαιρούμενα A^c, sed ἃ nisi fallor rec. man. ‖ τὰ αὐτὰ om. Tr. ‖ 11 „*per plura*“ (διὰ πλειόνων) Tr. ‖ ὑπεροχὴ ΘΠ ‖ ὑπερέχειν ἡ φαίνεται sic A^c, in quo latet varietas quam vertit Tr. ὑπερέχει ἢ φαίνεται ‖ 12 Post πεῖσαι inserunt ceteri omnes praeter A^c λέγουσαν, quod pr. seclusit Buhle; γυναῖκα vel tale quid excidisse putat Spengel. At sanus est locus, ut legitur in A^c; nam subiectum sunt versus poetae ab Aristotele citati. Cf. Mus. Rhen. N. F. XXXIX pag. 492.

Digitized by Google

ὅσσα κάκ' ἀνθρώποισι πέλει τῶν ἄστυ ἁλώῃ·
λαοὶ μὲν φθινύθουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
τέκνα δέ τ' ἄλλοι ἄγουσιν. 15

καὶ τὸ συντιθέναι δὲ καὶ ἐποικοδομεῖν, ὥσπερ Ἐπίχαρμος, διά τε τὸ αὐτὸ τῇ διαιρέσει· ἡ γὰρ σύνθεσις ὑπεροχὴν δείκνυσι πολλήν, καὶ ὅτι ἀρχὴ φαίνεται μεγάλων καὶ αἴτιον. ἐπεὶ δὲ τὸ χαλεπώτερον καὶ σπανιώτερον μεῖζον, καὶ οἱ καιροὶ καὶ αἱ ἡλικίαι καὶ οἱ τόποι καὶ οἱ χρόνοι 20 *καὶ αἱ δυνάμεις ποιοῦσι μεγάλα· εἰ γὰρ παρὰ δύναμιν καὶ παρὰ ἡλικίαν καὶ παρὰ τοὺς ὁμοίους, καὶ εἰ οὕτως ἢ ἐνταῦθα ἢ τότε, ἕξει μέγεθος καὶ καλῶν καὶ ἀγαθῶν καὶ δικαίων καὶ τῶν ἐναντίων, ὅθεν καὶ τὸ ἐπίγραμμα τῷ ὀλυμπιονίκῃ·* 25

πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν ἄσιλλαν
ἰχθῦς ἐξ Ἄργους εἰς Τεγέαν ἔφερον.

καὶ ὁ Ἰφικράτης αὐτὸν ἐνεκωμίαζε λέγων ἐξ ὧν ὑπῆρξεν ταῦτα. καὶ τὸ αὐτοφυὲς τοῦ ἐπικτήτου· χαλεπώτερον γάρ. ὅθεν καὶ ὁ ποιητής φησιν 30

αὐτοδίδακτος δ' εἰμί.

καὶ τὸ μεγάλου μέγιστον μέρος, οἷον Περικλῆς τὸν ἐπιτάφιον λέγων, τὴν νεότητα ἐκ τῆς πόλεως ἀνῃρῆσθαι ὥσπερ τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ εἰ ἐξαιρεθείη. καὶ τὰ ἐν χρείᾳ μείζονι χρήσιμα, οἷον τὰ ἐν γήρᾳ καὶ νόσοις. καὶ δυοῖν τὸ ἐγγύ-

13 ὅσα *Θ*B ‖ *πέλει* om. *Θ*BC ‖ 14 Pro *λαοὶ μὲν φθινύθουσιν ἄνδρας μὲν κτείνουσι* (cf. Z 237) DE, qui codd. et alterum hemistichium addunt *βαθυζώνους τε γυναῖκας*, quod et in editiones irrepserat, unde expunxit Vict. ‖ 16 *δὲ* post *συντιθέναι* super lineam A^{c} et vertit Tr. om. *Θ*BCE ‖ 18 *δίδωσι* pro *δείκνυσι* Tr. et schol. ‖ ὅ^{τι} sic A^{c} *τι* pr. man. ‖ 22 *ὁμοίους* ex A^{c} et Tr. Vict. *ἄλλους ΘΠ* ‖ 23 *ἕξει ἕκαστον* Tr. ‖ *ἀγαθῶν καὶ καλῶν* Tr. ‖ 26 *γρ. πρόσθεν μὲν τραχεῖαν ἔχων ὤμοισιν ἄσιλλαν* A^{c} in marg., quod vertit Tr. ‖ 28 De verbis *λέγων ἐξ' ὧν ὑπῆρξε ταῦτα* cf. Mus. Rhen. N. F. XXXIX pag. 500 ‖ 30 *δ'* solus servavit A^{c} ‖ 32 *τὸ*] *καὶ τὸ ΘΠ* ‖ 33 *αι* in *ἐξαιρεθείη* corr. A^{c}.

Digitized by Google

35 τερον τοῦ τέλους. καὶ τὸ αὐτῷ καὶ ἁπλῶς. καὶ τὸ δυνατὸν τοῦ ἀδυνάτου· τὸ μὲν γὰρ αὐτῷ, τὸ δ' οὔ. καὶ τὰ ἐν τέλει τοῦ βίου· τέλη γὰρ μᾶλλον τὰ πρὸς τῷ τέλει. καὶ
1365b τὰ πρὸς ἀλήθειαν τῶν πρὸς δόξαν. ὅρος δὲ τοῦ πρὸς δόξαν, ὃ λανθάνειν μέλλων οὐκ ἂν ἕλοιτο. διὸ καὶ τὸ εὖ πάσχειν τοῦ εὖ ποιεῖν δόξειεν ἂν αἱρετώτερον εἶναι· τὸ μὲν γὰρ κἂν λανθάνῃ αἱρήσεται, ποιεῖν δ' εὖ λανθάνων οὐ δοκεῖ ἂν ἑλέ-
5 σθαι. καὶ ὅσα εἶναι μᾶλλον ἢ δοκεῖν βούλονται· πρὸς ἀλήθειαν γὰρ μᾶλλον. διὸ καὶ τὴν δικαιοσύνην φασὶ μικρὸν εἶναι, ὅτι δοκεῖν ἢ εἶναι αἱρετώτερον· τὸ δὲ ὑγιαίνειν οὔ. καὶ τὸ πρὸς πολλὰ χρησιμώτερον, οἷον τὸ πρὸς τὸ ζῆν καὶ εὖ ζῆν καὶ τὴν ἡδονὴν καὶ τὸ πράττειν τὰ καλά.
10 διὸ [καὶ] ὁ πλοῦτος καὶ ἡ ὑγίεια μέγιστα δοκεῖ εἶναι· ἅπαντα γὰρ ἔχει ταῦτα. καὶ τὸ ἀλυπότερον καὶ τὸ μεθ' ἡδονῆς· πλείω γὰρ ἑνός, ὥστε ὑπάρχει καὶ ἡ ἡδονὴ ἀγαθὸν καὶ ἡ ἀλυπία. καὶ δυοῖν ὃ τῷ αὐτῷ προστιθέμενον μεῖζον τὸ ὅλον ποιεῖ. καὶ ἃ μὴ λανθάνει παρόντα ἢ ἃ λαν-
15 θάνει· πρὸς ἀλήθειαν γὰρ τείνει ταῦτα. διὸ τὸ πλουτεῖν φανείη ἂν μεῖζον ἀγαθὸν τοῦ δοκεῖν. καὶ τὸ ἀγαπητόν,

35 καὶ τὸ αὐτῶι καὶ ἁπλῶς sic A^c (η pr. man.) ‖ καὶ τὸ αὐτὸ καὶ ἁπλῶς ΘCDE ‖ In C marg. ead. man.: γρ. καὶ οὕτω· καὶ τὸ αὐτῷ ἢ ἁπλῶς ‖ αὐτῷ τοῦ ἁπλῶς Isingr. ‖ αὐτῷ τοῦ vel ἢ ἁπλῶς Bonitz ‖ 37 τέλη γὰρ μᾶλλον ἢ τὰ πρὸς τῷ τέλει schol. ‖ Duos locos dedit Muretus, qui correxisse videtur τέλη γὰρ μᾶλλον· καὶ τὰ πρὸς τὸ τέλος ‖ 1365b, 10 καὶ ante ὁ πλοῦτος addunt ΘΠ ‖ 11 τὸ ante μεθ' ead. pr. man. super lineam A^c et ceteri omnes praebent articulum (nescio an recte) ‖ τὸ delevit Vahlen, Bekker[2] Spengel ‖ 12 ὑπάρχει sic A^c corr. pr. man. ‖ ὑπερέχει Tr. ‖ ὥστε ⟨ὑπερέχει εἴπερ⟩ ὑπάρχει coni. Vahlen ‖ 14 λανθάνει A^c ‖ ἢ λανθάνει A^c ἃ addidit ead. man. ‖ post λανθάνει ras. ‖ 15 τινι Y^{b}Z^{b}BC et A^c pr. sed rec. man. emendavit τείνει ‖ Post τὸ πλουτεῖν ex scholio nisi fallor inseruit Veneta: καὶ τὸ δοκεῖν quod codd. auctoritatem secutus abiecit Vict. ‖ τοῦ μὴ δοκεῖν B p. v et rec. man. addidit μὴ in Y^b ‖ τοῦ πλουτεῖν — τὸ δοκεῖν Cope τὸ πλουτεῖν — τῷ δοκεῖν Munro.

Digitized by Google

καὶ τοῖς μὲν μόνον τοῖς δὲ μετ' ἄλλων. διὸ καὶ οὐκ ἴση ζημία, ἄν τις τὸν ἑτερόφθαλμον τυφλώσῃ καὶ τὸν δύ' ἔχοντα· ἀγαπητὸν γὰρ ἀφῄρηται. ἐκ τίνων μὲν οὖν δεῖ τὰς πίστεις φέρειν ἐν τῷ προτρέπειν καὶ ἀποτρέπειν, σχε- 20
δὸν εἴρηται·

8 μέγιστον δὲ καὶ κυριώτατον ἁπάντων πρὸς τὸ δύνασθαι πείθειν καὶ καλῶς συμβουλεύειν τὰς πολιτείας ἁπάσας λαβεῖν καὶ τὰ ἑκάστης ἔθη καὶ νόμιμα καὶ συμφέροντα διελεῖν. πείθονται γὰρ ἅπαντες τῷ συμφέροντι, 25
συμφέρει δὲ τὸ σῶζον τὴν πολιτείαν. ἔτι δὲ κυρία μέν ἐστιν ἡ τοῦ κυρίου ἀπόφασις, τὰ δὲ κύρια διῄρηται κατὰ τὰς πολιτείας· ὅσαι γὰρ αἱ πολιτεῖαι, τοσαῦτα καὶ τὰ κύρια ἐστιν. εἰσὶν δὲ πολιτεῖαι τέτταρες, δημοκρατία ὀλιγαρχία ἀριστοκρατία μοναρχία, ὥστε τὸ μὲν κύριον καὶ τὸ 30
κρῖνον τούτων τί ἐστιν μόριον ἢ ὅλον τούτων. ἔστιν δὲ δημοκρατία μὲν πολιτεία ἐν ᾗ πλήρῳ διανέμονται τὰς ἀρχάς, ὀλιγαρχία δὲ ἐν ᾗ οἱ ἀπὸ τιμημάτων, ἀριστοκρατία δὲ ἐν ᾗ κατὰ τὴν παιδείαν. παιδείαν δὲ λέγω τὴν ὑπὸ τοῦ νόμου

17 καὶ ante τοῖς μὲν om. C ‖ μόνως marg. ed. Venet. ‖ γρ. ἀγαπητὸν ἂν εἴη μᾶλλον εἰ μόνον εἴη ἢ μετ' ἄλλων schol. Stephani ‖ οὐκ ἴση] γρ. οὐχ' ἡ αὐτή A^c ‖ 19 ἀγαπητὸν γὰρ ἀφῄρηται om. C ‖ 24 ἤθη sic A^c ε correxit ead. man. ‖ ἤθη etiam schol., qui tamen mox ἔθη affert ‖ 26 τὴν πολιτείαν ex codd. (A^c et Tr.) pr. Vict. τὴν πόλιν Θ(T^b pr.) D Ald. ‖ Pro ἔτι δὲ ἐπεὶ δὲ dubitanter coni. Spengel ‖ 27 ἀπόφανσις Z^b D E et C alt. man. Ald. ‖ κατὰ] καὶ κατὰ Θ(Y^b pr.) E Ald. ‖ 29 τέσσαρες Θ ‖ 31 ἐστιν ἂν εἴ sic A^c post εἰ minutissimo ductu *H* sine accentu, praeterea ἐστιν punctis superscriptis notatum ut delendum; nam sine dubio corrector ἂν εἴη legi vult, non id, quod Bekkerus recepit ἀεὶ ‖ ἂν εἴη cet. omnes. Cf. Mus. Rhen. N. F. XXXIX pag. 500. ‖ Nec in eodem codice deprendi correctoris manum in τούτων post ὅλον, quod scriptum est per compendium et alterum τ tenuius et paululum supra lineam eminens ‖ τι alt. man. addidit Y^b ‖ 32 πλῆροι D E Ald. ‖ Et hic et in sequente versu pro οἱ ἡ C ‖ 33 ἀπὸ] ἐπὶ vel ἐν legisse videtur Tr. ‖ 34 οἱ ante κατὰ addunt A^c alt. man. Y^b et ceteri omnes nisi quod h. l. et Z^b et B pro οἱ ἡ exhibent. Omisi cum Spengelio. ‖ τὴν ante παιδείαν om Θ Π.

Digitized by Google

35 κειμένην· οἱ γὰρ ἐμμεμενηκότες ἐν τοῖς νομίμοις ἐν τῇ ἀριστοκρατίᾳ ἄρχουσιν. ἀνάγκη δὲ τούτους φαίνεσθαι ἀρίστους, ὅθεν καὶ τοὔνομα εἴληφεν τοῦτο. μοναρχία δ' ἐστὶν κατὰ
1366a τοὔνομα ἐν ᾗ εἷς ἁπάντων κύριός ἐστιν· τούτων δὲ ἡ μὲν κατὰ τάξιν τινὰ βασιλεία, ἡ δ' ἀόριστος τυραννίς· τὸ δὴ τέλος ἑκάστης πολιτείας οὐ δεῖ λανθάνειν· αἱροῦνται γὰρ τὰ πρὸς τὸ τέλος. ἔστι δὲ δημοκρατίας μὲν τέλος ἐλευθερία, ὀλι-
5 γαρχίας δὲ πλοῦτος, ἀριστοκρατίας δὲ τὰ περὶ παιδείαν καὶ τὰ νόμιμα ..... τυραννίδος δὲ φυλακή. δῆλον οὖν ὅτι τὰ πρὸς τὸ τέλος ἑκάστης ἔθη καὶ νόμιμα καὶ συμφέροντα διαιρετέον, εἴπερ αἱροῦνται πρὸς τοῦτο ἐπαναφέροντες. ἐπεὶ δὲ οὐ μόνον αἱ πίστεις γίνονται δι' ἀποδεικτικοῦ λόγου ἀλλὰ
10 καὶ δι' ἠθικοῦ· τῷ γὰρ ποιόν τινα φαίνεσθαι τὸν λέγοντα πιστεύομεν, τοῦτο δ' ἐστὶν ἂν ἀγαθὸς φαίνηται ἢ εὔνους ἢ ἄμφω, δέοι ἂν τὰ ἤθη τῶν πολιτειῶν ἑκάστης ἔχειν ἡμᾶς· τὸ μὲν γὰρ ἑκάστης ἦθος πιθανώτατον ἀνάγκη πρὸς ἑκάστην εἶναι. ταῦτα δὲ ληφθήσεται διὰ τῶν αὐτῶν· τὰ μὲν γὰρ
15 ἤθη φανερὰ κατὰ τὴν προαίρεσιν, ἡ δὲ προαίρεσις ἀναφέρεται πρὸς τὸ τέλος.

ὧν μὲν οὖν δεῖ ὀρέγεσθαι προτρέποντας ὡς ἐσομένων ἢ ὄντων, καὶ ἐκ τίνων δεῖ τὰς περὶ τοῦ συμφέροντος πίστεις λαμβάνειν, ἔτι δὲ περὶ τῶν περὶ τὰς πολιτείας ἠθῶν καὶ

35 νόμοις QZ^{b}DEAld. ‖ 1366a, 2 Ad τάξιν τινὰ varietas A^c in marg. κατ' ἀξίαν τινά. Utramque lectionem coniunctam habet schol. p. 16b, 14 ‖ δή] δὲ Z^b schol. et Bas. Isingr. ‖ 3 τὰ] τὸ Tr. ‖ 5 περὶ παιδείαν ex A^c et Tr. Spengel πρὸς cet. ‖ 6 Lacunam indicavi cum Spengelio; βασιλείας enim τέλος excidisse apparet. Ex schol. in ed. Venet. aliasque transiit: βασιλείας δὲ τὸ ἐννόμως (ἐν νόμοις Venet.) ἐπιστατεῖν, quod additamentum ut falsum nec ullius cod. auctoritate firmatum expunxit pr. Vict. ‖ τυραννίδος δὲ φυλακή, βασιλείας δὲ εὐεργεσία ex Cod. Dresdensi coni. Vahlen. Cf. Vahlen. Index Lectionum Univers. Berolin. Sem. aestiv. 1875 ‖ 8 ἀναφέροντες ΘBE ‖ 13 γὰρ ἑκάστου ΘBDE ‖ 14 ἐκ τῶν αὐτῶν schol. cf. v. 27 ‖ διὰ τῶν αὐτῶν τόπων Tr. ‖ 19 περὶ post δὲ om. ΘΠ ‖ Super τῶν περὶ τὰς A^c manu plane diversa γρ. κατά, scilicet κατὰ τὰς πολιτείας, quod vertit Tr.

Digitized by Google

νομίμων διὰ τίνων τε καὶ πῶς εὐπορήσομεν, ἐφ' ὅσον ἦν 20
τῷ παρόντι καιρῷ σύμμετρον, εἴρηται· διηκρίβωται γὰρ ἐν
τοῖς πολιτικοῖς περὶ τούτων.

9 *μετὰ δὲ ταῦτα λέγωμεν περὶ ἀρετῆς καὶ κακίας καὶ*
καλοῦ καὶ αἰσχροῦ· οὗτοι γὰρ σκοποὶ τῷ ἐπαινοῦντι καὶ ψέ-
γοντι· συμβήσεται γὰρ ἅμα περὶ τούτων λέγοντας κἀκεῖνα 25
δηλοῦν ἐξ ὧν ποιοί τινες ὑποληφθησόμεθα κατὰ τὸ ἦθος,
ἥπερ ἦν δευτέρα πίστις· ἐκ τῶν αὐτῶν γὰρ ἡμᾶς τε καὶ ἄλλον
ἀξιόπιστον δυνησόμεθα ποιεῖν πρὸς ἀρετήν. ἐπεὶ δὲ συμβαίνει
καὶ χωρὶς σπουδῆς καὶ μετὰ σπουδῆς ἐπαινεῖν πολλάκις οὐ μό-
νον ἄνθρωπον ἢ θεὸν ἀλλὰ καὶ ἄψυχα καὶ τῶν ἄλλων ζῴων 30
τὸ τυχόν, τὸν αὐτὸν τρόπον καὶ περὶ τούτων ληπτέον τὰς προ-
τάσεις, ὥστε ὅσον παραδείγματος χάριν εἴπωμεν καὶ περὶ τούτων.

καλὸν μὲν οὖν ἐστιν ὃ ἂν δι' αὐτὸ αἱρετὸν ὂν ἐπαι-
νετὸν ᾖ, ἢ ὃ ἂν ἀγαθὸν ὂν ἡδὺ ᾖ, ὅτι ἀγαθόν. εἰ δὲ
τοῦτό ἐστι τὸ καλόν, ἀνάγκη τὴν ἀρετὴν καλὸν εἶναι. 35
ἀγαθὸν γὰρ ὂν ἐπαινετόν ἐστιν. ἀρετὴ δ' ἐστὶ μὲν δύ-
ναμις ὡς δοκεῖ ποριστικὴ ἀγαθῶν καὶ φυλακτική, καὶ
δύναμις εὐεργετικὴ πολλῶν καὶ μεγάλων, καὶ πάντων
περὶ πάντα. μέρη δὲ ἀρετῆς δικαιοσύνη, ἀνδρία, σωφρο- 1366 b
σύνη, μεγαλοπρέπεια, μεγαλοψυχία, ἐλευθεριότης, πραότης,
φρόνησις, σοφία. ἀνάγκη δὲ μεγίστας εἶναι ἀρετὰς τὰς
τοῖς ἄλλοις χρησιμωτάτας, εἴπερ ἐστὶν ἡ ἀρετὴ δύναμις
εὐεργετική. διὰ τοῦτο τοὺς δικαίους καὶ ἀνδρείους μάλιστα 5

21 *εἴπομεν* Tr. ‖ 23 *λέγομεν* Z^bC Ald. ‖ 25 *συμβήσεται δὲ* schol. et Tr. ‖ 27 *ὅπερ ΘΠ* Tr. ‖ 32 *περὶ τούτου* Tr. ‖ 33 *ὃ ἂν* — 34 *ἢ* om. Y^bZ^bD Ald. ‖ 34 *εἰ δὴ* exspectas cum Spengelio cf. 1354 b, 16 ‖ 37 Prius *καὶ* om. QZ^bD Ald. ‖ 1366 b, 1 *μέρη δὲ αὐτῆς* schol. ‖ Ante *μέρη δὲ ἀρετῆς* verba *κακία δὲ τούναντίον* excidisse coni. Spengel ‖ *ἀνδρεία* A^cBE ‖ 2 Post *ἐλευθεριότης* signum ⟨· et super lineam ead. man. *πραότης*, quae virtutis pars et in expositione desideratur et abiicienda videtur A^c ‖ 4 Pro *εἴπερ* schol. legisse videtur *ἐπεὶ δὲ* et duo enuntiata coniunxisse *ἐπεὶ δὲ — διὰ τοῦτο*; nam adnotavit: *ἔστι κάλλιον ἀντὶ τοῦ δὲ κεῖσθαι γάρ*. Itaque legi vult *ἐπεὶ γάρ*.

Digitized by Google

τιμῶσιν· ἡ μὲν γὰρ ἐν πολέμῳ ἡ δὲ καὶ ἐν εἰρήνῃ χρήσιμος ἄλλοις. εἶτα ἡ ἐλευθεριότης· προΐενται γὰρ καὶ οὐκ ἀνταγωνίζονται περὶ τῶν χρημάτων, ὧν μάλιστα ἐφίενται ἄλλοι. ἔστι δὲ δικαιοσύνη μὲν ἀρετὴ δι' ἣν τὰ αὑτῶν ἕκαστοι ἔχουσι, καὶ ὡς ὁ νόμος, ἀδικία δὲ δι' ἣν τὰ ἀλλότρια, οὐχ ὡς ὁ νόμος. ἀνδρία δὲ δι' ἣν πρακτικοί εἰσι τῶν καλῶν ἔργων ἐν τοῖς κινδύνοις, καὶ ὡς ὁ νόμος κελεύει, καὶ ὑπηρετικοὶ τῷ νόμῳ· δειλία δὲ τοὐναντίον. σωφροσύνη δὲ ἀρετὴ δι' ἣν πρὸς τὰς ἡδονὰς τὰς τοῦ σώματος οὕτως ἔχουσιν ὡς ὁ νόμος κελεύει· ἀκολασία δὲ τοὐναντίον. ἐλευθεριότης δὲ περὶ χρήματα εὐποιητική, ἀνελευθερία δὲ τοὐναντίον. μεγαλοψυχία δὲ ἀρετὴ μεγάλων ποιητικὴ εὐεργετημάτων, [μικροψυχία δὲ τοὐναντίον.] μεγαλοπρέπεια δὲ ἀρετὴ ἐν δάπανήμασι μεγέθους ποιητική, μικροψυχία δὲ καὶ μικροπρέπεια τἀναντία. φρόνησις δ' ἐστὶν ἀρετὴ διανοίας, καθ' ἣν εὖ βουλεύεσθαι δύνανται περὶ ἀγαθῶν καὶ κακῶν τῶν εἰρημένων εἰς εὐδαιμονίαν.

περὶ μὲν οὖν ἀρετῆς καὶ κακίας καθόλου καὶ περὶ τῶν μορίων εἴρηται κατὰ τὸν ἐνεστῶτα καιρὸν ἱκανῶς, περὶ δὲ τῶν

6 *τιμῶσιν* (μεν) sic A^c corr. ead. man. et sic et schol. cf. et variet. ad 1368b, 29. 1377b, 8 ‖ Super *καὶ ἐν* eadem man. in A^c minutissimo ductu *πολέμῳ καὶ*, quod vertit Tr. et interpretatur schol. ‖ 7 *χρήσιμός ἐστιν* Y^b Z^b *Π* Ald. ‖ Super *ἄλλοις αὐτοῖς* A^c, quod habent *ΘΠ* ‖ *ἡ* om. *ΘΠ* ‖ *ἐλευθερίους* Y^b Bas. Isingr. ‖ 9 *ἔστι* (ἔτι) *δε* sic A^c et *ἔτι* ead. man., quod vertit Tr. ‖ *ἀρετὴ* om. schol. ‖ 11 *ἀνδρεία* A^c B ‖ 12 Verba *καὶ ὡς ὁ νόμος κελεύει* quae et infra v. 15 occurrunt, delet Kayser ‖ 13 *ὑπηρετική* Z^b Y b B C Ald. ‖ *σωφροσύνη* — 15 *τοὐναντίον* om. Y^b pr. Z^b pr. D. ead. man. addidit in marg. C ‖ 15 Varietas ad *ἀκολασία* in marg. A^c ubi ead. man. *γρ. ἀκρασία*, quod vertit Tr. et interpretatur schol. ‖ 17 *μεγαλοψυχία* — 18 *τουναντίον* om. Y^b pr. ‖ *μικροψυχία δὲ τοὐναντίον* omissum in C et in versione Mureti monente Spengelio seclusi. (Desiderantur in hac expositione definitio eius, quod contrarium est *φρονήσει* et definitiones *σοφίας* eiusque contrarii cf. et adnot. ad 1 et 2.)

Digitized by Google

ἄλλων οὐ χαλεπὸν ἰδεῖν· φανερὸν γὰρ ὅτι ἀνάγκη τά τε ποιη- 25
τικὰ τῆς ἀρετῆς εἶναι καλά. (πρὸς ἀρετὴν γάρ) καὶ τὰ ἀπ' ἀρε-
τῆς γινόμενα, τοιαῦτα δὲ τά τε σημεῖα τῆς ἀρετῆς καὶ τὰ ἔργα·
ἐπεὶ δὲ τὰ σημεῖα καὶ τὰ τοιαῦτα ἅ ἐστιν ἀγαθοῦ ἔργα ἢ
πάθη, καλά, ἀνάγκη ὅσα τε ἀνδρίας ἔργα ἢ σημεῖα ἀν-
δρίας ἢ ἀνδρείως πέπρακται καλὰ εἶναι, καὶ τὰ δίκαια 30
καὶ τὰ δικαίως ἔργα (πάθη δὲ οὔ· ἐν μόνῃ γὰρ ταύτῃ τῶν
ἀρετῶν οὐκ ἀεὶ τὸ δικαίως καλόν, ἀλλ' ἐπὶ τοῦ ζημιοῦ-
σθαι αἰσχρὸν τὸ δικαίως μᾶλλον ἢ τὸ ἀδίκως) καὶ κατὰ
τὰς ἄλλας δὲ ἀρετὰς ὡσαύτως. καὶ ἐφ ὅσοις τὰ ἆθλα
τιμή, καλά. καὶ ἐφ' ὅσοις τιμὴ μᾶλλον ἢ χρήματα. 35
καὶ ὅσα μὴ αὐτοῦ ἕνεκα πράττει τις τῶν αἱρετῶν, καὶ τὰ
ἁπλῶς ἀγαθά, ὅσα ὑπὲρ τῆς πατρίδος τις ἐποίησεν παρι-
δὼν τὸ αὐτοῦ, καὶ τὰ τῇ φύσει ἀγαθά, καὶ ἃ μὴ αὐτῷ
ἀγαθά· αὐτοῦ γὰρ ἕνεκα τὰ τοιαῦτα, καὶ ὅσα τεθνεῶτι 1367 a
ἐνδέχεται ὑπάρχειν μᾶλλον ἢ ζῶντι· τὸ γὰρ αὐτοῦ ἕνεκα
μᾶλλον ἔχει τὰ ζῶντι. καὶ ὅσα ἔργα τῶν ἄλλων ἕνεκα·
ἧττον γὰρ αὐτοῦ. καὶ ὅσαι εὐπραγίαι περὶ ἄλλους, ἀλλὰ
μὴ περὶ αὐτόν. καὶ περὶ τοὺς εὖ ποιήσαντας· δίκαιον γάρ. 5
καὶ τὰ εὐεργετήματα· οὐ γὰρ εἰς αὐτόν. καὶ τὰ ἐναντία
ἢ ἐφ' οἷς αἰσχύνονται· τὰ γὰρ αἰσχρὰ αἰσχύνονται καὶ
λέγοντες καὶ ποιοῦντες καὶ μέλλοντες, ὥσπερ καὶ Σαπφὼ

28 ἅ ἐστιν corr. A^{c} || ὅσα εἰσιν Θ*Π* (C ἐστιν) Tr. || ἀγαθὰ ἔργα Tr. || 29 πάθη corr. A^{c} || ἀνάγκη τε ὅσα ἀνδρίας ΘBCE Ald. || 29 ἀνδρείας A^{c}B || 32 ἀλλ'] ὅτι invenisse videtur Tr. || 34 καὶ ἐφ' οἷς τὰ ἆθλα C et Tr., quae etiam in sequenti ἐφ' οἷς vertere videtur || 36 ἀρετῶν Z^{b} || ἀρετῶν: γρ. δὲ καὶ αἱρετῶν schol. || αἱρετῶν in ras. C in marg. ead. man. γρ. καὶ ἀρετῶν || 37 καὶ ὅσα Puccii cod. apud Vict. idque deletis verbis τὰ ἁπλῶς ἀγαθὰ vertit Muretus || καὶ ὅσα μὴ αὐτοῦ ἕνεκα πράττει τις τῶν αἱρετῶν ⟨οἷον⟩ ὅσα ὑπέρ τε πατρίδος ⟨καὶ πολιτῶν⟩ τις ἐποίησε παριδὼν τὸ αὐτοῦ || καὶ τὰ τῇ φύσει ἀγαθὰ Vahlen, sed pro τε, quod in omnibus libris occurrit praeter Tr. (ras. C), cum Sylburgio et Spengelio τῆς scribendum videtur || 37 τις om. Y^{b}BC || ἐποίει τις QE || 1367 a, 3 ζῶντι Vict. ζῶντα libri || ἄλλων] καλῶν ἕνεκα Θ || 4 αὐτοῦ ἕνεκα Tr.

Digitized by Google

πεποίηκεν εἰπόντος τοῦ Ἀλκαίου

10 θέλω τι ϝειπῆν, ἀλλά με κωλύει
αἰδώς
αἰ δ' ἦχες ἐσθλῶν ἵμερον ἢ καλῶν
καὶ μή τι ϝειπῆν γλῶσσ' ἐκύκα κακόν,
αἰδώς κέν σε οὐκ εἶχεν ὄμματ',
ἀλλ' ἔλεγες περὶ τῶ δικαίω.

15 καὶ περὶ ὧν ἀγωνιῶσι μὴ φοβούμενοι· περὶ γὰρ τῶν πρὸς δόξαν φερόντων ἀγαθῶν τοῦτο πάσχουσιν. καὶ αἱ τῶν φύσει σπουδαιοτέρων ἀρεταὶ καλλίους καὶ τὰ ἔργα, οἷον ἀνδρὸς ἢ γυναικός. καὶ αἱ ἀπολαυστικαὶ ἄλλοις μᾶλλον ἢ αὐτοῖς· διὸ τὸ δίκαιον καὶ ἡ δικαιοσύνη καλόν. καὶ τὸ τοὺς ἐχθροὺς

20 τιμωρεῖσθαι μᾶλλον καὶ μὴ καταλλάττεσθαι· τό τε γὰρ ἀνταποδιδόναι δίκαιον. τὸ δὲ δίκαιον καλόν, καὶ ἀνδρείου τὸ μὴ ἡττᾶσθαι. καὶ νίκη καὶ τιμὴ τῶν καλῶν· αἱρετά τε γὰρ ἄκαρπα ὄντα, καὶ ὑπεροχὴν ἀρετῆς δηλοῖ. καὶ τὰ μνημονευτά, καὶ τὰ μᾶλλον μᾶλλον. καὶ ἃ μὴ ζῶντι

25 ἕπεται. καὶ οἷς τιμὴ ἀκολουθεῖ. καὶ τὰ περιττά. καὶ τὰ μόνῳ ὑπάρχοντα καλλίω· εὐμνημονευτότερα γάρ. καὶ κτήματα ἄκαρπα· ἐλευθεριώτερα γάρ. καὶ τὰ παρ' ἑκάστοις δὲ ἴδια καλά, καὶ ὅσα σημεῖά ἐστιν τῶν παρ' ἑκάστοις ἐπαινουμένων, οἷον ἐν Λακεδαίμονι κομᾶν καλόν· ἐλευθέρου

30 γὰρ σημεῖον· οὐ γάρ ἐστιν κομῶντα ῥᾴδιον οὐδὲν ποιεῖν ἔργον

9 τ' εἰπῆν A^c τ' εἰπεῖν ΘΠ. Digamma primus agnovit Blomfield ‖ 11 αἰ corr. A^c ‖ ἦχες ἐς corr. A^c ‖ ἵκες Y^b B Ald. ‖ αἴθ' ἥκες ἐς schol. (sed ἐς om. cod. Monac. 90) εἶχες Bekker[3] ‖ 12 μητιτειπῆν γλῶσσαι κυκᾶι A^c ‖ μήτ' εἰπεῖν Q Y^b ϝειπῆν Blomfield ‖ 13 ὄμματα A^c ‖ 14 τω corr. A^c ‖ ὦ Q Z^b ‖ 16 μᾶλλον πάσχουσι Tr. ‖ 20 μᾶλλον om. A^c secl. Spengel ‖ 21 ἀνδρείου ex codd. (A^c) Vict. ἀνδρεῖον Z^b D E Tr. ‖ 22 νίκη γὰρ Tr. (?) ‖ 24 μνημόνευτα C ut Tr. ‖ μνημονεύματα cet. ‖ καὶ μᾶλλον τὰ μᾶλλον B C Tr. ‖ Post alterum μᾶλλον addunt ΘΠ Tr: μᾶλλον δὲ καὶ δ, quod vertit Muretus ‖ 25 οἷς] solus D super lineam. ὦ Y^b pr. superscr. B, om. cet. cum Tr. et A^c, ubi καὶ ἡ τιμή. Totum commation om. schol. delet Vahlen ‖ 26 εὐμνημόνευτα Θ (pr. Y^b) D E ‖ 29 ἐλευθερίας γάρ ΘΠ.

Digitized by Google

θητικόν. καὶ τὸ μηδεμίαν ἐργάζεσθαι βάναυσον τέχνην· ἐλευθέρου γὰρ τὸ μὴ πρὸς ἄλλον ζῆν. ληπτέον δὲ καὶ τὰ σύνεγγυς τοῖς ὑπάρχουσιν ὡς ταὐτὰ ὄντα καὶ πρὸς ἔπαινον καὶ πρὸς ψόγον, οἷον τὸν εὐλαβῆ ψυχρὸν καὶ ἐπίβουλον καὶ τὸν ἠλίθιον χρηστὸν ἢ τὸν ἀνάλγητον πρᾶον. καὶ 35
ἕκαστον δ' ἐκ τῶν παρακολουθούντων ἀεὶ κατὰ τὸ βέλτιστον, οἷον τὸν ὀργίλον καὶ τὸν μανικὸν ἁπλοῦν καὶ τὸν αὐθάδη μεγαλοπρεπῆ καὶ σεμνόν. καὶ τοὺς ἐν ταῖς ὑπερβολαῖς ὡς 1367 b
ἐν ταῖς ἀρεταῖς ὄντας, οἷον τὸν θρασὺν ἀνδρεῖον καὶ τὸν ἄσωτον ἐλευθέριον· δόξει τε γὰρ τοῖς πολλοῖς, καὶ ἅμα παραλογιστικὸν ἐκ τῆς αἰτίας. εἰ γὰρ οὗ μὴ ἀνάγκη κινδυνευτικός, πολλῷ μᾶλλον ἂν δόξειεν ὅπου καλόν, καὶ εἰ 5
προετικὸς τοῖς τυχοῦσι, καὶ τοῖς φίλοις· ὑπερβολὴ γὰρ ἀρετῆς τὸ πάντας εὖ ποιεῖν. σκοπεῖν δὲ καὶ παρ' οἷς ὁ ἔπαινος· ὥσπερ γὰρ ὁ Σωκράτης ἔλεγεν, οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν. δεῖ δὲ τὸ παρ' ἑκάστοις τίμιον ὂν λέγειν ὡς ὑπάρχει, οἷον ἐν Σκύθαις ἢ Λάκωσιν ἢ φιλοσό- 10
φοις. καὶ ὅλως δὲ τὸ τίμιον ἄγειν εἰς τὸ καλόν, ἐπείπερ γε δοκεῖ γειτνιᾶν. καὶ ὅσα κατὰ τὸ προσῆκον, οἷον εἰ ἄξια τῶν προγόνων καὶ τῶν προϋπηργμένων· εὐδαιμονικὸν γὰρ καὶ καλὸν καὶ τὸ προσεπικτᾶσθαι τιμήν. καὶ εἰ παρὰ τὸ προσῆκον δὲ ἐπὶ τὸ βέλτιον καὶ τὸ κάλλιον, οἷον εἰ εὐτυχῶν 15

32 ἐλευθέρου ex A^c et Tr. pr. Vict., ἐλευθέριον ΘΠ ‖ τὰ rec. man. addidit super lineam A^c ‖ 33 ὡς καὶ ταὐτά ΘΠ ‖ 34 Sic ex A^c Gaisford ‖ οἷον τὸν εὐλαβῆ καὶ εὔψυχρον δειλὸν καὶ ἐπίβουλον Z^b et pr. Y^b Tr. ‖ οἷον τὸν εὐλαβῆ καὶ εὔψυχον δειλὸν καὶ ἐπίβουλον QΠ ‖ 35 ἢ ex A^c et Tr. (m) Spengel, καὶ cet. ‖ 36 βέλτιον Q, quod vertit Muretus ‖ 1367 b, 7 σκοπεῖν δὲ δεῖ Tr. ‖ 10 ὄν pr. ex A^c Vict., om. cet. ‖ ὑπάρχε ν A^c inter ε et ν ras., voluit nisi fallor corrector ὑπάρχον, quod est in CDTr. ‖ ἢ φιλοσόφοις in versione om. Muretus ‖ 12 γε ex A^c Gaisford, om. cet. ‖ 14 καὶ ante τὸ προσεπικτᾶσθαι ex A^c inserui, om. cet. ‖ καὶ εἰ ex A^c Gaisford, ἢ εἰ cet. ‖ εἰ om. Tr. ‖ 15 Post προσῆκον rasura, tum minutissimo ductu per compendium δὲ add. A^c, quod recepit Bekker, om. cet. ‖ ἐπεὶ A^c pr. nunc ex corr. ἐπὶ ‖ προσῆκον μέν, ἐπὶ δὲ coni. Kayser. ‖ ὁ εὐτυχῶν et ὁ δ' ἀτυχῶν ΘΠ.

Digitized by Google

μὲν μέτριος ἀτυχῶν δὲ μεγαλόψυχος, ἢ μείζων γιγνόμενος βελτίων καὶ καταλλακτικώτερος. τοιοῦτον δὲ τὸ τοῦ Ἰφικράτους, ἐξ οἵων εἰς οἷα, καὶ τὸ τοῦ ὀλυμπιονίκου

πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν,

καὶ τὸ τοῦ Σιμωνίδου

ἢ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων.

ἐπεὶ δ' ἐκ τῶν πράξεων ὁ ἔπαινος, ἴδιον δὲ τοῦ σπουδαίου τὸ κατὰ προαίρεσιν, πειρατέον δεικνύναι πράττοντα κατὰ προαίρεσιν. χρήσιμον δὲ τὸ πολλάκις φαίνεσθαι πεπραχότα. διὸ καὶ τὰ συμπτώματα καὶ τὰ ἀπὸ τύχης ὡς ἐν προαιρέσει ληπτέον· ἂν γὰρ πολλὰ καὶ ὅμοια προφέρηται, σημεῖον ἀρετῆς εἶναι δόξει καὶ προαιρέσεως.

ἔστιν δ' ἔπαινος λόγος ἐμφανίζων μέγεθος ἀρετῆς. δεῖ οὖν τὰς πράξεις ἐπιδεικνύναι ὡς τοιαῦται. τὸ δ' ἐγκώμιον τῶν ἔργων ἐστίν, (τὰ δὲ κύκλῳ εἰς πίστιν, οἷον εὐγένεια καὶ παιδεία· εἰκὸς γὰρ ἐξ ἀγαθῶν ἀγαθοὺς καὶ τὸν οὕτω τραφέντα τοιοῦτον εἶναι). διὸ καὶ ἐγκωμιάζομεν πράξαντας. τὰ δ' ἔργα σημεῖα τῆς ἕξεως ἐστίν, ἐπεὶ ἐπαινοῖμεν ἂν καὶ μὴ πεπραγότα, εἰ πιστεύοιμεν εἶναι τοιοῦτον. μακαρισμὸς δὲ καὶ εὐδαιμονισμὸς αὐτοῖς μὲν ταὐτά, τούτοις δ' οὐ ταὐτά, ἀλλ' ὥσπερ ἡ εὐδαιμονία τὴν ἀρετήν, καὶ ὁ εὐδαιμονισμὸς περιέχει ταῦτα.

16 *γενόμενος ΘΠ* ‖ 17 πρακτικώτερος: *γρ. δὲ καὶ καταλλακτικώτερος* schol. ‖ *πρακτικώτερος* vertit Tr. ‖ *τὸ* om. *ΘBCD* ‖ 20 *τ'* om. *ΘΠ* ‖ 23 Verba *χρήσιμον δὲ — πεπραχότα* verbis *διὸ — ληπτέον* transponit Vahlen ‖ 24 Post *πεπραχότα* addit Tr. *κατὰ προαίρεσιν* ‖ 27 Haec expositio ab *ἔστι δ'* ... usque ad 1368a, 10 *μετατεθῇ*, quae ut recte monet Spengelius, ne hic quidem suum locum tenet, et infra ad 1410b, 30 sqq. ad lacunam satis incommode explendam inculcata est; itaque lectionis varietatem infra in A^c occurrentem hoc loco cum signo A^c p apposui ‖ *δὲ* A^cp ‖ 29 *οἷον εὐγένειαν καὶ εὐήθειαν* (sic): *γρ. δὲ καὶ παιδείαν* schol. ‖ 30 *ἀγαθόν* BETr. (*ἀγαθοὺς* Tr. infra) ‖ 32 *ἕξεως*] *τῆς πράξεως* A^cp et C, quam lectionem reiicit schol. Stephani I, 268 ‖ *εἰσὶν ΘΠ* ‖ *ἐπαινοῖμεν* sine *ἄν* A^c*Θ* (Y^b pr.) Ald. *ἐπαινοῖμεν ἄν* A^cpCTr. ‖ *ἐπαινοῦμεν* DE ‖ 33 *πεπραγότα* libri omnes, *πεπραχότα* ut 23 Bekk.[3] cf. 1392b, 19 ‖ *πεπραχότας* Tr. sed infra singularem exhibet ‖ 34 *ταῦτα* A^cp ‖ 35 *ὁ* om. A^cp.

Digitized by Google

ἔχει δὲ κοινὸν εἶδος ὁ ἔπαινος καὶ αἱ συμβουλαί. ἃ γὰρ ἐν τῷ συμβουλεύειν ὑπόθοιο ἄν, ταῦτα μετατεθέντα τῇ λέξει ἐγκώμια γίγνεται. ἐπεὶ οὖν ἔχομεν ἃ δεῖ πράττειν καὶ ποῖόν τινα εἶναι δεῖ, ταῦτα ὡς ὑποθήκας λέγοντας τῇ λέξει μετατιθέναι δεῖ καὶ στρέφειν, οἷον ὅτι οὐ δεῖ μέγα φρονεῖν ἐπὶ τοῖς διὰ τύχην ἀλλὰ τοῖς δι' αὐτόν. οὕτω μὲν οὖν λεχθὲν ὑποθήκην δύναται, ὡδὶ δ' ἔπαινον, μέγα φρονῶν οὐ τοῖς διὰ τύχην [ὑπάρχουσιν] ἀλλὰ τοῖς δι' αὐτόν. ὥστε ὅταν ἐπαινεῖν βούλῃ, ὅρα τί ἂν ὑπόθοιο, καὶ ὅταν ὑποθέσθαι, ὅρα τί ἂν ἐπαινέσειας. ἡ δὲ λέξις ἔσται ἀντικειμένη ἐξ ἀνάγκης, ὅταν τὸ μὲν κωλῦον τὸ δὲ μὴ κωλῦον μετατεθῇ. 1368a

χρηστέον δὲ καὶ τῶν αὐξητικῶν πολλοῖς, οἷον εἰ μόνος ἢ πρῶτος ἢ μετ' ὀλίγων ἢ καὶ [ὃ] μάλιστα πεποίηκεν· ἅπαντα γὰρ ταῦτα καλά. καὶ τὰ ἐκ τῶν χρόνων καὶ τῶν καιρῶν· ταῦτα δὲ παρὰ τὸ προσῆκον. καὶ εἰ πολλάκις τὸ αὐτὸ κατώρθωκεν· μέγα γάρ, καὶ οὐκ ἀπὸ τύχης ἀλλὰ δι' αὐτὸν ἂν δόξειεν. καὶ εἰ τὰ προτρέποντα καὶ τιμῶντα διὰ τοῦτον εὕρηται καὶ κατεσκευάσθη. καὶ εἰς ὃν πρῶτον ἐγκώμιον ἐποιήθη, οἷον εἰς Ἱππόλοχον, καὶ ⟨δι'⟩

36 ἔχει δέι A^c p ‖ τι κοινὸν C ‖ εἶδος om. schol. ‖ ταῖς συμβουλαῖς Tr., infra συμβουλαί ‖ 37 ἂν post γὰρ ΘBDEAld. ‖ συμβουλεύοι A^c p ‖ 1368a, 1 γίνεται A^c p ‖ 2 post εἶναι ras. A^c ‖ δεῖ εἶναι A^c p CTr. ‖ εἶναι, δεῖ ταῦτα ΘBDEAld. qui omittunt δεῖ post μετατιθέναι, quod habet et Tr. ‖ λέγοντα C et A^c p ‖ 3 post λέξει ras. A^c ‖ ἀναστρέφειν C ‖ 4 ἑαυτὸν A^c p ‖ 5 Verba οὕτω μὲν οὖν . . . 6 τοῖς δι' αὐτὸν om. A^c p et C hoc loco ‖ 6 ὑπάρχουσι monente Spengelio seclusi ‖ 7 ὅταν τε ἐπαινεῖν βουληθῇς A^c p ‖ 8 ὑποθῆσθαι A^c p ‖ ὅρα om. C ‖ 9 μετακειμένη Tr. ‖ ἀντικειμένη ἔσται A^c p ‖ 10 οἷον εἰ hinc alt. man. incipit Y^b ‖ 11 καὶ om. ΘBCDAld. ‖ ὃ delevit Fr. A. Wolf ‖ 12 τὸ vel τὰ A^c, τὸ ΘΠ ‖ 13 post δὲ inserit εἰ schol. (nescio an recte) ‖ 15 προτρέποντα corr. A^c (πρέποντα legit Gaisford, quod vertit Tr.) ‖ 17 εἰς δ ΘEAld. ‖ κατεσκευάσθη, οἷον πρῶτον ἐγκώμιον ἐποιήθη εἰς Ἱππόλοχον exspectaveris potius cum Vahlenio ‖ εἰς Ἱππόλυτον coni. G. Wolf ‖ ⟨δι'⟩ inseruit Vater et anonymus in edit. Bodl. apud Gaisford.

Digitized by Google

Ἁρμόδιον καὶ Ἀριστογείτονα τὸ ἐν ἀγορᾷ σταθῆναι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐναντίων. κἂν μὴ καθ' αὑτὸν εὐπορῇς, πρὸς
20 *ἄλλους ἀντιπαραβάλλειν, ὅπερ ὁ Ἰσοκράτης ἐποίει διὰ τὴν ἀσυνήθειαν τοῦ δικολογεῖν. δεῖ δὲ πρὸς ἐνδόξους συγκρίνειν· αὐξητικὸν γὰρ καὶ καλόν, εἰ σπουδαίων βελτίων. πίπτει δ' εὐλόγως ἡ αὔξησις εἰς τοὺς ἐπαίνους· ἐν ὑπεροχῇ γάρ ἐστιν, ἡ δ' ὑπεροχὴ τῶν καλῶν. διὸ κἂν μὴ πρὸς τοὺς ἐνδόξους,*
25 *ἀλλὰ πρὸς τοὺς ἄλλους δεῖ παραβάλλειν, ἐπείπερ ἡ ὑπεροχὴ δοκεῖ μηνύειν ἀρετήν. ὅλως δὲ τῶν κοινῶν εἰδῶν ἅπασι τοῖς λόγοις ἡ μὲν αὔξησις ἐπιτηδειοτάτη τοῖς ἐπιδεικτικοῖς· τὰς γὰρ πράξεις ὁμολογουμένας λαμβάνουσιν, ὥστε λοιπὸν μέγεθος περιθεῖναι καὶ κάλλος· τὰ δὲ παραδείγματα τοῖς*
30 *συμβουλευτικοῖς· ἐκ γὰρ τῶν προγεγονότων τὰ μέλλοντα καταμαντευόμενοι κρίνομεν· τὰ δ' ἐνθυμήματα τοῖς δικανικοῖς· αἰτίαν γὰρ καὶ ἀπόδειξιν μάλιστα δέχεται τὸ γεγονὸς διὰ τὸ ἀσαφές. ἐκ τίνων μὲν οὖν οἱ ἔπαινοι καὶ οἱ ψόγοι λέγονται σχεδὸν πάντες, καὶ πρὸς ποῖα δεῖ βλέ-*
35 *ποντας ἐπαινεῖν καὶ ψέγειν, καὶ ἐκ τίνων τὰ ἐγκώμια γίγνεται καὶ τὰ ὀνείδη, ταῦτ' ἐστίν· ἐχομένων γὰρ τούτων τὰ ἐναντία τούτοις φανερά· ὁ γὰρ ψόγος ἐκ τῶν ἐναντίων ἐστίν.*
1368b *περὶ δὲ κατηγορίας καὶ ἀπολογίας, ἐκ πόσων καὶ*
10 *ποίων ποιεῖσθαι δεῖ τοὺς συλλογισμούς, ἐχόμενον ἂν εἴη λέγειν. δεῖ δὴ λαβεῖν τρία, ἓν μὲν τίνων καὶ πόσων ἕνεκα ἀδι-*

19 *εἰς αὑτὸν* C et Y^b *εἰς* alt. man. super *καθ'*, *εἰς τὸν αὑτὸν* Tr. ‖ 20 Post *ἀντιπαραβάλλειν δεῖ* in marg. addit C ‖ *ὁ* ante *Ἰσοκράτης* om. *ΘΠ* ‖ 21 *ἀσυνήθειαν* A^c et ed. Venet, *διὰ συνήθειαν ΘΠ* ‖ *τοῦ δικαιολογεῖν* ΘBDE Ald. ‖ Utramque lectionem et *δικαιολογεῖν* exhibet Tr. ‖ *καὶ πρός* Tr. ‖ 25 *τοὺς πολλοὺς* alt. man. Y^b schol. Tr. ‖ 26 *ἅπασι* alt. *α* corr. A^c ‖ 27 *ἐπιτηδειοτάτη* ex A^c et Tr. Vict., *ἐπιτηδειοτέρα ΘΠ* ‖ 32 *γένος* A^c pr. et E, sed in A^c rec. man. *γενόμενον* correxit ‖ 34 *καὶ οἱ ψόγοι, καὶ ψέγειν, καὶ τὰ ὀνείδη* delet Kayser ‖ 36 *ἐχομένως* A^{c}Y^{b}Z^{b}BAld. ‖ 37 *ὁ δὲ ψόγος* Tr. ‖ Post *ἐστιν* in fine versus longius spatium, in quo ead. man. exaravit maiusculis litteris *περὶ τοῦ δικανικοῦ* A^c ‖ 1368b, 1 *περὶ δὲ τῆς ΘΠ.*

Digitized by Google

κοῦσι, δεύτερον δὲ πῶς αὐτοὶ διακείμενοι, τρίτον δὲ τοὺς ποίους καὶ πῶς ἔχοντας. διορισάμενοι οὖν τὸ ἀδικεῖν λέγωμεν ἑξῆς. 5

ἔστω δὴ τὸ ἀδικεῖν τὸ βλάπτειν ἑκόντα παρὰ τὸν νόμον. νόμος δ' ἐστὶν ὁ μὲν ἴδιος ὁ δὲ κοινός· λέγω δὲ ἴδιον μὲν καθ' ὃν γεγραμμένον πολιτεύονται, κοινὸν δὲ ὅσα ἄγραφα παρὰ πᾶσιν ὁμολογεῖσθαι δοκεῖ. ἑκόντες δὲ ποιοῦσιν ὅσα εἰδότες καὶ μὴ ἀναγκαζόμενοι. ὅσα μὲν οὖν 10 *ἑκόντες, οὐ πάντα προαιρούμενοι, ὅσα δὲ προαιρούμενοι, εἰδότες ἅπαντα· οὐδεὶς γὰρ ὃ προαιρεῖται ἀγνοεῖ. δι' ἃ δὲ προαιροῦνται βλάπτειν καὶ φαῦλα ποιεῖν παρὰ τὸν νόμον, κακία ἐστὶν καὶ ἀκρασία· ἐὰν γάρ τινες ἔχωσιν μοχθηρίαν ἢ μίαν ἢ πλείους, περὶ δὲ τοῦτο ὃ μοχθηροὶ τυγχάνουσιν* 15 *ὄντες, καὶ ἄδικοί εἰσιν, οἷον ὁ μὲν ἀνελεύθερος περὶ χρήματα, ὁ δ' ἀκόλαστος περὶ τὰς τοῦ σώματος ἡδονάς, ὁ δὲ μαλακὸς περὶ τὰ ῥάθυμα, ὁ δὲ δειλὸς περὶ τοὺς κινδύνους· τοὺς γὰρ συγκινδυνεύοντας ἐγκαταλιμπάνουσι διὰ τὸν φόβον, ὁ δὲ φιλότιμος διὰ τιμήν, ὁ δ' ὀξύθυμος δι' ὀργήν,* 20 *ὁ δὲ φιλόνικος διὰ νίκην, ὁ πικρὸς δὲ διὰ τιμωρίαν, ὁ δ' ἄφρων διὰ τὸ ἀπατᾶσθαι περὶ τὸ δίκαιον καὶ ἄδικον, ὁ δ' ἀναίσχυντος δι' ὀλιγωρίαν δόξης. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστος περὶ ἕκαστον τῶν ὑποκειμένων.*

1368 b, 4 Desideratur hic et infra 27, quod et breviter exposuit Aristoteles et diserte laudat, ⟨*ποῖα*⟩ *καὶ τοὺς ποίους*. cf. 1372 b, 25 et 1373 a, 27 sqq. et ib. 37 ‖ 5 *λέγομεν* Z^bTr. ‖ 11 *εἰδότες*] *ἑκόντες καὶ εἰδότες* Veneta ex schol. ‖ 15 *περὶ δὲ τοῦτο οἱ* A^c in textu, sed in marg. ead. man. *γρ. περὶ τοῦτο ὃ τυγχάνουσι* ‖ *δὲ* om. QCTr. ‖ Ordinem disputationis turbatum puto; exspectaveris sane *διὰ ταύτας ἄδικοί εἰσιν, οἷον ὁ μὲν φιλότιμος διὰ τιμήν . . . ὁ δ' ἀναίσχυντος δι' ὀλιγωρίαν δόξης, περὶ δὲ τοῦτο ὃ μοχθηροὶ τυγχάνουσιν ὄντες, οἷον ὁ μὲν ἀνελεύθερος . . διὰ τὸν φόβον*. Tum demum apte rem absolvit: *ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστος περὶ ἕκαστον τῶν ὑποκειμένων* ‖ 16 *περὶ χρημάτων* $Z^b Y^b$ pr. B ‖ 19 *ἐγκαταλιμπάνουσι γὰρ διὰ* A^c, sed *γὰρ* ead. man. delevit ‖ Totum membrum ut glossema delet Kayser ‖ 21 *φιλόνεικος* A^cB ‖ *ὁ πικρὸς δὲ* A^c, quod recepi, *ὁ δὲ πικρός* cet. (cf. et variet. ad 1402 a, 24) ‖ 22 *καὶ ἄδικον* ex codd. (A^c et Tr.) Vict., *περὶ δίκαιον καὶ ἀγαθόν* Z^bDEAld. et pr. B ‖ *ὁ — δόξης* om. QZ^bD et pr. Y^b.

Digitized by Google

25 ἀλλὰ περὶ μὲν τούτων δῆλον, τὰ μὲν ἐκ τῶν περὶ τὰς ἀρετὰς εἰρημένων, τὰ δ' ἐκ τῶν περὶ τὰ πάθη ῥηθησομένων· λοιπὸν δ' εἰπεῖν τίνος ἕνεκα καὶ πῶς ἔχοντες ἀδικοῦσι καὶ τίνας· πρῶτον μὲν οὖν διελώμεθα τίνων ὀρεγόμενοι καὶ ποῖα φεύγοντες ἐγχειροῦσιν ἀδικεῖν· δῆλον γὰρ ὡς τῷ μὲν κατηγο-
30 ροῦντι πόσα καὶ ποῖα τούτων ὑπάρχει τῷ ἀντιδίκῳ σκεπτέον, ὧν ἐφιέμενοι πάντες τοὺς πλησίον ἀδικοῦσι, τῷ δὲ ἀπολογουμένῳ ποῖα καὶ πόσα τούτων οὐχ ὑπάρχει. πάντες δὴ πάντα πράττουσι τὰ μὲν οὐ δι' αὐτοὺς τὰ δὲ δι' αὐτούς. τῶν μὲν οὖν μὴ δι' αὐτοὺς τὰ μὲν διὰ τύχην πράττουσι τὰ δ'
35 ἐξ ἀνάγκης, τῶν δ' ἐξ ἀνάγκης τὰ μὲν βίᾳ τὰ δὲ φύσει, ὥστε πάντα ὅσα μὴ δι' αὐτοὺς πράττουσι, τὰ μὲν ἀπὸ τύχης τὰ δὲ φύσει τὰ δὲ βίᾳ. ὅσα δὲ δι' αὐτούς, καὶ ὧν
1369 a αὐτοὶ αἴτιοι, τὰ μὲν δι' ἔθος τὰ δὲ δι' ὄρεξιν τὰ μὲν διὰ λογιστικὴν ὄρεξιν τὰ δὲ δι' ἄλογον· ἔστιν δ' ἡ μὲν βούλησις ἀγαθοῦ ὄρεξις· οὐδεὶς γὰρ βούλεται ἀλλ' ἢ ὅταν οἰηθῇ εἶναι ἀγαθόν, ἄλογοι δ' ὀρέξεις ὀργὴ καὶ ἐπιθυμία,

27 ἔχοντες ἀδικοῦσι A^c Vict., ἔχουσι Y^b Z^b B D E ‖ ἀδικοῦντες D E ‖ 29 ἐγχειροῦσιν A^c Tr. Bekker, ἐγχειροῦμεν Θ (pr. Y^b) Π ‖ 31 ὧν ἐφιέμενοι — ἀδικοῦσι delet Vahlen, secl. Bekker[3] ‖ An legit σκεπτέον post κατηγοροῦντι Tr.? ‖ τὸν πλησίον Tr. ‖ 32 οὐχ om. Θ B D Ald., μὴ E ‖ δὲ Θ Π ‖ πάντες δὴ πάντα πράττουσι ex A^c cum Gaisfordio recepi, πάντες πράττουσι πάντα Θ Π Ald. ‖ 34 τὰ δ' ἐξ ἀνάγκης et in textu et in margine legitur Z^b ‖ 35 τῶν δ' ἐξ ἀνάγκης om. Q ‖ 37 καὶ om. Θ B D Ald. ‖ 1369a, 1 τὰ δὲ δι' ὄρεξιν καὶ τὰ μὲν et Θ et Π praeter C, ubi legitur: τὰ δὲ δι' ὄρεξιν, τῶν δὲ δι' ὄρεξιν τὰ μὲν διὰ λογιστικήν; etiam in Y^b rec. man. addidit in marg. τῶν δὲ δι' ὄρεξιν, καὶ non deleto. Idem praebent Vict. libri p. a. v. ‖ 2 ἄλογον ex A^c Gaisford, ἀλόγιστον Θ Π ‖ Post ἄλογον in ipso versu maiusculis litteris exaratum ead. man.: ὅρος βουλήσεως A^c ‖ ἔστι δ' ἡ μὲν βούλησις ἀγαθοῦ ὄρεξις A^c Bekker (cf. περὶ ζῴων κινήσεως 700b, 22) ‖ ἔστι δ' ἡ βούλησις μετὰ λόγου ὄρεξις ἀγαθοῦ Θ Π Tr. (sed ἀγαθοῦ om. Tr.) ‖ ἔστι ἡ μὲν βούλησις, ⟨ἡ δὲ βούλησις⟩ ἀγαθοῦ ὄρεξις ex coni. Spengelii Bekker[3] ‖ 4 οἰηθείη Θ B D E.

Digitized by Google

ὥστε πάντα ὅσα πράττουσιν ἀνάγκη πράττειν δι' αἰτίας 5
ἑπτά, διὰ τύχην, διὰ φύσιν, διὰ βίαν, δι' ἔθος, διὰ λο-
γισμόν, διὰ θυμόν, δι' ἐπιθυμίαν. τὸ δὲ προσδιαιρεῖσθαι
καθ' ἡλικίαν ἢ ἕξεις ἢ ἄλλ' ἄττα τὰ πραττόμενα περίερ-
γον· εἰ γὰρ συμβέβηκεν τοῖς νέοις ὀργίλοις εἶναι ἢ ἐπιθυ-
μητικοῖς, οὐ διὰ τὴν νεότητα πράττουσι τὰ τοιαῦτα ἀλλὰ 10
δι' ὀργὴν καὶ ἐπιθυμίαν. οὐδὲ διὰ πλοῦτον καὶ πενίαν, ἀλλὰ
συμβέβηκε τοῖς μὲν πένησι διὰ τὴν ἔνδειαν ἐπιθυμεῖν χρη-
μάτων, τοῖς δὲ πλουσίοις διὰ τὴν ἐξουσίαν ἐπιθυμεῖν τῶν
μὴ ἀναγκαίων ἡδονῶν· ἀλλὰ πράξουσι καὶ οὗτοι οὐ διὰ
πλοῦτον καὶ πενίαν ἀλλὰ διὰ τὴν ἐπιθυμίαν. ὁμοίως δὲ 15
καὶ οἱ δίκαιοι καὶ οἱ ἄδικοι, καὶ οἱ· ἄλλοι οἱ λεγόμενοι
κατὰ τὰς ἕξεις πράττειν, διὰ ταῦτα πράξουσιν· ἢ γὰρ διὰ
λογισμὸν ἢ διὰ πάθος· ἀλλ' οἱ μὲν διὰ ἤθη καὶ πάθη
χρηστά, οἱ δὲ διὰ τἀναντία. συμβαίνει μέντοι ταῖς μὲν
τοιαύταις ἕξεσι τὰ τοιαῦτα ἀκολουθεῖν, ταῖς δὲ τοιαῖσδε 20
τὰ τοιάδε· εὐθὺς γὰρ ἴσως τῷ μὲν σώφρονι διὰ τὸ σώ-
φρονα εἶναι δόξαι τε καὶ ἐπιθυμίαι χρηστὰ ἐπακολουθοῦσι
περὶ τῶν ἡδέων, τῷ δ' ἀκολάστῳ αἱ ἐναντίαι περὶ τῶν
αὐτῶν τούτων. διὸ τὰς μὲν τοιαύτας διαιρέσεις ἐατέον, σκε-
πτέον δὲ ποῖα ποίοις εἴωθεν ἕπεσθαι· εἰ μὲν γὰρ λευκὸς 25
ἢ μέλας ἢ μέγας ἢ μικρός, οὐδὲν τέτακται τῶν τοιούτων
ἀκολουθεῖν, εἰ δὲ νέος ἢ πρεσβύτης ἢ δίκαιος ἢ ἄδικος, ἤδη
διαφέρει. καὶ ὅλως ὅσα τῶν συμβαινόντων ποιεῖ διαφέρειν

5 *ἀνάγκη* ante *πάντα* omisso *πράττειν* ΘDEAld., sed in Y^b addidit man. rec. ‖ *ἀνάγκη πράττειν πάντα, ὅσα πράττουσιν* BC ‖ 6 *διὰ βίαν, διὰ φύσιν ΘΠ* ‖ 8 *ἡλικίαν* ex A^c recepi, *ἡλικίας* cet. cf. 1386 a, 25 ‖ 9 *περίεργον ἂν εἴη* Tr. ‖ 11 *οὐδὲ*] *οἱ πλούσιοι καὶ πένητες* addunt QE in textu, D supra lineam, et sic edd. vett., expunxit Vict. ‖ 14 *πράξουσι* A^c Vict., *πράττουσι Θ* (pr. Y^b) BDE ‖ 17 *ταῦτα πάντα ΘΠ* ‖ 19 *καὶ χρηστά ΘDE* Ald. ‖ 20 *τοιαισδί* pro *τοιαύταις ΘΠ* et pro *τοιαῖσδε τοιαισδί ΘΠ* ‖ 21 *τοιάδ' οὔ* Q ‖ *τὰ τοιαῦτα* C ‖ *διὰ τὸ σώφρονα εἶναι* A^c Bekker, *διὰ τὸ σῶφρον* omisso *εἶναι ΘΠ* Tr. ‖ 23 *ἡδέων* A^c, *ἡδονῶν ΘΠ* ‖ *περὶ τὰ ἡδέα* et mox *περὶ τὰ αὐτὰ* Tr. ‖ 27 *ἀκολουθεῖν* A^c Vict., *ἀκόλουθον ΘΠ* (pr. Y^b) Tr

Digitized by Google

τὰ ἤθη τῶν ἀνθρώπων, οἷον πλουτεῖν δοκῶν ἑαυτῷ ἢ πένε-
30 σθαι διοίσει τι, καὶ εὐτυχεῖν ἢ ἀτυχεῖν. ταῦτα μὲν οὖν ὕστερον ἐροῦμεν, νῦν δὲ περὶ τῶν λοιπῶν εἴπωμεν πρῶτον.

ἔστι δ' ἀπὸ τύχης μὲν τὰ τοιαῦτα γιγνόμενα, ὅσων ἥ τε αἰτία ἀόριστος καὶ μὴ ἕνεκά του γίγνεται καὶ μήτε ἀεὶ μήτε ὡς ἐπὶ τὸ πολὺ μήτε τεταγμένως· δῆλον δ' ἐκ τοῦ
35 ὁρισμοῦ τῆς τύχης περὶ τούτων. φύσει δὲ ὅσων ἥ τ' αἰτία
1369 b ἐν αὐτοῖς καὶ τεταγμένη· ἢ γὰρ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ ὡσαύτως ἀποβαίνει. τὰ γὰρ παρὰ φύσιν οὐδὲν δεῖ ἀκριβολογεῖσθαι, πότερα κατὰ φύσιν τινὰ ἢ ἄλλην αἰτίαν γίγνεται· δόξειε δ' ἂν καὶ ἡ τύχη αἰτία εἶναι τῶν τοιού-
5 των. βίᾳ δὲ ὅσα παρ' ἐπιθυμίαν ἢ τοὺς λογισμοὺς γίγνεται δι' αὐτῶν τῶν πραττόντων. ἔθει δὲ ὅ, τι διὰ τὸ πολλάκις πεποιηκέναι ποιοῦσιν. διὰ λογισμὸν δὲ τὰ δοκοῦντα συμφέρειν ἐκ τῶν εἰρημένων ἀγαθῶν ἢ ὡς τέλος ἢ ὡς πρὸς τὸ τέλος, ὅταν διὰ τὸ συμφέρειν πράττηται· ἔνια
10 γὰρ καὶ οἱ ἀκόλαστοι συμφέροντα πράττουσιν, ἀλλ' οὐ διὰ τὸ συμφέρειν ἀλλὰ δι' ἡδονήν. διὰ θυμὸν δὲ καὶ ὀργὴν τὰ τιμωρητικά. διαφέρει δὲ τιμωρία καὶ κόλασις· ἡ μὲν γὰρ κόλασις τοῦ πάσχοντος ἕνεκά ἐστιν, ἡ δὲ τιμωρία τοῦ ποιοῦντος, ἵνα ἀποπληρωθῇ. τί μὲν οὖν ἐστὶν ἡ ὀργή, δῆλον
15 ἔσται ἐν τοῖς περὶ τῶν παθῶν, δι' ἐπιθυμίαν δὲ πράττεται ὅσα

29 *δοκῶν ἑαυτῷ* A^c Gaisford ‖ *δοκεῖ τῷ ἢ* Q ‖ *δοκείτω ἢ* pr. Y^b Z^b D E Ald.; in Y^b alt. man. supra lineam: *δοκῶν ἑαυτῷ* ‖ *οἷον ἐν τῷ δοκεῖν πλουτεῖν ἢ . . . διοίσει τις* C ‖ 30 *ἀτυχεῖν ἢ εὐτυχεῖν ΘΠ*Tr. ‖ *οὖν* alt. man. addidit Y^b ‖ 33 *τούτου* pro *του* QTr. ‖ 1369 b, 1 prius *ἢ* ead. man. supra lineam A^c ‖ 3 *πότερον ΘΠ* ‖ *κατὰ φύσιν ἤ τινα ἄλλην αἰτίαν* coni. Vahlen et sic vertit Muretus; similiter C apud Gaisford ‖ 5 *παρὰ τὴν* C ‖ *περὶ* Z^b D Ald. et pr. Y^b ‖ 6 *δι'* delet Vahlen ‖ *ὅ, τι* ex A^c recepi, *ὅσα* cet ‖ 9 *πρὸς τέλος* ΘBD ‖ 9 et 11 *συμφέρον ΘΠ*Tr. cf. variet. 1369 a, 27 ‖ *ἢ ὡς τέλος ἢ* inepta putat Kayser ‖ 11 *τὸ τούτοις συμφέρον* B C, et Y^b alt. man. addidit *τούτοις* ‖ 14 *ἀποκληρωθῇ* A^c, *πληρωθῇ ΘΠ* ‖ Sic Bekker ex A^c, *περὶ μὲν οὖν τίνα ἐστὶν ἡ ὀργὴ ΘΠ*Tr. ‖ 15 *ἐκ τῶν* pro *ἐν τοῖς* Tr. ‖ *περὶ τῶν παθῶν* libri omnes.

Digitized by Google

φαίνεται ἡδέα. ἔστιν δὲ καὶ τὸ σύνηθες καὶ τὸ ἐθιστὸν ἐν τοῖς ἡδέσιν· πολλὰ γὰρ καὶ τῶν φύσει μὴ ἡδέων, ὅταν συνεθισθῶσιν, ἡδέως ποιοῦσιν. ὥστε συλλαβόντι εἰπεῖν, ὅσα δι' αὐτοὺς πράττουσιν, ἅπαντ' ἐστὶν ἢ ἀγαθὰ ἢ φαινόμενα ἀγαθὰ ἢ ἡδέα ἢ φαινόμενα ἡδέα. ἐπεὶ δ' ὅσα δι' αὐτούς, 20 ἑκόντες πράττουσιν, οὐχ ἑκόντες δὲ ὅσα μὴ δι' αὐτούς, πάντ' ἂν εἴη, ὅσα ἑκόντες πράττουσιν, ἢ ἀγαθὰ ἢ φαινόμενα ἀγαθὰ ἢ ἡδέα ἢ φαινόμενα ἡδέα· τίθημι γὰρ καὶ τὴν τῶν κακῶν ἢ φαινομένων κακῶν ἢ ἀπαλλαγὴν ἢ ἀντὶ μείζονος ἐλάττονος μετάληψιν ἐν τοῖς ἀγαθοῖς, αἱρετὰ 25 γάρ πως, καὶ τὴν τῶν λυπηρῶν ἢ φαινομένων ἢ ἀπαλλαγὴν ἢ μετάληψιν ἀντὶ μειζόνων ἐλαττόνων ἐν τοῖς ἡδέσιν ὡσαύτως. ληπτέον ἄρα τὰ συμφέροντα καὶ ἡδέα, πόσα καὶ ποῖα. περὶ μὲν οὖν τοῦ συμφέροντος ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον, περὶ δὲ τοῦ ἡδέος εἴπωμεν 30 νῦν. δεῖ δὲ νομίζειν ἱκανοὺς εἶναι τοὺς ὅρους, ἐὰν ὦσι περὶ ἑκάστου μήτε ἀσαφεῖς μήτε ἀκριβεῖς.

11 ὑποκείσθω δὴ ἡμῖν εἶναι τὴν ἡδονὴν κίνησίν τινα τῆς ψυχῆς καὶ κατάστασιν ἀθρόαν καὶ αἰσθητὴν εἰς τὴν ὑπάρχουσαν φύσιν, λύπην δὲ τοὐναντίον. εἰ δ' ἐστὶν ἡδονὴ τὸ 35 τοιοῦτον, δῆλον ὅτι καὶ ἡδύ ἐστι τὸ ποιητικὸν τῆς εἰρημένης 1370a διαθέσεως, τὸ δὲ φθαρτικὸν ἢ τῆς ἐναντίας καταστάσεως ποιητικὸν λυπηρόν. ἀνάγκη οὖν ἡδὺ εἶναι τό τε εἰς τὸ κατὰ φύσιν ἰέναι ὡς ἐπὶ τὸ πολύ, καὶ μάλιστα ὅταν ἀπειλη-

18 *συνεθισθῶσιν* BCSpengel, *συνεθίσωσιν* A^c, *ἐθισθῶσιν* Θ (pr. Y^b) DEAld. ‖ 19 *ἢ* ante *ἀγαθά* om. C ‖ 20 *ἐπὶ* A^c ‖ post *δι' αὐτούς*: *πράττουσι, πάντα* C ‖ 21 *οὐκ ἔχοντες* A^c pr. rec., ut videtur, man. emendavit *οὐχ' ἑκόντες* ‖ 22 *ἢ* ante *ἀγαθά* om. Θ (pr. Y^b) BCTr. Ald. ‖ 26 *πώς ἐστι* ΘΠTr. ‖ 26 *ἢ* ante *ἀπαλλαγὴν* om. Θ DETr. Ald. ‖ 28 *ὡσαύτως ἐν τοῖς ἡδέσιν* ΘΠTr. ‖ *τὰ ἡδέα* ΘΠ ‖ 30 *εἴπομεν* A^c ‖ 33 *δὴ* dedit Spengel, *δὲ* A^c et libri omnes ‖ 35 *εἰ δή ἐστιν ἡ ἡδονή* ΘBDETr. (*δὴ* nescio an recte cf. 1378a, 33. 1382a, 27. 1383b, 17. 1394b, 7) ‖ *τὸ* om. Y^b.

Digitized by Google

5 φότα ἢ τὴν ἑαυτῶν φύσιν τὰ κατ' αὐτὴν γιγνόμενα, καὶ τὰ ἔθη· καὶ γὰρ τὸ εἰθισμένον ὥσπερ πεφυκὸς ἤδη γίγνεται· ὅμοιον γάρ τι τὸ ἔθος τῇ φύσει· ἐγγὺς γὰρ καὶ τὸ πολλάκις τῷ ἀεί, ἔστιν δ' ἡ μὲν φύσις τοῦ ἀεί, τὸ δὲ ἔθος τοῦ πολλάκις. καὶ τὸ μὴ βίαιον· παρὰ φύσιν γὰρ ἡ βία,
10 διὸ τὸ ἀναγκαῖον λυπηρὸν καὶ ὀρθῶς εἴρηται

πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ.

τὰς δ' ἐπιμελείας καὶ τὰς σπουδὰς καὶ τὰς συντονίας λυπηράς· ἀναγκαῖα γὰρ καὶ βίαια ταῦτα, ἐὰν μὴ ἐθισθῶσιν· οὕτω δὲ τὸ ἔθος ποιεῖ ἡδύ. τὰ δ' ἐναντία ἡδέα· διὸ αἱ ῥαθυμίαι καὶ αἱ
15 ἀπονίαι καὶ αἱ ἀμέλειαι καὶ αἱ παιδιαὶ καὶ αἱ ἀναπαύσεις καὶ ὁ ὕπνος τῶν ἡδέων· οὐδὲν γὰρ πρὸς ἀνάγκην τούτων. καὶ οὗ ἂν ἡ ἐπιθυμία ἐνῇ, ἅπαν ἡδύ· ἡ γὰρ ἐπιθυμία τοῦ ἡδέος ἐστὶν ὄρεξις. τῶν δὲ ἐπιθυμιῶν αἱ μὲν ἄλογοί εἰσιν αἱ δὲ μετὰ λόγου. λέγω δὲ ἀλόγους ὅσας μὴ ἐκ τοῦ ὑπο-
20 λαμβάνειν ἐπιθυμοῦσιν· εἰσὶν δὲ τοιαῦται ὅσαι εἶναι λέγονται φύσει, ὥσπερ αἱ διὰ τοῦ σώματος ὑπάρχουσαι, οἷον ἡ τροφῆς δίψα καὶ πεῖνα, καὶ καθ' ἕκαστον εἶδος ἐπιθυμίας, καὶ αἱ περὶ τὰ γευστὰ καὶ ἀφροδίσια καὶ ὅλως τὰ ἁπτά, καὶ περὶ ὀσμὴν [εὐωδίας] καὶ ἀκοὴν

5 καὶ] ἢ C et alt. man. Y^b ‖ 7 τι A^c Vict., om. ΘBCETr. ‖ καὶ om. QY^{b}DEAld. ‖ γὰρ καὶ om. Z^b ‖ 8 τοῦ ἀεί ἐστιν. ἔστι ΘDE Ald. ‖ 9 δὲ post βίαιον addunt ΘΠTr. ‖ 10 τὸ ἀναγκαῖον A^c Gaisford Ald., αἱ ἀνάγκαι ΘΠTr. ‖ 15 αἱ ante ἀμέλειαι om. A^c ‖ παιδειαί A^c pr., sed ead. man. emendavit παιδιαί ‖ 16 ὁ om. ΘBCEAld. ‖ 17 ἐν ᾗ A^c pr., sed corr. ead. man. ἐνῇ ‖ tum καὶ ἅπαν A^c (καὶ per compendium scriptum probum videtur) ‖ 19 ἀλόγους μὲν ΘΠTr, μὲν om. A^c Spengel ‖ καθ' ὅσας C ‖ λαμβάνειν A^c pr., sed emendavit rec. man. ὑπολαμβάνειν ‖ 20 τι post ὑπολαμβάνειν add. ΘΠTr., om. A^c Spengel ‖ λέγονται εἶναι ΘΠTr. ‖ 22 καὶ πεῖνη A^c, unde δίψῃ καὶ πείνῃ scripsit Spengel ‖ καὶ καθ' ἕκαστον εἶδος τροφῆς εἶδος ἐπιθυμίας A^c (sic) ‖ καὶ καθ' ἕκαστον εἶδος τροφῆς ἐπιθυμία ΘΠTr., καὶ καθ' ἕκαστον εἶδος ἐπιθυμίας (vel ἐπιθυμία) deleto τροφῆς dedit Spengel, Bekker^3 (at fort. hoc loco τροφῆς aliter accipiendum ac Eth. Nicom. III, 13 et collato loco Polit. 1356 a, 5 sqq. defendi potest) ‖ 23 αἱ ante περὶ τὰ γευστά om. A^c ‖ καὶ περὶ τὰ ἀφροδίσια ΘΠ ‖ 24 εὐωδίας cum Mureto delevit Vahlen.

Digitized by Google

καὶ ὄψιν. μετὰ λόγου δὲ ὅσα ἐκ τοῦ πεισθῆναι ἐπιθυμοῦσιν· 25
πολλὰ γὰρ καὶ θεάσασθαι καὶ κτήσασθαι ἐπιθυμοῦσιν
ἀκούσαντες καὶ πεισθέντες. ἐπεὶ δ' ἐστὶν τὸ ἥδεσθαι ἐν τῷ
αἰσθάνεσθαί τινος πάθους, ἡ δὲ φαντασία ἐστὶν αἴσθησίς τις
ἀσθενής, ἀεὶ ἐν τῷ μεμνημένῳ καὶ τῷ ἐλπίζοντι ἀκολουθοῖ
ἂν φαντασία τις οὗ μέμνηται ἢ ἐλπίζει. εἰ δέ τοῦτο, δῆλον 30
ὅτι καὶ ἡδοναὶ ἅμα μεμνημένοις καὶ ἐλπίζουσιν, ἐπείπερ
καὶ αἴσθησις. ὥστ' ἀνάγκη πάντα τὰ ἡδέα ἢ ἐν τῷ αἰσθά-
νεσθαι εἶναι παρόντα ἢ ἐν τῷ μεμνῆσθαι γεγενημένα ἢ ἐν
τῷ ἐλπίζειν μέλλοντα· αἰσθάνονται μὲν γὰρ τὰ παρόντα,
μέμνηνται δὲ τὰ γενόμενα, ἐλπίζουσι δὲ τὰ μέλλοντα. 35
τὰ μὲν οὖν μνημονευτὰ ἡδέα ἐστὶν οὐ μόνον ὅσα ἐν τῷ παρ- 1370
όντι, ὅτε παρῇν, ἡδέα ἦν, ἀλλ' ἔνια καὶ οὐχ ἡδέα, ἂν ᾖ
ὕστερον καλὸν καὶ ἀγαθὸν τὸ μετὰ τοῦτο· ὅθεν καὶ τοῦτ' εἴρηται,

ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων,

καὶ

μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ 5
μνησάμενος ὅτε πολλὰ πάθῃ καὶ πολλὰ ἐόργῃ.

τούτου δ' αἴτιον ὅτι ἡδὺ καὶ τὸ μὴ ἔχειν κακόν. τὰ δ' ἐν
ἐλπίδι, ὅσα παρόντα ἢ εὐφραίνειν ἢ ὠφελεῖν φαίνεται μεγάλα,
καὶ ἄνευ λύπης ὠφελεῖν. ὅλως δὲ ὅσα παρόντα εὐφραίνει,
καὶ ἐλπίζοντας καὶ μεμνημένους ὡς ἐπὶ τὸ πολύ. διὸ καὶ 10
τὸ ὀργίζεσθαι ἡδύ, ὥσπερ καὶ Ὅμηρος ἐποίησε περὶ τοῦ θυμοῦ

ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο·

25 ὅσας Tr., quod commendat Spengel ‖ 27 τὸ αἰσθάνεσθαι C ‖ 29 ἀεὶ ἐν ex A^c Spengel, κἂν ΘΠ Tr., ἐν om. Tr. ‖ ἀκολουθοίη φαντασία ΘBCD ‖ 30 δὴ Q ‖ 31 ἅμα A^c Bekker, μάλα ΘΠ, μᾶλλον Tr. ‖ 35 τὰ γεγενημένα ΘΠ praeter C, qui totum membrum αἰσθάνονται μὲν . . . τὰ μέλλοντα om. ‖ 1370b, 4 τοι] τι ΘΠ ‖ 5 ἄλγεσιν A^c ‖ 6 μνησάμενος ὅτε ex A^c Spengel (sed requiritur indicativus cf. O 18 Ψ 396 ω 115), μνήμενος ὅστις ΘΠ Tr. ‖ πάθοι QDE ‖ ἐόργῃ Y^b pr. rec. man. corr. ἐόργει ‖ ἔοργε Q Z^b et tres Victorii libri ‖ ἐόργοι DE Ald. ‖ 7 τὸ κακόν ΘΠ ‖ 9 καὶ] ἢ Θ Tr. Π praeter C ‖ ὠφελεῖ Tr. ‖ 11 καὶ om. ΘBCE.

Digitized by Google

οὐθεὶς γὰρ ὀργίζεται τῷ ἀδυνάτῳ φαινομένῳ τιμωρίας τυχεῖν, οὐδὲ τοῖς πολὺ ὑπὲρ αὐτοὺς τῇ δυνάμει, ⟨ἀλλ'⟩ ἢ οὐκ ὀργίζον-
15 *ται ἢ ἧττον. καὶ ἐν ταῖς πλείσταις ἐπιθυμίαις ἀκολουθεῖ τις ἡδονή· ἢ γὰρ μεμνημένοι ὡς ἔτυχον ἢ ἐλπίζοντες ὡς τεύξονται χαίρουσίν τινα ἡδονήν, οἷον οἵ τ' ἐν τοῖς πυρετοῖς ἐχόμενοι ταῖς δίψαις καὶ μεμνημένοι ὡς ἔπιον καὶ ἐλπίζοντες πιεῖσθαι χαίρουσιν, καὶ οἱ ἐρῶντες καὶ διαλεγόμενοι καὶ γράφοντες*
20 *καὶ ποιοῦντές τι ἀεὶ περὶ τοῦ ἐρωμένου χαίρουσιν· ἐν ἅπασι γὰρ τοῖς τοιούτοις μεμνημένοι οἷον αἰσθάνεσθαι οἴονται τοῦ ἐρωμένου. καὶ ἀρχὴ δὲ τοῦ ἔρωτος αὕτη γίγνεται πᾶσιν, ὅταν μὴ μόνον παρόντος χαίρωσιν ἀλλὰ καὶ ἀπόντος μεμνημένοις [ἐρῶσιν] λύπη προσγένηται τῷ μὴ παρ-*
25 *εῖναι, καὶ ἐν πένθεσι καὶ θρήνοις ὡσαύτως ἐπιγίγνεταί τις ἡδονή· ἡ μὲν γὰρ λύπη ἐπὶ τῷ μὴ ὑπάρχειν, ἡδονὴ δ' ἐν τῷ μεμνῆσθαι καὶ ὁρᾶν πως ἐκεῖνον καὶ ἃ ἔπραττεν καὶ οἷος ἦν, διὸ καὶ τοῦτ' εἰκότως εἴρηται*

ὣς φάτο, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.

30 *καὶ τὸ τιμωρεῖσθαι ἡδύ. οὗ γὰρ τὸ μὴ τυγχάνειν λυπηρόν, τὸ τυγχάνειν ἡδύ· οἱ δ' ὀργιζόμενοι λυποῦνται ἀνυπερβλήτως μὴ*

14 *ἀλλ'* inseruit Bekker[3], om. libri ‖ 19 *χαίρουσιν γὰρ καὶ ἐρῶντες* A^c cf. et varietat. ex A^c 1368b, 19 ‖ *καὶ* ante *διαλεγόμενοι* om. Y^b Z^b *Π* Ald. secl. Gaisford ‖ 20 *ἀεί τι Θ Π*, *αἰεὶ* A^c, ut fere semper, de qua forma cf. Breitenbach. ad Xen. anab. II, 3, 13 ‖ 22 *καὶ ἀρχὴ ἔρωτος γίνεται αὕτη Θ Π* ‖ 23 *χαίρουσιν* A^c ‖ 24 Sic locum scripsi ex coni. Spengelii, qui cum Fr. A. Wolfio *ἐρῶσιν* delevit, vestigia primae manus secutus in A^c, ubi *ἐρῶσιν* duobus punctis notatum sic ·*ἐρῶσιν*· (cf. praefat. XIII), tum breve spatium *δ* ... *ὅτ ἂν* (punctis notata evanuerunt) *καὶ λύπη προσγένηται*, nunc ex corr. *διὸ καὶ λύπη προσγίνεται τῷ μὴ παρεῖναι* ‖ *μεμνημένοι ἐρῶσιν· διὸ καὶ ὅταν λυπηρὸς γένηται τῷ μὴ παρεῖναι Θ Π* Tr. ‖ (*δι δ ἂν* legisse videtur Tr.) ‖ 25 *ἐν τοῖς πένθεσι Θ Π* ‖ *ὡσαύτως ἐπιγίγνεται* ex A^c Spengel, *ἐγγίγνεται* omisso *ὡσαύτως Θ Π* Tr. ‖ 26 *ἐκ τοῦ μεμνῆσθαι* Tr. ‖ 27 *καὶ οἷα* Tr. ‖ 28 *εἰκότως* ex A^c Gaisford, om. *Θ Π* Tr. ‖ 29 *ἐφ'* Q Z^b D E' Ald. ‖ 31 *οἱ ὀργιζόμενοι γάρ* Tr.

Digitized by Google

τιμωρούμενοι, ἐλπίζοντες δὲ χαίρουσιν. καὶ τὸ νικᾶν ἡδύ, οὐ μόνον τοῖς φιλονίκοις ἀλλὰ πᾶσιν· φαντασία γὰρ ὑπεροχῆς γίγνεται, οὗ πάντες ἔχουσιν ἐπιθυμίαν ἢ ἠρέμα ἢ μᾶλλον. ἐπεὶ δὲ τὸ νικᾶν ἡδύ, ἀνάγκη καὶ τὰς παιδιὰς ἡδείας εἶναι 35
τὰς μαχητικὰς καὶ τὰς ἐριστικάς· πολλάκις γὰρ ἐν ταύ- 1371a
ταις γίγνεται τὸ νικᾶν, καὶ ἀστραγαλίσεις καὶ σφαιρίσεις καὶ κυβείας καὶ πεττείας. καὶ περὶ τὰς ἐσπουδασμένας δὲ παιδιὰς ὁμοίως· αἱ μὲν γὰρ ἡδεῖαι γίγνονται, ἄν τις ᾖ συνήθης, αἱ δ' εὐθὺς ἡδεῖαι, οἷον κυνηγία καὶ πᾶσα θη- 5
ρευτική· ὅπου γὰρ ἅμιλλα, ἐνταῦθα καὶ νίκη ἐστίν. διὸ καὶ ἡ δικανικὴ καὶ [ἡ] ἐριστικὴ ἡδεῖα τοῖς εἰθισμένοις καὶ δυναμένοις. καὶ τιμὴ καὶ εὐδοξία τῶν ἡδίστων διὰ τὸ γίγνεσθαι φαντασίαν ἑκάστῳ ὅτι τοιοῦτος οἷος ὁ σπουδαῖος, καὶ μᾶλλον ὅταν φῶσιν οὓς οἴεται ἀληθεύειν. τοιοῦτοι δ' 10
οἱ ἐγγὺς μᾶλλον τῶν πόρρω, καὶ οἱ συνήθεις καὶ οἱ πολῖται τῶν ἄπωθεν, καὶ οἱ ὄντες τῶν μελλόντων, καὶ οἱ φρόνιμοι ἀφρόνων, καὶ πολλοὶ ὀλίγων· μᾶλλον γὰρ εἰκὸς ἀληθεύειν τοὺς εἰρημένους τῶν ἐναντίων· ἐπεὶ ὧν τις πολὺ καταφρονεῖ, ὥσπερ παιδίων ἢ θηρίων, οὐδὲν μέλει τῆς τού- 15
των τιμῆς ἢ τῆς δόξης αὐτῆς γε τῆς δόξης χάριν, ἀλλ' εἴπερ, δι' ἄλλο τι. καὶ ὁ φίλος τῶν ἡδέων· τό τε γὰρ φιλεῖν ἡδύ· οὐδεὶς γὰρ φίλοινος μὴ χαίρων οἴνῳ, καὶ τὸ φιλεῖσθαι ἡδύ· φαντασία γὰρ καὶ ἐνταῦθα τοῦ ὑπάρχειν

33 φιλονείκοις A^c pr., sed. ead. man. corr. φιλονίκοις ‖ καὶ πᾶσι ΘΠ ‖ 1371a, 1 Post μαχητικὰς inserunt καὶ (τὰς BC) αὐλητικὰς ΘΠTr., unde αὐλητικὰς καὶ κιθαριστικὰς καὶ ἀστραγαλίσεις ceteris deletis aut transpositis Toupius, ἀθλητικὰς coni. Tyrwhite ‖ Pro ἐριστικάς ἐρωτικάς B, ἐργαστικάς C ‖ αὐλητικὰς pr. delevit Bekker ‖ ἐν αὐταῖς ΘΠ ‖ 7 ἡ ἐριστικὴ ΘΠ ‖ ἡδεῖα A^c ‖ 9 οἷος ὁ ex A^c Gaisford, τοιοῦτος καὶ σπουδαῖος ΘΠTr. ‖ 10 „insinuent" Tr. (quid lateat, nescio; sed vix legit φῶσιν, quod valde displicet; an δηλῶσιν?) ‖ 11 Post συνήθεις inserunt καὶ γνώριμοι ΘΠTr., quod pr. delevit Bekker ex A^c ‖ An οἱ συνήθεις τῶν ἀσυνήθων? ‖ 12 τῶν ἄποθεν ΘDEAld. ‖ 14 πολὺ om. C ‖ 16 ἢ] καὶ A^c ‖ 18 μὴ] ὁ μὴ ΘΠ.

Digitized by Google

20 αὐτῷ ἀγαθὸν εἶναι, οὗ πάντες ἐπιθυμοῦσιν οἱ αἰσθανόμενοι· τὸ δὲ φιλεῖσθαι ἀγαπᾶσθαί ἐστιν αὐτὸν δι' αὑτόν. καὶ τὸ θαυμάζεσθαι ἡδὺ δι' αὐτὸ τὸ τιμᾶσθαι. καὶ τὸ κολακεύεσθαι καὶ ὁ κόλαξ ἡδύς· φαινόμενος γὰρ θαυμαστὴς καὶ φαινόμενος φίλος ὁ κόλαξ ἐστίν. καὶ τὸ ταὐτὰ πράττειν 25 πολλάκις ἡδύ· τὸ γὰρ σύνηθες ἡδὺ ἦν. καὶ τὸ μεταβάλλειν ἡδύ· εἰς φύσιν γὰρ γίγνεται μεταβάλλειν· τὸ γὰρ αὐτὸ ἀεὶ ὑπερβολὴν ποιεῖ τῆς καθεστώσης ἕξεως, ὅθεν εἴρηται

μεταβολὴ πάντων γλυκύ.

διὰ τοῦτο καὶ τὰ διὰ χρόνου ἡδέα ἐστίν, καὶ ἄνθρωποι καὶ πράγ- 30 ματα· μεταβολὴ γὰρ ἐκ τοῦ παρόντος ἐστίν, ἅμα δὲ καὶ σπάνιον τὸ διὰ χρόνου. καὶ τὸ μανθάνειν καὶ τὸ θαυμάζειν ἡδὺ ὡς ἐπὶ τὸ πολύ· ἐν μὲν γὰρ τῷ θαυμάζειν τὸ ἐπιθυμεῖν [μαθεῖν] ἐστιν, ὥστε τὸ θαυμαστὸν ἐπιθυμητόν, ἐν δὲ τῷ μανθάνειν τὸ εἰς τὸ κατὰ φύσιν καθίστασθαι. καὶ τὸ εὖ ποιεῖν καὶ τὸ 35 εὖ πάσχειν τῶν ἡδέων· τὸ μὲν γὰρ εὖ πάσχειν τυγχά-
1371 b νειν ὧν ἐπιθυμοῦσι, τὸ δὲ εὖ ποιεῖν ἔχειν καὶ ὑπερέχειν, ὧν ἀμφοτέρων ἐφίενται. διὰ δὲ τὸ ἡδὺ εἶναι τὸ εὐποιητικόν, καὶ τὸ ἐπανορθοῦν ἡδὺ τοῖς ἀνθρώποις ἐστὶν τοὺς πλησίον, καὶ τὸ τὰ ἐλλιπῆ ἐπιτελεῖν. ἐπεὶ δὲ τὸ μανθά- 5 νειν τε ἡδὺ καὶ τὸ θαυμάζειν, καὶ τὰ τοιάδε ἀνάγκη ἡδέα εἶναι οἷον τό τε μιμητικόν, ὥσπερ γραφικὴ καὶ ἀνδριαντοποιία καὶ ποιητική, καὶ πᾶν ὃ ἂν εὖ μεμιμημέ-

20 αὐτῷ τὸ Y^{b}Z^{b} *Π* Ald. ‖ 22 τὸ ante τιμᾶσθαι corr. A^{c} ‖ διὰ τὸ τιμᾶσθαι vel διὰ τὸ δι' αὐτὸ τιμᾶσθαι coni. Spengel ‖ 23 ἡδύς ex A^{c} recepi, ἡδύ cet. ‖ 25 δὲ post μεταβάλλειν addendum censet Spengel (cf. et variet. ad 1370 a, 9) ‖ 29 καὶ] γὰρ καὶ Q Y^{b} *Π* Ald. ‖ 31 διὰ τοῦ χρόνου *Θ* B D E Ald. ‖ 32 μαθεῖν omissum in E et apud Aldum monente Spengelio cum Gaisfordio seclusi ‖ 33 τω^{N} μανθάνειν A^{c} (sic) ‖ 34 τὸ εἰς τὸ Bonitz, prius τὸ om. libri ‖ 1371 b, 1 ἐστὶν ὧν *Θ Π* ‖ καὶ τὸ δοκεῖν ὑπερέχειν schol. cf. 1365 b, 15 ‖ 2 δὲ post διὰ om. Q, evanuit A^{c}, ut erasum videatur ‖ 3 καὶ om. *Θ Π* ‖ 5 τὰ τοιαῦτα *Θ Π* ‖ 6 οἷον om. *Θ Π* ‖ μιμητικὸν ex Tr. dedit Dittmeyer, μεμιμημένον libri omnes, μιμούμενον Twining et Tyrwhite ‖ 7 εὖ ex codd. (A^{c}) Vict., ὃ ἂν ἡ μεμιμημένον *Π* Tr. *Θ*

Digitized by Google

νον ἢ, κἂν ἢ μὴ ἡδὺ αὐτὸ τὸ μεμιμημένον· οὐ γὰρ ἐπὶ τούτῳ χαίρει, ἀλλὰ συλλογισμός ἐστιν ὅτι τοῦτο ἐκεῖνο, ὥστε μανθάνειν τι συμβαίνει. καὶ αἱ περιπέτειαι καὶ τὸ παρὰ 10 *μικρὸν σώζεσθαι ἐκ τῶν κινδύνων· πάντα γὰρ θαυμαστὰ ταῦτα. καὶ ἐπεὶ τὸ κατὰ φύσιν ἡδύ, τὰ συγγενῆ δὲ κατὰ φύσιν ἀλλήλοις ἐστίν, πάντα τὰ συγγενῆ καὶ ὅμοια ἡδέα ὡς ἐπὶ τὸ πολύ, οἷον ἄνθρωπος ἀνθρώπῳ ἵππος ἵππῳ καὶ νέος νέῳ, ὅθεν καὶ αἱ παροιμίαι εἴρηνται, ὡς ἧλιξ* 15 *ἥλικα τέρπει, καὶ ὡς αἰεὶ τὸν ὁμοῖον, καὶ ἔγνω δὲ θὴρ θῆρα, καὶ γὰρ κολοιὸς παρὰ κολοιόν, καὶ ὅσα ἄλλα τοιαῦτα. ἐπεὶ δὲ τὸ ὅμοιον καὶ τὸ συγγενὲς ἡδὺ ἑαυτῷ ἅπαν, μάλιστα δὲ αὐτὸς πρὸς ἑαυτὸν ἕκαστος τοῦτο πέπονθεν, ἀνάγκη πάντας φιλαύτους εἶναι ἢ μᾶλλον ἢ ἧττον· πάντα γὰρ* 20 *τὰ τοιαῦτα ὑπάρχει πρὸς αὐτὸν μάλιστα. ἐπεὶ δὲ φίλαυτοι πάντες, καὶ τὰ αὐτῶν ἀνάγκη ἡδέα εἶναι πᾶσιν, οἷον ἔργα καὶ λόγους. διὸ καὶ φιλοκόλακες ὡς ἐπὶ τὸ πολὺ [καὶ φιλερασταὶ] καὶ φιλότιμοι καὶ φιλότεκνοι· αὐτῶν γὰρ ἔργον τὰ τέκνα. καὶ τὰ ἐλλιπῆ ἐπιτελεῖν ἡδύ· αὐτῶν γὰρ* 25 *ἔργον ἤδη γίγνεται. καὶ ἐπεὶ τὸ ἄρχειν ἥδιστον, καὶ τὸ σοφὸν δοκεῖν εἶναι ἡδύ· ἀρχικὸν γὰρ τὸ φρονεῖν, ἔστιν δ' ἡ σοφία πολλῶν καὶ θαυμαστῶν ἐπιστήμη. ἔτι ἐπεὶ φιλότιμοι ὡς ἐπὶ τὸ πολύ, ἀνάγκη καὶ τὸ ἐπιτιμᾶν τοῖς πέλας ἡδὺ εἶναι καὶ τὸ ἄρχειν. καὶ τὸ ἐν ᾧ δοκεῖ βέλτιστος αὐτὸς* 30

praeter Z^b, qui 6 *ὥσπερ* — 7 *μεμιμημένον* om. ‖ 8 *κἂν ἢ* corr. A^c ‖ *ἢ μὴ ἡδὺ αὐτὸ τὸ μεμιμημένον* ex A^c Bekker, *καὶ ἐὰν μὴ ἢ ἡδὺ οὐ τὸ μίμημα* $\Theta\Pi$Tr. ‖ 13 *ἅπαντα* $\Theta\Pi$ ‖ 14 *καὶ ἵππος* $\Theta\Pi$ ‖ 16 *τὸ ὅμοιον* Y^bZ^bBCD ‖ *ἐγνώκει* $\Theta\Pi$ ‖ 17 *καὶ γὰρ* ex A^c Spengel, *καὶ ἀεὶ* $\Theta\Pi$ ‖ 18 *τὸ* ante *συγγενές* om. $\Theta\Pi$ ‖ 20 *παντὶ* coni. Spengel ‖ 22 *πᾶσιν*] *πάντα* A^c ex corr.; fuit *πᾶσι* ‖ 23 *καὶ* ante *λόγους* et *φιλοκόλακες* om. $\Theta\Pi$ ‖ 24 *καὶ φιλερασταὶ* omissum in A^c seclusi ‖ 25 *ἔργον* ex A^c, ubi nullum corr. vestigium, Spengel, *ἔργα* $\Theta\Pi$, *ον* superscr. Y^b ‖ *καὶ τὸ τὰ* $Z^bY^b\Pi$ ut supra 4 (fors. recte) ‖ 27 *δοκεῖν* A^c ex corr.; fuit pr. *δίκαιον*, quam scripturam tuetur Vahlen Poet. p. 182 ‖ 30 *εἶναι καὶ τὸ ἄρχειν* A^c. Sic *καὶ τὸ ἄρχειν* duobus punctis notatum ut delendum, qua de re conferenda est praefatio p. XIII, sed vertit et Tr.

Digitized by Google

αὐτοῦ εἶναι, ἐνταῦθα διατρίβειν, ὥσπερ καὶ ὁ ποιητής φησι

κἀπὶ τοῦτ' ἐπείγεται,
νέμων ἑκάστης ἡμέρας πλεῖστον μέρος,
ἵν' αὐτὸς αὑτοῦ τυγχάνει βέλτιστος ὤν.

ὁμοίως δὲ καὶ ἐπεὶ ἡ παιδιὰ τῶν ἡδέων καὶ πᾶσα ἄνεσις, καὶ
35 ὁ γέλως τῶν ἡδέων, ἀνάγκη καὶ τὰ γελοῖα ἡδέα εἶναι, καὶ
1372 a ἀνθρώπους καὶ λόγους καὶ ἔργα· διώρισται δὲ περὶ γελοίων
χωρὶς ἐν τοῖς περὶ ποιητικῆς. περὶ μὲν οὖν ἡδέων εἰρήσθω
ταῦτα, τὰ δὲ λυπηρὰ ἐκ τῶν ἐναντίων τούτοις φανερά.

12 ὧν μὲν οὖν ἕνεκα ἀδικοῦσιν, ταῦτ' ἐστίν· πῶς δὲ ἔγον-
5 τες καὶ τίνας, λέγωμεν νῦν. αὐτοὶ μὲν οὖν ὅταν οἴωνται
δυνατὸν εἶναι τὸ πρᾶγμα πραχθῆναι καὶ αὐτοῖς δυνατόν,
εἴτε ἂν λαθεῖν πράξαντες, ἢ μὴ λαθόντες μὴ δοῦναι δίκην,
ἢ δοῦναι μὲν ἀλλ' ἐλάττω τὴν ζημίαν εἶναι τοῦ κέρδους
αὐτοῖς ἢ ὧν κήδονται. ποῖα μὲν οὖν δυνατὰ φαίνεται καὶ
10 ποῖα ἀδύνατα, ἐν τοῖς ὕστερον ῥηθήσεται· κοινὰ γὰρ ταῦτα

et recepit Spengel; om. cet. At sic stare minime potest; itaque Spengelius locum praecedentem καὶ ἐπεὶ τὸ ἄρχειν — θαυμαστῶν ἐπιστήμη sequenti ἔτι ἐπεὶ φιλότιμοι — ἡδὺ εἶναι postponendum censet ‖ τὸ om. *ΘΠ* ‖ βέλτιστος δοκεῖ εἶναι αὐτὸς αὑτοῦ *ΘΠ* ‖ 31 καὶ ὁ ποιητὴς rectissime ex A^c recepit Spengel. Ibidem ead. man. in marg. exaravit εὐριπίδης, sed non ut lectio, nec ut textui inserendum. Eodem modo Aristot. Sophoclem laudat Pol. 1260 a, 24 ‖ ὥσπερ Εὐριπίδης φησὶ *ΘΠ* ‖ καὶ Εὐριπίδης Tr. ‖ καὶ ἐπὶ A^c ‖ τοῦτο A^c ‖ 33 αὐτὸς αὐτὸς αὑτοῦ A^c ‖ τυγχάνει *ΘΠ* ‖ 34 παιδιὰ διὰ τῶν A^c, sed διὰ linea perducta deletum ‖ καὶ ὁ γέλως τῶν ἡδέων secl. Spengel (vix recte) ‖ 35 ἀνάγκη δὲ καὶ τὰ *ΘΠ* ‖ 1372 a, 3 τοσαῦτα Tr. (Ceterum, quae Aristoteles hic adiungit περὶ γελοίων, aptiorem sane locum haberent supra aut post 1370 a, 15 sqq. aut, ut monuit Spengelius, post 1370 b, 34 sqq. Incommodissime vero supra 1371 a, 35 sq. verba καὶ τὸ εὖ ποιεῖν . . . καὶ τὸ τὰ ἐλλιπῆ ἐπιτελεῖν locorum seriem interrumpunt. Nec parum ibi offendit quod verba καὶ τὸ τὰ ἐλλιπῆ ἐπιτελεῖν mox causa adiuncta repetuntur v. 25) ‖ 5 οἴωνται A^c corr. ‖ 7 εἴτε ἂν recte libri omnes, εἴτ' ἐὰν scripsit Spengel ‖ „sive putent" Tr. ‖ εἴτε μὴ λαθόντες Tr. ‖ 10 Sic Gaisford ex A^c, κοινὰ γὰρ τῶν μερῶν τῆς ῥητορικῆς ταῦτα *ΘΠ* Tr., πάντα post ταῦτα add. *Θ*CD om. Tr.,

Digitized by Google

πάντων τῶν λόγων, αὐτοὶ δ' οἴονται δυνατοὶ εἶναι μάλιστα ἀξήμιοι ἀδικεῖν οἱ εἰπεῖν δυνάμενοι καὶ οἱ πρακτικοὶ καὶ ἔμπειροι πολλῶν ἀγώνων, κἂν πολύφιλοι ὦσιν, κἂν πλούσιοι. καὶ μάλιστα μὲν ἂν αὐτοὶ ὦσιν ἐν τοῖς εἰρημένοις, οἴονται δύνασθαι, εἰ δὲ μή, κἂν ὑπάρχωσιν αὐτοῖς τοιοῦτοι φίλοι ἢ ὑπηρέται ἢ κοινωνοί· διὰ γὰρ ταῦτα δύνανται καὶ πράττειν καὶ λανθάνειν καὶ μὴ δοῦναι δίκην. καὶ ἐὰν φίλοι ὦσιν τοῖς ἀδικουμένοις ἢ τοῖς κριταῖς· οἱ μὲν γὰρ φίλοι ἀφύλακτοί τε πρὸς τὸ ἀδικεῖσθαι καὶ προσκαταλλάττονται πρὶν ἐπεξελθεῖν, οἱ δὲ κριταὶ χαρίζονται οἷς ἂν φίλοι ὦσι, καὶ ἢ ὅλως ἀφιᾶσιν ἢ μικροῖς ζημιοῦσιν. λαθητικοὶ δ' εἰσὶν οἵ τ' ἐναντίοι τοῖς ἐγκλήμασιν, οἷον ἀσθενεῖς περὶ αἰκίας καὶ ὁ πένης καὶ [ὁ] αἰσχρὸς περὶ μοιχείας. καὶ τὰ λίαν ἐν φανερῷ καὶ ἐν ὀφθαλμοῖς· ἀφύλακτα γὰρ διὰ τὸ ὅλως μηδένα ἂν οἴεσθαι. καὶ τὰ τηλικαῦτα καὶ τὰ τοιαῦτα οἷα μηδ' ἂν εἷς· ἀφύλακτα γὰρ καὶ ταῦτα· πάντες γὰρ τὰ εἰωθότα ὥσπερ ἀρρωστήματα φυλάττονται [καὶ τἀδικήματα], ὃ δὲ μηδείς πω ἠρρώστηκεν, οὐδεὶς εὐλαβεῖται. καὶ οἷς μηδεὶς

πάντων BETr. ‖ 13 οἱ ἔμπειροι ΘΠ ‖ καὶ ἐὰν — καὶ ἐὰν ΘΠ ‖ πολλοὶ φίλοι $Y^b Z^b$ΠAld. ‖ 15 τοιοῦτοι αὐτοῖς ΘΠ praeter C ‖ 18 ἢ τοῖς] μὴ τοῖς $Y^b Z^b$BDAld. cf. varietat. ad 1399 b, 19 ‖ 19 τε καὶ A^c, sed καὶ deletum. An synonymum excidit? ‖ προκαταλλάττονται C et anonymus apud Vict. ‖ 20 ἐξελθεῖν QZ^bDETr. Ald., ἐπ superscriptum alt. man. Y^b ‖ φιλῶσι A^c an οὓς ἂν φιλῶσι? ‖ 21 ἢ post καὶ om. QZ^bETr. Ald. ‖ 22 ἀσθενεῖς ex A^cTr. (m) recepi, ἀσθενής cet. ‖ αἰκείας A^c pr., ead. man. emendavit αἰκίας ‖ 23 καὶ ὁ αἰσχρός, ἤτοι ὁ ἀειδὴς καὶ πτωχός, ἅμα τὰ δύο εἰπέ schol. fol. 24 a, 3; itaque ὁ ante αἰσχρός secl. Spengel ‖ τὸ λίαν φανερῷ A^c pr., sed emendatum φανερὸν quod et Tr. (m.) praebet ‖ 24 ὅλως ex A^c Spengel, om. ΘΠTr. ‖ ἂν om. ΘΠ ‖ 25 οἷα μηδ' ἂν εἷς ex A^c Bekker, ἃ μηδὲ εἷς ΘΠTr. ‖ 26 πάντες A^c, non πάντα, ut est apud Gaisfordium et Spengelii comment. ‖ καὶ τὰ ἀδικήματα duobus punctis notatum in A^c, nisi fallor, ut delendum: ·καὶ τὰ ἀδικήματα· cf. praefat. pag. XIII ‖ οὕτω καὶ τὰ ἀδικήματα Tr. (at cf. 1412 a, 6 et 1416 b, 31 sqq.) ‖ 28 ἠρρώστηκεν ex A^c Bekker, ἠρρώστησεν ΘΠ (Ceterum verba 23 καὶ τὰ λίαν . . . usque ad εὐλαβεῖται 28 non suum locum tenent).

Digitized by Google

ἐχθρὸς ἢ πολλοί· οἱ μὲν γὰρ οἴονται λήσειν διὰ τὸ μὴ φυ-
30 *λάττεσθαι, οἱ δὲ λανθάνουσι διὰ τὸ μὴ δοκεῖν ἂν ἐπιχειρῆ-*
σαι φυλαττομένοις, καὶ διὰ τὸ ἀπολογίαν ἔχειν ὅτι οὐκ ἂν
ἐνεχείρησαν. καὶ οἷς ὑπάρχει κρύψις ἢ τρόποις ἢ τόποις ἢ
διαθέσεις εὔποροι. καὶ ὅσοις μὴ λανθάνουσιν ἔστιν δίωσις δίκης
ἢ ἀναβολὴ χρόνου ἢ διαφθορὰ κριτῶν. καὶ οἷς, ἐὰν γένηται
35 *ζημία, ἔστιν δίωσις τῆς ἐκτίσεως ἢ ἀναβολὴ χρόνιος. ἢ δι'*
ἀπορίαν μηδὲν ἕξει ὅ τι ἀπολέσῃ. καὶ οἷς τὰ μὲν κέρδη
φανερὰ ἢ μεγάλα ἢ ἐγγύς, αἱ δὲ ζημίαι μικραὶ ἢ ἀφα-
1372b *νεῖς ἢ πόρρω. καὶ ᾧ μή ἐστιν τιμωρία ἴση τῇ ὠφελείᾳ, οἷον*
δοκεῖ ἡ τυραννίς. καὶ ὅσοις τὰ μὲν ἀδικήματα λήμματα,
αἱ δὲ ζημίαι ὀνείδη μόνον. καὶ οἷς τοὐναντίον τὰ μὲν ἀδικη-
ματα εἰς ἔπαινόν τινα, οἷον εἰ συνέβη ἅμα τιμωρήσασθαι
5 *ὑπὲρ πατρὸς ἢ μητρός, ὥσπερ Ζήνωνι, αἱ δὲ ζημίαι εἰς*
χρήματα ἢ φυγὴν ἢ τοιοῦτόν τι· δι' ἀμφότερα γὰρ ἀδι-
κοῦσι καὶ ἀμφοτέρως ἔχοντες, πλὴν οὐχ οἱ αὐτοὶ ἀλλ' οἱ
ἐναντίοι τοῖς ἤθεσιν. καὶ οἱ πολλάκις ἢ λεληθότες ἢ μὴ ἐζη-
μιωμένοι, καὶ οἱ πολλάκις ἀποτετυχηκότες· εἰσὶ γάρ τινες
10 *καὶ ἐν τοῖς τοιούτοις, ὥσπερ ἐν τοῖς πολεμικοῖς, οἷοι ἀναμά-*

30 *λανθάνουσί τε ΘΠ* ‖ 31 *φυλαττομένους* Tr. schol. et sic coni. Vict. ‖ 32 *ἐπεχείρησεν ΘΠ* praeter C, ubi *ἐπεχείρησαν* ‖ *τρόποις καὶ τόποις* A^c, sed *ι* postea additum, tum erasum videtur; *τρόπος καὶ τόπος* cet., prius recepit Spengel ‖ 33 *διαθέσεις εὔποροι* ex A^c recepi; in marg. eiusdem codicis alt. man. *διάθεσις* si recte legi; accentus certe *α* superscriptus, *διάθεσις εὔπορος* cet. ‖ 33 *λανθάνουσι* ex A^c Spengel, *λαθοῦσιν ΘΠ* ‖ 34 *χρόνου* ex A^c Bekker, *χρόνιος ΘΠ*Tr. ‖ 35 *ἐκτίσεως* A^c pr., sed correctum videtur *κτήσεως* ut est in QDTr. Ald. ‖ 36 *ἀπολέσῃ* A^c pr. Bekker, sed emendatum *ἀπολέσει* ut est in *ΘΠ* ‖ 37 *ἢ μικραὶ ΘΠ*Tr. ‖ 1372b, 1 *ὧν* A^c Bekker Spengel, sed nisi fallor librarii errore, cf. praefat. p. XVI; itaque *ᾧ* cum *ΘΠ* restitui ‖ 2 Post *δοκεῖ* addunt *ἔχειν ΘΠ*Tr. ‖ 4 *ὡς* pro *εἰς* Y^bZ^bBD ‖ 5 *εἰς*] *ὡς* Ald. ‖ 6 *δι' ἀμφότερα* Bekker ex A^c; in marg. ead. man. *γρ. καὶ ἀμφότεροι*, quod est in *ΘΠ*Tr. ‖ 9 *οἱ* alt. man. superscriptum A^c et paene evanuit, secl. Spengel, tuentur cet. ‖ 10 *ὥσπερ καὶ ΘΠ*Tr. ‖ *οἷον* libri omnes, *οἷοι* coni. Vict. (at unice vera

Digitized by Google

χεσθαι. καὶ οἷς ἂν παραχρῆμα ᾖ τὸ ἡδύ, τὸ δὲ λυπηρὸν ὕστερον, ἢ τὸ κέρδος, ἡ δὲ ζημία ὕστερον· οἱ γὰρ ἀκρατεῖς τοιοῦτοι, ἔστιν δὲ ἀκρασία περὶ πάντα ὅσων ὀρέγονται. καὶ οἷς ἂν τοὐναντίον τὸ μὲν λυπηρὸν ἤδη ᾖ ἢ ἡ ζημία, τὸ δὲ ἡδὺ καὶ ὠφέλιμον ὕστερα καὶ χρονιώτερα· οἱ γὰρ ἐγκρατεῖς καὶ 15 φρονιμώτεροι τὰ τοιαῦτα διώκουσιν. καὶ οἷς ἂν ἐνδέχηται διὰ τύχην δόξαι πρᾶξαι ἢ δι' ἀνάγκην ἢ διὰ φύσιν ἢ δι' ἔθος, καὶ ὅλως ἁμαρτεῖν ἀλλὰ μὴ ἀδικεῖν. καὶ οἷς ἂν ᾖ τοῦ ἐπιεικοῦς ταχεῖν, καὶ ὅσοι ἂν ἐνδεεῖς ὦσιν. δυχῶς δέ εἰσιν ἐνδεεῖς· ἢ γὰρ ὡς ἀναγκαίου, ὥσπερ οἱ πένητες, ἢ ὡς ὑπερβολῆς, ὥσπερ οἱ 20 πλούσιοι. καὶ οἱ σφόδρα εὐδοκιμοῦντες καὶ οἱ σφόδρα ἀδοξοῦντες, οἱ μὲν ὡς οὐ δόξοντες, οἱ δ' ὡς οὐδὲν μᾶλλον ἀδοξοῦντες.

αὐτοὶ μὲν οὖν οὕτως ἔχοντες ἐπιχειροῦσιν ⟨ἀδικεῖν⟩, ἀδικοῦσι δὲ τοὺς τοιούτους καὶ τὰ τοιαῦτα, τοὺς ἔχοντας ὧν αὐτοὶ ἐνδεεῖς ἢ εἰς τἀναγκαῖα ἢ εἰς ὑπεροχὴν ἢ εἰς ἀπό- 25 λαυσιν, καὶ τοὺς πόρρω καὶ τοὺς ἐγγύς· τῶν μὲν γὰρ ἡ λῆψις ταχεῖα, τῶν δ' ἡ τιμωρία βραδεῖα, οἷον οἱ συλῶντες τοὺς Καρχηδονίους· καὶ τοὺς μὴ εὐλαβεῖς μηδὲ φυλακτικοὺς ἀλλὰ πιστευτικούς· ῥᾴδιον γὰρ πάντας λαθεῖν. καὶ τοὺς ῥαθύμους· ἐπιμελοῦς γὰρ τὸ ἐπεξελθεῖν. καὶ τοὺς αἰσχυντηλούς· 30

huius loci lectio latere videtur in verbis Tr. *„qui victi penitus volunt vincere“* (*avertere* m.). Sensus apertus est; sed singula verba recte ad exemplar Graecum refingere vix contigerit; valde placet relativum *οἵ* ad *τινες* spectans nec ineptum est *ἡττηθέντες* (cf. Probl. 916b, 20); in ceteris cum Dittmeyero meo dubius haereo. Cf. Herodot. VIII, 109) ‖ 12 *δὲ* pro *γὰρ* *ΘΠ* Tr. ‖ 14 *ἡ* om. *ΘΠ* ‖ *ἡ* ante *ζημία* ead. man. superscr. A^c ‖ 16 *τὰ* ante *τοιαῦτα* om. *ΘΠ* ‖ 19 *δυχῶς γάρ* Tr. ‖ 22 *ἀδοξοῦντες* ex A^c Vict., *δόξοντες*, *ΘΠ*, Bekker^8 ‖ *ἂν ἀδοξοῦντες* coni. Kayser ‖ 24 *ἀδικεῖν* monente Vahlenio inserui. ‖ 25 Quae olim super *ἀπόλαυσιν* scripta erant in A^c, plane evanuerunt ‖ 28 *„Calcedonios“* Tr. et *Χαλχηδονίους* coni. Gaisford ‖ Utrumque *τοὺς Καλχηδονίους ἢ Καρχηδονίους* iungendum censet Spengel. (Librarii errore schol. *Καλχηδονίους*, nam et recte interpretatur *τοὺς ἐν ἀφρίκῃ* et in cod. schol. Monac. 90 invenitur *Καρχηδονίους*.) ‖ 29 *ῥαθύμους* ex A^c Bekker, *ῥαθυμοῦντας* *ΘΠ*.

Digitized by Google

οὐ γὰρ μαχητικοὶ περὶ κέρδους. καὶ τοὺς ὑπὸ πολλῶν ἀδικηθέντας καὶ μὴ ἐπεξελθόντας ὡς ὄντας κατὰ τὴν παροιμίαν τούτους Μυσῶν λείαν. καὶ τοὺς μηδεπώποτε καὶ τοὺς πολλάκις· ἀμφότεροι γὰρ ἀφύλακτοι, οἱ μὲν ὡς οὐδέποτε, οἱ δ' ὡς οὐκ
35 *ἂν ἔτι. καὶ τοὺς διαβεβλημένους ἢ εὐδιαβόλους· οἱ τοιοῦτοι γὰρ οὔτε προαιροῦνται ⟨ἐπεξιέναι⟩ φοβούμενοι τοὺς κριτάς, οὔτε δύνανται πείθειν, ὧν οἱ μισούμενοι καὶ φθονούμενοι εἰσίν. καὶ*
1373 a *πρὸς οὓς ἔχουσι πρόφασιν ἢ προγόνων ἢ αὐτῶν ἢ φίλων ἢ ποιησάντων κακῶς ἢ μελλησάντων ἢ αὐτοὺς ἢ προγόνους ἢ ὧν κήδονται· ὥσπερ γὰρ ἡ παροιμία, προφάσεως δεῖται μόνον ἡ πονηρία. καὶ τοὺς ἐχθροὺς καὶ τοὺς φίλους· τοὺς μὲν γὰρ ῥᾴ-*
5 *διον, τοὺς δὲ ἡδύ. καὶ τοὺς ἀφίλους. καὶ τοὺς μὴ δεινοὺς εἰπεῖν ἢ πρᾶξαι· ἢ γὰρ οὐκ ἐγχειροῦσιν ἐπεξιέναι, ἢ καταλλάττονται, ἢ οὐδὲν περαίνουσιν. καὶ οἷς μὴ λυσιτελεῖ διατρίβειν ἐπιτηροῦσιν ἢ δίκην ἢ ἔκτισιν; οἷον οἱ ξένοι καὶ αὐτουργοί. ἐπὶ μικρῷ τε γὰρ διαλύονται καὶ ῥᾳδίως καταπαύονται.*
10 *καὶ τοὺς πολλὰ ἠδικηκότας, ἢ τοιαῦτα οἷα ἀδικοῦνται· ἐγγὺς γάρ τι δοκεῖ τοῦ μὴ ἀδικεῖν εἶναι, ὅταν τι τοιοῦτον ἀδικηθῇ τις οἷον εἰώθει καὶ αὐτὸς ἀδικεῖν· λέγω δ' οἷον εἴ τις τὸν εἰωθότα ὑβρίζειν αἰκίσαιτο. καὶ τοὺς ἢ πεποιηκότας κακῶς ἢ βουληθέντας ἢ βουλομένους ἢ ποιήσοντας. ἔχει γὰρ*
15 *καὶ τὸ ἡδὺ καὶ τὸ καλόν, καὶ ἐγγὺς τοῦ μὴ ἀδικεῖν φαί-*

33 *καὶ τοὺς* . . . . *καὶ οὓς* A^c, correxit Bonitz, *καὶ οὓς* — *καὶ οὓς ΘΠ* ‖ 36 *ἐπεξιέναι* inseruit Vahlen ‖ 37 *ὧν ΘΠ* et A^c corr.; quae primitiva scriptura fuerit in A^c, non potest discerni, *ὡς* legit Gaisford, quod recepit Spengel ‖ Eximia varietas in Tr.: *ὡς μισούμενοι καὶ φθονούμενοι* omissis *οἱ* et *εἰσίν* ‖ 1373a, 2 Alt. *λ* supra lineam A^c ‖ 3 *δέεται ΘΠ* ‖ 5 An hi duo loci coniungendi in unum *καὶ τοὺς ἀφίλους καὶ μὴ δεινοὺς*? Nam loci omnes fere causa adiecta illustrantur ab Aristotele; cf. et supra 1372a, 11 ‖ 9 *ῥᾳδίως οἱ τοιοῦτοι ΘΠ, οἱ τοιοῦτοι* secl. pr. Buhle ‖ 12 *λέγω δ' ὅτι εἰ* et *αἰκίσοιτο* A^c ‖ 14 *ποιήσοντας* legit A^c, non *ποιήσαντας* ut est apud Gaisford. et Bekker. ‖ 15 *τοῦ*] *τοῦτο τοῦ ΘΠ* ‖ *φαίνεσθαι* et hic et 20 Tr.

Digitized by Google

νεται. καὶ οἷς χαριοῦνται ἢ φίλοις ἢ θαυμαζομένοις ἢ ἐρωμένοις ἢ κυρίοις ἢ ὅλως πρὸς οὓς ζῶσιν αὐτοί. καὶ πρὸς οὓς ἔστιν ἐπιεικείας τυχεῖν. καὶ οἷς ἂν ἐγκεκληκότες ὦσιν καὶ προδιακεχωρηκότες, οἷον Κάλλιππος ἐποίησεν τὰ περὶ Δίωνα· καὶ γὰρ τὰ τοιαῦτα ἐγγὺς τοῦ μὴ ἀδικεῖν φαίνε- 20 *ται. καὶ τοὺς ὑπ' ἄλλων μέλλοντας, ἂν μὴ αὐτοί, ὡς οὐκέτι ἐνδεχόμενον βουλεύσασθαι, ὥσπερ λέγεται Αἰνεσίδημος Γέλωνι πέμψαι κοττάβια ἀνδραποδισαμένῳ..., ὅτι ἔφθασεν, ὡς καὶ αὐτὸς μέλλων. καὶ οὓς ἀδικήσαντες δυνήσονται πολλὰ δίκαια πράττειν, ὡς ῥᾳδίως ἰασόμενοι, ὥσπερ ἔφη* 25 *Ἰάσων ὁ Θετταλὸς δεῖν ἀδικεῖν ἔνια, ὅπως δύνηται καὶ δίκαια πολλὰ ποιεῖν. καὶ ἃ πάντες ἢ πολλοὶ ἀδικεῖν εἰώθασιν· συγγνώμης γὰρ οἴονται τεύξεσθαι. καὶ τὰ ῥᾴδια κρύψαι· τοιαῦτα δὲ ὅσα ταχὺ ἀναλίσκεται, οἷον τὰ ἐδώδιμα. ἢ τὰ εὐμετάβλητα σχήμασιν ἢ χρώμασιν ἢ* 30 *κράσεσιν, ἢ ἃ πολλαχοῦ ἀφανίσαι εὔπορον· τοιαῦτα δὲ τὰ εὐβάστακτα καὶ ἐν μικροῖς τόποις ἀφανιζόμενα. καὶ οἷς ἀδιάφορα καὶ ὅμοια πολλὰ προϋπῆρχεν τῷ ἀδικοῦντι. καὶ ὅσα αἰσχύνονται οἱ ἀδικηθέντες λέγειν, οἷον γυναικῶν οἰκείων ὕβρεις ἢ εἰς αὐτοὺς ἢ [εἰς] υἱεῖς. καὶ ὅσα φιλοδικεῖν* 35 *δόξειεν ἂν ὁ ἐπεξιών· τοιαῦτα δὲ τὰ μικρὰ καὶ ἐφ' οἷς συγγνώμη. ὡς μὲν οὖν ἔχοντες ἀδικοῦσι, καὶ ποῖα καὶ ποίους καὶ διὰ τί, σχεδὸν ταῦτ' ἐστίν.*

16 *οἷς* i. e. *οἷς* legit A^c, ut ex eodem litterarum ductu apparet lin. 18 *οἷς*, non *οὓς* ut dicit Thurot ‖ Exspectaveris sane *καὶ οὓς ⟨ἀδικοῦντες⟩. ὧν ἀδικουμένων* interpretatur schol. ‖ *ἐν οἷς* infelicissime Madvig. Cf. Mus. Rhen. N. F. XXXIX pag. 500 ‖ 17 *καὶ πρὸς οὓς* interpunctione deleta superioribus adiungit Kayser ‖ 18 *ἐνκεκληκότες* A^c ‖ 19 *ἐποίει Θ*(?)DEAld. Y^b pr., sed ibi rec. man. corr. *ἐποίησε* ‖ 21 *ὑπ' ἄλλων* delet Madvig ‖ 23 Post *ἀνδραποδισαμένῳ* populi nomen excidisse iam vidit Casaubonus, itaque lacunae signa posui. Cf. Mus. Rhen. N. F. XXXIX pag. 501 ‖ 28 *τεύξασθαι* A^c ‖ 29 *ἢ ταχύ ΘΠ* ‖ 34 *λέγειν οἱ ἀδικηθέντες ΘΠ* ‖ 35 *εἰς* om. A^c secl. Spengel ‖ 36 *τά τε μικρά ΘΠ* ‖ *καὶ εὐθὺς συγγνώμη* Ald.

Digitized by Google

1373b τὰ δ' ἀδικήματα πάντα καὶ τὰ δικαιώματα διέλω- 13
μεν ἀρξάμενοι πρῶτον ἐντεῦθεν. ὥρισται δὴ τὰ δίκαια καὶ
τὰ ἄδικα πρός τε νόμους δύο καὶ πρὸς οὓς ἐστι διχῶς.
λέγω δὲ νόμον τὸν μὲν ἴδιον τὸν δὲ κοινόν, ἴδιον μὲν τὸν
5 ἑκάστοις ὡρισμένον πρὸς αὐτούς, καὶ τοῦτον τὸν μὲν ἄγρα-
φον τὸν δὲ γεγραμμένον, κοινὸν δὲ τὸν κατὰ φύσιν. ἔστι
γὰρ ὃ μαντεύονταί τι πάντες, φύσει κοινὸν δίκαιον καὶ
ἄδικον, κἂν μηδεμία κοινωνία πρὸς ἀλλήλους ᾖ μηδὲ συν-
θήκη, οἷον καὶ ἡ Σοφοκλέους Ἀντιγόνη φαίνεται λέγουσα,
10 ὅτι δίκαιον ἀπειρημένον θάψαι τὸν Πολυνείκη, ὡς φύσει
ὂν τοῦτο δίκαιον·

οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε
ζῇ τοῦτο, κοὐδεὶς οἶδεν ἐξ ὅτου φάνη.

καὶ ὡς Ἐμπεδοκλῆς λέγει περὶ τοῦ μὴ κτείνειν τὸ ἔμψυ-
15 χον· τοῦτο γὰρ οὐ τισὶ μὲν δίκαιον τισὶ δ' οὐ δίκαιον,

ἀλλὰ τὸ μὲν πάντων νόμιμον διά τ' εὐρυμέδοντος
αἰθέρος ἠνεκέως τέταται διά τ' ἀπλέτου αὖ γῆς.

καὶ ὡς ἐν τῷ Μεσσηνιακῷ λέγει Ἀλκιδάμας . . ., πρὸς οὓς
δέ, διώρισται δίχα· ὥρισται γὰρ πρὸς τὸ κοινὸν ἢ πρὸς
20 ἕνα τῶν κοινωνούντων, ἃ δεῖ πράττειν καὶ μὴ πράττειν. διὸ
καὶ τἀδικήματα καὶ τὰ δικαιώματα διχῶς ἔστιν ἀδικεῖν
καὶ δικαιοπραγεῖν· ἢ γὰρ πρὸς ἕνα καὶ ὡρισμένον ἢ πρὸς

1373b, 1 A^c non omittit δὲ, ut est apud Bekkerum, sed scriptum est per compendium ‖ 2 δὲ Tr. ‖ 3 δύο secl. Spengel Bekker[3] ‖ 7 φύσει κοινὸν: γρ. φυσικὸν ὄν marg. Y^b et B rec. man. ‖ κοινὸν om. C ‖ 8 μηδεμίαν κοινωνίαν A^c pr., sed emendatum μηδεμία κοινωνία ‖ 10 πολυνίκη A^c, πολυνείκην ΘΠ ‖ 17 αἰθέρος A^c pr., sed emendatum rec. man (?) αἰθέρα ‖ ως in ἠνεκέως corr. A^c ‖ τέτακται ΘBE Ald. ‖ αὖ γῆς DQBekker, αὐγῆς libri fere omnes ‖ 18 λέγει ἐν τῷ μεσσηνιακῷ ἀλκίδαμος ΘΠ ‖ Lacunam indicavit Spengel. Exciderunt egregia Alcidamantis verba ad. h. l. servata a scholiasta: „ἐλευθέρους ἀφῆκε πάντας ὁ θεός, οὐδένα δοῦλον ἡ φύσις πεποίηκεν" ‖ 19 πρὸς οὓς δὲ διώρισται, διχῶς διώρισται ἢ γὰρ πρός ΘΠ ‖ Veram h. l. lectionem cum Vahlenio ex A^c restitui; ibi et ἢ ante γὰρ corr. ‖ ὁρίζεται Tr. cf. 1363a, 24 ‖ 22 καὶ post ἕνα om. ΘΠTr.

Digitized by Google

τὸ κοινόν· ὁ γὰρ μοιχεύων καὶ τύπτων ἀδικεῖ τινα τῶν ὡρισμένων, ὁ δὲ μὴ στρατευόμενος τὸ κοινόν.

ἁπάντων δὴ τῶν ἀδικημάτων διῃρημένων, καὶ τῶν μὲν 25 ὄντων πρὸς τὸ κοινὸν τῶν δὲ πρὸς ἄλλον καὶ πρὸς ἄλλους, ἀναλαβόντες τί ἐστιν τὸ ἀδικεῖσθαι, λέγωμεν. ἔστι δὴ τὸ ἀδικεῖσθαι τὸ ὑπὸ ἑκόντος τὰ ἄδικα πάσχειν· τὸ γὰρ ἀδικεῖν ὥρισται πρότερον ἑκούσιον εἶναι. ἐπεὶ δ' ἀνάγκη τὸν ἀδικούμενον βλάπτεσθαι καὶ ἀκουσίως βλάπτεσθαι, αἱ μὲν 30 βλάβαι ἐκ τῶν πρότερον φανεραί εἰσιν· τὰ γὰρ ἀγαθὰ καὶ τὰ κακὰ εἴρηται καθ' αὑτὰ πρότερον, καὶ τὰ ἑκούσια, ὅτι ἔστιν ὅσα εἰδότες, ὥστ' ἀνάγκη πάντα τὰ ἐγκλήματα ἢ πρὸς τὸ κοινὸν ἢ πρὸς τὸ ἴδιον εἶναι, καὶ ἢ ἀγνοοῦντος καὶ ἄκοντος ἢ ἑκόντος καὶ εἰδότος, καὶ τούτων τὰ μὲν 35 προελομένου τὰ δὲ διὰ πάθος. περὶ μὲν οὖν θυμοῦ δηθήσεται ἐν τοῖς περὶ τὰ πάθη, ποῖα δὲ προαιροῦνται καὶ πῶς ἔχοντες, εἴρηται πρότερον. ἐπεὶ δ' ὁμολογοῦντες πολλάκις πεπραχέναι ἢ τὸ ἐπίγραμμα οὐχ ὁμολογοῦσιν ἢ περὶ ὃ τὸ 1374a ἐπίγραμμα, οἷον λαβεῖν μὲν ἀλλ' οὐ κλέψαι, καὶ πατάξαι πρότερον ἀλλ' οὐχ ὑβρίσαι, καὶ συγγενέσθαι ἀλλ' οὐ μοιχεῦσαι, ἢ κλέψαι μὲν ἀλλ' οὐχ ἱεροσυλῆσαι, οὐ γὰρ θεοῦ τι, ἢ ἐπεργάσασθαι μὲν ἀλλ' οὐ δημοσίαν, ἢ διειλέχθαι 5 μὲν τοῖς πολεμίοις ἀλλ' οὐ προδοῦναι, διὰ ταῦτα δέοι ἂν καὶ περὶ τούτων διωρίσθαι, τί κλοπή, τί ὕβρις, τί μοιχεία, ὅπως ἐάν τε ὑπάρχειν ἐάν τε μὴ ὑπάρχειν βουλώμεθα δεικνύναι, ἔχωμεν ἐμφανίζειν τὸ δίκαιον. ἔστι δὲ πάντα

27 τὰ λοιπὰ post λέγωμεν addunt ΘΠTr., om. A^c Spengel ‖ δὲ ΘBCDAld. ‖ 28 ἑκόντος ex A^c Gaisford, ἑκόντων Θ et Π praeter C ‖ 29 τῶν ἀδικούμενον A^c ‖ 32 εἴρηται ex A^c Gaisford, διῄρηται ΘΠTr. ‖ 34 τὸ ante ἴδιον om. ΘBDE ‖ ἢ καὶ A^c et Π(?), καὶ om. ΘTr. Ald., transposuit Bekker[3] ‖ 1374a, 1 πεπρᾶχθαι Tr. ‖ 4 κλέψαι μὲν A^c Spengel, μὲν om. ΘΠTr. ‖ 5 ἢ post τι om. A^c ‖ δημοσίαν A^c pr. sed ν deletum; δημοσίαν iam rectissime Victorius, δημόσια ΘΠ ‖ 6 προδιδόναι Y^b Z^b ΠAld. ‖ διὰ τοῦτο Tr. ‖ 7 διορίσασθαι ΘΠ ‖ 9 Post δίκαιον addit καὶ ἄδικον schol. cf. variet. ad 1396a, 8.

Digitized by Google

10 τὰ τοιαῦτα περὶ τοῦ ἄδικον εἶναι καὶ φαῦλον ἢ μὴ ἄδικον ἡ ἀμφισβήτησις· ἐν γὰρ τῇ προαιρέσει ἡ μοχθηρία καὶ τὸ ἀδικεῖν, τὰ δὲ τοιαῦτα τῶν ὀνομάτων προσσημαίνει τὴν προαίρεσιν, οἷον ὕβρις καὶ κλοπή· οὐ γὰρ εἰ ἐπάταξεν πάντως ὕβρισεν, ἀλλ' εἰ ἕνεκά του, οἷον τοῦ ἀτιμάσαι ἐκεῖνον ἢ 15 αὐτὸς ἡσθῆναι. οὐδὲ πάντως, εἰ λάθρᾳ ἔλαβεν, ἔκλεψεν, ἀλλ' εἰ ἐπὶ βλάβῃ τούτου, ἀφ' οὗ ἔλαβε καὶ σφετερισμῷ ἑαυτοῦ. ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων ἔχει, ὥσπερ καὶ περὶ τούτων.

ἐπεὶ δὲ τῶν δικαίων καὶ τῶν ἀδίκων ἦν δύο εἴδη· τὰ μὲν γὰρ γεγραμμένα τὰ δ' ἄγραφα, περὶ ὧν μὲν οἱ 20 νόμοι ἀγορεύουσιν εἴρηται, τῶν δ' ἀγράφων δύο ἐστὶν εἴδη· ταῦτα δ' ἐστὶν τὰ μὲν καθ' ὑπερβολὴν ἀρετῆς καὶ κακίας, ἐφ' οἷς ὀνείδη καὶ ἔπαινοι καὶ ἀτιμίαι καὶ τιμαὶ καὶ δωρεαί, οἷον τὸ χάριν ἔχειν τῷ ποιήσαντι εὖ καὶ ἀντευποιεῖν τὸν εὖ ποιήσαντα καὶ βοηθητικὸν εἶναι τοῖς 25 φίλοις καὶ ὅσα ἄλλα τοιαῦτα, τὰ δὲ τοῦ ἰδίου νόμου καὶ γεγραμμένου ἔλλειμμα. τὸ γὰρ ἐπιεικὲς δοκεῖ δίκαιον εἶναι, ἔστιν δὲ ἐπιεικὲς τὸ παρὰ τὸν γεγραμμένον νόμον δίκαιον. συμβαίνει δὲ τοῦτο τὰ μὲν ἑκόντων τὰ δὲ ἀκόντων τῶν νομοθετῶν, ἀκόντων μὲν ὅταν λάθῃ, ἑκόντων δ' 30 ὅταν μὴ δύνωνται διορίσαι, ἀλλ' ἀναγκαῖον μὲν ᾗ καθόλου εἰπεῖν, μὴ ᾗ δέ, ἀλλ' ὡς ἐπὶ τὸ πολύ. καὶ ὅσα μὴ ῥᾴδιον διορίσαι δι' ἀπειρίαν, οἷον τὸ τρῶσαι σιδήρῳ πηλίκῳ καὶ ποίῳ τινί· ὑπολείποι γὰρ ἂν ὁ αἰὼν διαριθμοῦντα. ἂν

11 περὶ οὗ ante ἡ ἀμφισβήτησις CBE et in Y^b rec. man. superscr. ‖ post προαιρέσει addunt ἐστίν ΘΠ ‖ 12 μοχθηρία] ἀδικία καὶ μοχθηρία Z^bY^b ‖ ἡ ἀδικία καὶ τὸ ἀδικεῖν C ‖ 16 Sanavit h. l. egregia varietas, ex Tr. allata a Dittmeyero „*in nocumentum eius, a quo accepit*", ἐπὶ βλάβῃ ἔκλεψε καὶ libri omnes; cf. praefat. pag. XXXIII ‖ 22 καὶ tertium om. ΘΠTr. ‖ 24 εἶναι om. A^c ‖ 26 καὶ ante γεγραμμένον dubitanter delet Spengel, ἐγγεγραμμένον ΘBCDAld. ‖ ἔλλειμα A^c ‖ 27 τὸ om. A^c ‖ 28 τὰ μὲν ἀκόντων, τὰ δὲ ἑκόντων ΘΠTr. ‖ 32 καὶ πηλίκῳ ΘΠ ‖ 33 ὑπολείπει Q et pr. Y^b ‖ δὴ pro ἂν ΘΠ ‖ α in fine vocabuli διαριθμοῦντα corr. A^c (an fuit διαριθμοῦντας? ut Tr.DE).

Digitized by Google

οὖν ᾗ ἀόριστον, δέῃ δὲ νομοθετῆσαι, ἀνάγκη ἁπλῶς εἰπεῖν, ὥστε κἂν δακτύλιον ἔχων ἐπάρηται τὴν χεῖρα ἢ πατάξῃ, 35
κατὰ μὲν τὸν γεγραμμένον νόμον ἔνοχος ἔσται καὶ ἀδικεῖ, κατὰ δὲ τὸ ἀληθὲς οὐκ ἀδικεῖ, καὶ τὸ ἐπιεικὲς τοῦτο ἐστίν. 1374b
εἰ δὲ ἐστὶ τὸ εἰρημένον τὸ ἐπιεικές, φανερὸν ποῖά ἐστι τὰ ἐπιεικῆ καὶ οὐκ ἐπιεικῆ, καὶ ποῖοι οὐκ ἐπιεικεῖς ἄνθρωποι· ἐφ' οἷς τε γὰρ δεῖ συγγνώμην ἔχειν, ἐπιεικῆ ταῦτα, καὶ τὸ τὰ ἁμαρτήματα καὶ τὰ ἀδικήματα μὴ τοῦ ἴσου 5
ἀξιοῦν, μηδὲ τὰ ἀτυχήματα· ἔστιν ἀτυχήματα μὲν ὅσα παράλογα καὶ μὴ ἀπὸ μοχθηρίας, ἁμαρτήματα δὲ ὅσα μὴ παράλογα καὶ μὴ ἀπὸ πονηρίας, ἀδικήματα δὲ ὅσα μήτε παράλογα ἀπὸ πονηρίας τε ἐστίν· τὰ γὰρ δι' ἐπιθυμίαν ἀπὸ πονηρίας. καὶ τὸ τοῖς ἀνθρωπίνοις 10
συγγινώσκειν ἐπιεικές. καὶ τὸ μὴ πρὸς τὸν νόμον ἀλλὰ πρὸς τὸν νομοθέτην, καὶ μὴ πρὸς τὸν λόγον ἀλλὰ πρὸς τὴν διάνοιαν τοῦ νομοθέτου σκοπεῖν, καὶ μὴ πρὸς τὴν πρᾶξιν ἀλλὰ πρὸς τὴν προαίρεσιν, καὶ μὴ πρὸς τὸ μέρος ἀλλὰ πρὸς τὸ ὅλον, μηδὲ ποῖός τις νῦν, ἀλλὰ 15

34 *ἀόριστον* ex A^c pr. recepi; rec. man. superscr. *δι*, ut sit *ἀδιόριστον*, quod habent *ΘΠ* Ald. cf. praefat. p. XI ‖ *δὲ ἧι* A^c pr., sed linea subducta per *δὲ ἧι* significatur haec duo verba coniungenda esse ‖ 36 *ἔσται* ex A^c recepi, *ἔστι* cet., Spengel Bekker ‖ 1374b, 1 *τὸ* ante *ἐπιεικές* om. *Θ*E rec. man. addidit Y^b ‖ 2 *εἰρημένον* A^c corr., *ὡρισμένον* legit Bekker ‖ alt. *τὸ* om. *ΘΠ* ‖ *ὁποῖα ΘΠ* ‖ 3—4 *καὶ οὐκ — ἐπιεικῆ* om. *Θ*(pr. Y^b)D Ald. ‖ 6 *μηδὲ τὰ ἁμαρτήματα καὶ τὰ ἀτυχήματα* *Θ*DE Tr. Ald.; *τὰ ἁμαρτήματα* omissum A^c BC et deletum rec. man. Y^b, seclusit Gaisford, omisit Spengel ‖ *μηδὲ τὰ ἀτυχήματα· τὰ μὲν γὰρ ὅσα* A^c, et sic Spengel, sed *μὲν* pr. man. exaratum, *τὰ* et *γὰρ* certe rec. man., *ἔστι δ' ἀτυχήματα μὲν ΘΠ* ‖ 9 *τὰ γὰρ* — 10 *πονηρίας* om. A^c Tr. ‖ 12 Post *νομοθέτην* inserunt *σκοπεῖν ΘΠ* Bekker, quod A^c infra post *νομοθέτου* habet et sic Gaisford ‖ *καὶ τὸ μὴ ΘΠ* ‖ Unum *τόπον* efficit C, ubi *καὶ τὸ μὴ πρὸς τὸν νόμον, ἀλλὰ πρὸς τὴν διάνοιαν τοῦ νομοθέτου σκοπεῖν*. (Sed *διάνοιαν* ead. man. in marg.; praeterea legi voluit *πρὸς τὸν νομοθέτην*; nam et *νομοθέτου* correctum est et sic interpretatur schol.)

Digitized by Google

ποῖός τις ἦν ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολύ. καὶ τὸ μνημονεύειν μᾶλλον ὧν ἔπαθεν ἀγαθῶν ἢ κακῶν, καὶ ἀγαθῶν ὧν ἔπαθε μᾶλλον ἢ ἐποίησεν. καὶ τὸ ἀνέχεσθαι ἀδικούμενον. καὶ τὸ μᾶλλον λόγῳ ἐθέλειν κρίνεσθαι ἢ ἔργῳ. καὶ τὸ
20 εἰς δίαιταν μᾶλλον ἢ εἰς δίκην βούλεσθαι ἰέναι· ὁ γὰρ διαιτητὴς τὸ ἐπιεικὲς ὁρᾷ, ὁ δὲ δικαστὴς τὸν νόμον· καὶ τούτου ἕνεκα διαιτητὴς εὑρέθη, ὅπως τὸ ἐπιεικὲς ἰσχύῃ. περὶ μὲν οὖν τῶν ἐπιεικῶν διωρίσθω τὸν τρόπον τοῦτον.

14 ἀδίκημα δὲ μεῖζον, ὅσῳ ἂν ἀπὸ μείζονος ᾖ ἀδι-
25 κίας· διὸ τὰ ἐλάχιστα μέγιστα, οἷον ὃ Μελανώπου Καλλίστρατος κατηγόρει, ὅτι παρελογίσατο τρία ἡμιωβέλια ἱερὰ τοὺς ναοποιούς· ἐπὶ δικαιοσύνης δὲ τοὐναντίον. ἔστιν δὲ ταῦτα ἐκ τοῦ ἐνυπάρχειν τῇ δυνάμει· ὁ γὰρ τρία ἡμιωβέλια ἱερὰ κλέψας κἂν ὁτιοῦν ἀδικήσειεν. ὁτὲ μὲν δὴ οὕτω
30 τὸ μεῖζον, ὁτὲ δ' ἐκ τοῦ βλάβους κρίνεται. καὶ οὗ μή ἐστιν ἴση τιμωρία, ἀλλὰ πᾶσα ἐλάττων. καὶ οὗ μή ἐστιν ἴασις· χαλεπὸν γὰρ καὶ ἀδύνατον. καὶ οὗ μὴ ἔστιν δίκην λαβεῖν τὸν παθόντα· ἀνίατον γάρ· ἡ γὰρ δίκη καὶ κόλασις ἴασις. καὶ εἰ ὁ παθὼν καὶ ἀδικηθεὶς αὐτὸς αὑτὸν μεγάλως ἐκό-
35 λασεν· ἔτι γὰρ μείζονι ὁ ποιήσας δίκαιος κολασθῆναι,

16 ἦν om. $Z^b Y^b$ Π Tr. Ald. ‖ 21 τὸ ἐπιεικὲς — 22 διαιτητής om. Y^b pr. rec. man. addidit in marg. ‖ 22 ἠρέθη Θ (pr. Y^b) ‖ 24 ἀδίκημα δὲ μεῖζον ὅσῳ ἂν ex A^c Bekker, ἀδικήματα δὲ μείζονα ὅσα Θ Π Tr. ‖ 25 καὶ τὰ ἐλάχιστα Θ Π, καὶ om. A^c Tr. Spengel ‖ δ paene evanuit A^c, om. D E Tr. Ald. ‖ 28 super ἐνυπάρχειν, quod pr. dedit Bekker, alt. man. scriptum ὑπερέχειν A^c, quod praebent Θ Π Tr. ‖ 29 ἱερὰ ἡμιωβέλια Θ Π ‖ 31 ση in ἴση paene evanuit A^c, ut erasum videatur ‖ τιμωρία . . . ἔστιν om. A^c ὁμοιοτελεύτῳ ni fallor; nam in archetypo fuisse videtur ἴση ἴασις vel οὗ μή ἐστιν ἢ μὴ ἴση ἴασις; tum aptius sane pergere poterat χαλεπὸν γὰρ καὶ (vel ἢ) ἀδύνατον. Collato loco 1382 b, 25 οὗ μή ἐστιν ἢ μὴ ῥαδία ἴασις coni. Spengel. Ceterum cf. Mus. Rhen. N. F. XXXIX pag. 501 ‖ 32 χαλεπὸν γὰρ τὸ ἀδύνατον F. Portus ‖ χαλεπὸν γὰρ πᾶν ἀνίατον cum Mureto Vahlen ‖ 33 καὶ ἴασις A^c (nescio an recte) ‖ 34 εἰ ὁ ἀδικηθεὶς Θ Π cf. varietat. ad 1392 b, 19 ‖ 35 A^c: Post μεῖζον ras., tum legitur ι, supra quod alt. man. η.

Digitized by Google

οἷον Σοφοκλῆς ὑπὲρ Εὐκτήμονος συνηγορῶν, ἐπεὶ ἀπέσφα-
ξεν ἑαυτὸν ὑβρισθείς, οὐ τιμήσειν ἔφη ἐλάττονος ἢ ὁ πα- 1375a
θὼν ἑαυτῷ ἐτίμησεν. καὶ ὃ μόνος ἢ πρῶτος ἢ μετ' ὀλίγων
πεποίηκεν. καὶ τὸ πολλάκις τὸ αὐτὸ ἁμαρτάνειν [μέγα].
καὶ δι' ὃ ἂν ζητηθῇ καὶ εὑρεθῇ τὰ κωλύοντα καὶ ζημιοῦντα,
οἷον ἐν Ἄργει ζημιοῦται δι' ὃν ἂν νόμος τεθῇ καὶ δι' οὗς τὸ 5
δεσμωτήριον ᾠκοδομήθη. καὶ τὸ θηριωδέστερον ἀδίκημα
μεῖζον. καὶ ὃ ἐκ προνοίας μᾶλλον. καὶ ὃ οἱ ἀκούοντες
φοβοῦνται μᾶλλον ἢ ἐλεοῦσιν. καὶ τὰ μὲν ῥητορικά ἐστι
τοιαῦτα, ὅτι πολλὰ ἀνῄρηκεν ἢ ὑπερβέβηκεν, οἷον
ὅρκους δεξιὰς πίστεις ἐπιγαμίας· πολλῶν γὰρ ἀδικημάτων 10
ὑπεροχή. καὶ τὸ ἐνταῦθα οὗ κολάζονται οἱ ἀδικοῦντες, ὅπερ
ποιοῦσιν οἱ ψευδομαρτυροῦντες· ποῦ γὰρ οὐκ ἂν ἀδικήσειεν,
εἴ γε καὶ ἐν τῷ δικαστηρίῳ; καὶ ἐφ' οἷς αἰσχύνη μάλιστα.
καὶ εἰ τοῦτον ὑφ' οὗ εὖ πέπονθεν· πλείω γὰρ ἀδικεῖ, ὅτι τε
κακῶς ποιεῖ καὶ ὅτι οὐκ εὖ. καὶ ὃ παρὰ τὰ ἄγραφα δί- 15
καια· ἀμείνονος γὰρ μὴ δι' ἀνάγκην δίκαιον εἶναι· τὰ μὲν
οὖν γεγραμμένα ἐξ ἀνάγκης, τὰ δ' ἄγραφα οὔ. ἄλλον
δὲ τρόπον, εἰ παρὰ τὰ γεγραμμένα. ὁ γὰρ τὰ φο-

1375a, 1 τιμητέον Tr. ‖ ἢ οὔ ΘΠTr., οὔ om. A^c Spengel ‖ 2 ἑαυτῷ ἐτίμησεν ex A^c Bekker, ἐτίμησεν ἑαυτὸν ΘΠTr ‖ 3 μέγα secl. Spengel ‖ 4 δι' ὃν ΘBC δι' ὧν Ald. ‖ ζητηθείη καὶ εὑρεθείη A^c alt. man. emendavit ζητηθῇ ‖ ζητηθῇ καὶ αὐξηθῇ καὶ εὑρεθῇ C ‖ 5 ζημιοῦσι Y^b rec. man. Z^b BDETr. Ald. ‖ pro δι' οὓς δι' ὃν BC et Y^b rec. man. ‖ καὶ δι' οὓς ἂν—οἰκοδομηθῇ Tr. ‖ 7 ὃ A^c Tr. Bekker, τὸ ΘΠ ‖ 8 καὶ τὰ μὲν — τοιαῦτα delenda censet Kayser et scribendum: καὶ ὃ ποιῶν πολλὰ . . . ‖ 9 ἂν εἴρηκεν A^c ‖ Post ἀνήρηκε addunt δίκαια ΘΠTr., om. A^c Spengel ‖ 10 ἐπιγαμείας A^c ‖ 11 ὑπερέχει A^c pr. sed emendavit rec. man. ὑπεροχὴ cf. varietat. ad 1365a, 11 ‖ 12 ψευδομάρτυρες ΘΠTr. ‖ ἀδικήσειαν Q ‖ ἀδικήσαιεν Y^b ΠTr. Ald. ‖ ἀδικήσαιαν Z^b. (Verba 8—13 καὶ τὰ μὲν ῥητορικὰ — ἐν τῷ δικαστηρίῳ in medio posita non optimum locum tenere recte monuit Spengel.) ‖ 14 ἐφ' οὗ A^c ‖ 15 καὶ ὅτι] ὅτι τε ΘBCE Ald. ‖ Sic locum maxime A^c et Tr. secutus restituit Vict. ante Vict.: καὶ ὁ περὶ τὰ γραφόμενα δίκαιος ‖ παρὰ] περὶ A^c ΘTr. ‖ γραφόμενα Θ (pr. Y^b) DE ‖ δίκαιος Θ(pr. Y^b)DE ‖ ὁ παρὰ τὰ ἄγραφα μὴ δίκαιος C.

Digitized by Google

βερὰ ἀδικῶν καὶ τὰ ἐπιζήμια καὶ τὰ ἀζήμια ἀδι-
20 *κήσειεν ἄν. περὶ μὲν οὖν ἀδικήματος μείζονος καὶ ἐλάττονος εἴρηται.*

15 *περὶ δὲ τῶν ἀτέχνων καλουμένων πίστεων ἐχόμενόν ἐστι τῶν εἰρημένων ἐπιδραμεῖν. ἴδιαι γὰρ αὗται τῶν δικανικῶν. εἰσὶν δὲ πέντε τὸν ἀριθμόν, νόμοι μάρτυρες συνθῆκαι*
25 *βάσανοι ὅρκος. πρῶτον μὲν οὖν περὶ νόμων εἴπωμεν, πῶς χρηστέον [καὶ προτρέποντα καὶ ἀποτρέποντα] καὶ κατηγοροῦντα καὶ ἀπολογούμενον. φανερὸν γὰρ ὅτι, ἐὰν μὲν ἐναντίος ᾖ ὁ γεγραμμένος τῷ πράγματι, τῷ κοινῷ χρηστέον καὶ τοῖς ἐπιεικεστέροις καὶ δικαιοτέροις. καὶ ὅτι τὸ γνώμῃ*
30 *τῇ ἀρίστῃ τοῦτ' ἐστίν τὸ μὴ παντελῶς χρῆσθαι τοῖς γεγραμμένοις. καὶ ὅτι τὸ μὲν ἐπιεικὲς ἀεὶ μένει καὶ οὐδέποτε μεταβάλλει, οὐδ' ὁ κοινός, κατὰ φύσιν γάρ ἐστιν, οἱ δὲ γεγραμμένοι πολλάκις, ὅθεν εἴρηται τὰ ἐν τῇ Σοφοκλέους Ἀντιγόνῃ· ἀπολογεῖται γὰρ ὅτι ἔθαψε παρὰ τὸν [τοῦ Κρέον-*
35 *τος] νόμον, ἀλλ' οὐ παρὰ τὸν ἄγραφον,*

1375 b *οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε.*
ταῦτ' οὖν ἐγὼ οὐκ ἔμελλον ἀνδρὸς οὐδενός.

19 *ἀζήμια* ex A^c Spengel, *μὴ ἐπιζήμια* Θ Π ‖ 23 *ἴδιαι δὲ* Tr. ‖ 24 *δὲ* om. Θ (pr. Z^b) B C E Ald.; itaque legunt ut est in Y^b: *ἴδιαι γὰρ . . . τῶν δικανικῶν εἰσιν, πέντε τὸν ἀριθμὸν . . .* ‖ 25 *εἴπωμεν περὶ νόμων* Y^b Z^b Π Tr. Ald. ‖ *εἴπωμεν πῶς τοῖς νόμοις* Q ‖ 26 *καὶ προτρέποντα καὶ ἀποτρέποντα*. sic duobus punctis notata in A^c ut delenda, cf. 1372 a, 27 et praefat. pag. XIII., secl. Spengel ‖ 27 *φανερὸν μὲν γὰρ* Z^b E Ald. ‖ post *ἐὰν* om. *μὲν* Z^b C ‖ 28 *νόμῳ* post *κοινῷ* addunt Θ Π Tr., om. A^c, secl. Gaisford, om. Spengel ‖ 29 Sic A^c Spengel, *ἐπιεικέσιν ὡς δικαιοτέροις* Θ Π Tr. schol. cf. 1376 b, 27 ‖ 30 Sic iam ex A^c Vict., nisi quod pro *παντελῶς πάντως* scribit cum Θ Π Tr. schol., qui legunt *τῇ γνώμῃ τῇ ἀρίστῃ χρωμένους τοῦτ' ἐστὶ τὸ μὴ πάντως χρῆσθαι* ‖ 33 *τά* ex A^c Bekker, om. Θ Π Tr. ‖ 34 *ἀπολογεῖσθαι γὰρ* Θ B D E ‖ *ἔθαψε* ex A^c Bekker, *ἔπραξε* Θ Π Tr. ‖ *τὸν* om. Z^b Y^b ‖ *τοῦ Κρέοντος* om. A^c, secl. Spengel ‖ 1375 b, 1 *τι*] *τὸν* A^c pr., sed emendatum *τοι* vel *το* ‖ 2 *ἤμελλον* A^c. Hos duos versus cum Sauppeo male inculcatos censeo. Cf. ad 1415 a, 20.

Digitized by Google

καὶ ὅτι τὸ δίκαιόν ἐστιν ἀληθές τε καὶ συμφέρον, ἀλλ' οὐ τὸ δοκοῦν, ὥστ' οὐ νόμος ὁ γεγραμμένος· οὐ γὰρ ποιεῖ τὸ ἔργον τὸ τοῦ νόμου. καὶ ὅτι ὥσπερ ἀργυρογνώμων ὁ κριτής ἐστιν, ὅπως διακρίνῃ τὸ κίβδηλον δίκαιον καὶ τὸ ἀληθές. καὶ ὅτι βελτίονος ἀνδρὸς τὸ τοῖς ἀγράφοις ἢ τοῖς γεγραμμένοις χρῆσθαι καὶ ἐμμένειν. καὶ εἴ που ἐναντίος νόμῳ εὐδοκιμοῦντι ἢ καὶ αὐτὸς αὑτῷ, οἷον ἐνίοτε ὁ μὲν κελεύει κύρια εἶναι ἅττ' ἂν συνθῶνται, ὁ δ' ἀπαγορεύει μὴ συντίθεσθαι παρὰ τὸν νόμον. καὶ εἰ ἀμφίβολος, ὥστε στρέφειν καὶ ὁρᾶν ἐπὶ ποτέραν τὴν ἀγωγὴν ἢ τὸ δίκαιον ἐφαρμόσει ἢ τὸ συμφέρον, εἶτα τούτῳ χρῆσθαι. καὶ εἰ τὰ μὲν πράγματα ἐφ' οἷς ἐτέθη ὁ νόμος μηκέτι μένει, ὁ δὲ νόμος, πειρατέον τοῦτο δηλοῦν καὶ μάχεσθαι ταύτῃ πρὸς τὸν νόμον. ἐὰν δὲ ὁ γεγραμμένος ᾖ πρὸς τὸ πρᾶγμα, τό τε γνώμῃ τῇ ἀρίστῃ λεκτέον ὅτι οὐ τοῦ παρὰ τὸν νόμον ἕνεκα δικάζειν ἐστίν, ἀλλ' ἵνα, ἐὰν ἀγνοήσῃ τί λέγει ὁ νόμος, μὴ ἐπιορκῇ· καὶ ὅτι οὐ τὸ ἁπλῶς ἀγαθὸν αἱρεῖται οὐδείς, ἀλλὰ τὸ αὑτῷ. καὶ ὅτι οὐδὲν διαφέρει ἢ μὴ κεῖσθαι ἢ μὴ χρῆσθαί. καὶ ὅτι ἐν ταῖς ἄλλαις τέχναις οὐ λυσιτελεῖ παρασοφίζεσθαι τὸν ἰατρόν· οὐ γὰρ τοσοῦτο βλάπτει ἡ ἁμαρτία τοῦ ἰατροῦ ὅσον τὸ ἐθίζεσθαι ἀπειθεῖν τῷ ἄρχοντι. καὶ ὅτι τὸ τῶν νόμων σοφώτερον ζητεῖν εἶναι, τοῦτ' ἐστὶν ὃ ἐν τοῖς ἐπαινουμένοις νόμοις ἀπαγορεύεται. καὶ περὶ μὲν τῶν νόμων οὕτως διωρίσθω.

[περὶ δὲ μαρτύρων] μάρτυρες δέ εἰσιν διττοί, οἱ μὲν

3 ἀληθές τε A^c Spengel, τι ΘΠ Tr. ‖ 9 ἢ] ἤι A^c ‖ καὶ om. ΘΠ Tr. ‖ ὁ μὲν ἐνίοτε ΘΠ ‖ 12 ἐπὶ corr. A^c ‖ ἐπὶ ποτέραν A^c Spengel, ἐφ' ὁποτέραν ΘΠ ‖ 14 ἐφ' οἷς καὶ δι' ἃ Tr. ‖ 15 τὸν νόμον ex A^c Spengel, πρὸς αὑτὸν ΘΠ Tr. ‖ 16 τό τε ex A^c Bekker, τότε priores ‖ 17 ἐστὶν post λεκτέον addunt ΘΠ Tr. ‖ 18 non omittit ἐὰν A^c ‖ ὅτι λέγει ΘΠ ‖ τι ὧν λέγει schol. ‖ ἐπιορκεῖν ΘΠ ‖ 21 οὐ μᾶλλον λυσιτελεῖ (?) Tr. ‖ παρὰ τὸν ἰατρὸν ΘDETr. ‖ οἷον τὸν ἰατρὸν Y^b rec. B schol. ‖ τὸν ἰατρὸν delet Kayser ‖ 23 ἀπιθεῖν A^c pr. corr. ead. man. ‖ 26 Argumentum περὶ μαρτύρων erat indicatum in margine, unde irrepsit in textum. Itaque seclusi. Cf. 1405 a, 5 et infra A^c περὶ τῶν συνθηκῶν in ipsa linea. Cf. Mus. Rhen. N. F. XXXIX p. 502 ‖ διπλοῖ ΘΠ.

Digitized by Google

παλαιοὶ οἱ δὲ πρόσφατοι, καὶ τούτων οἱ μὲν μετέχοντες τοῦ κινδύνου οἱ δ' ἐκτός. λέγω δὲ παλαιοὺς μὲν τούς τε ποιητὰς καὶ ὅσων ἄλλων γνωρίμων εἰσὶν κρίσεις φανεραί, οἷον Ἀθη-
30 *ναῖοι Ὁμήρῳ μάρτυρι ἐχρήσαντο περὶ Σαλαμῖνος καὶ Τενέδιοι ἔναγχος Περιάνδρῳ τῷ Κορινθίῳ πρὸς Σιγειεῖς. καὶ Κλεοφῶν κατὰ Κριτίου τοῖς Σόλωνος ἐλεγείοις ἐχρήσατο, λέγων ὅτι πάλαι ἀσελγὴς ἡ οἰκία· οὐ γὰρ ἄν ποτε ἐποίησε Σόλων*

εἰπεῖν μοι Κριτίᾳ πυρρότριχι πατρὸς ἀκούειν.

35 *περὶ μὲν οὖν τῶν γενομένων οἱ τοιοῦτοι μάρτυρες, περὶ δὲ*
1376a *τῶν ἐσομένων καὶ οἱ χρησμολόγοι, οἷον Θεμιστοκλῆς, ὅτι ναυμαχητέον, τὸ ξύλινον τεῖχος λέγων. ἔτι καὶ αἱ παροιμίαι ὥσπερ εἴρηται, μαρτύρια ἐστίν, οἷον εἴ τις συμβουλεύει μὴ ποιεῖσθαι φίλον γέροντα, τούτῳ μαρτυρεῖ ἡ παροιμία,*

5 *μήποτ' εὖ ἕρδειν γέροντα.*

καὶ τὸ τοὺς υἱοὺς ἀναιρεῖν ὧν καὶ τοὺς πατέρας,

νήπιος ὃς πατέρα κτείνας υἱοὺς καταλείπει.

πρόσφατοι δὲ ὅσοι γνώριμοί τι κεκρίκασιν· χρήσιμοι γὰρ αἱ τούτων κρίσεις τοῖς περὶ τῶν αὐτῶν ἀμφισβητοῦσιν, οἷον Εὔβου-
10 *λος ἐν τοῖς δικαστηρίοις ἐχρήσατο κατὰ Χάρητος ὃ Πλάτων εἶπε πρὸς Ἀρχίβιον, ὅτι ἐπιδέδωκεν ἐν τῇ πόλει τὸ ὁμολογεῖν πονηροὺς εἶναι. καὶ οἱ μετέχοντες τοῦ κινδύνου, ἂν δόξωσι*

28 *μὲν* om. *ΘΠ*Tr. ‖ 30 *τενέδειοι* A^c ‖ 31 *σιγειεῖς* A^c*Θ*BE Ald. ‖ *λεόφρων ΘΠ* ‖ 32 *ἐλεγείοις* corr. A^c ‖ Offendit h. l. *ἐχρήσατο* et fort. delendum, sed cf. 1356a, 19 ‖ 34 *εἰπεῖν τῷ Κριτίᾳ* schol. ‖ *εἰπέμεναι* D in marg. ‖ *πυρότριχι ΘBDE* ‖ 1376a, 1 *καὶ* ante *οἱ* om. Tr. ‖ 2 *τεῖχος λέγων* A^c Gaisford, *τὸ ξύλινον λέγει τεῖχος ΘΠ*Tr. ‖ 3 *εἴρηται* secludit Spengel ‖ *μαρτυρίαι εἰσὶν* C apud Gaisford ‖ *συμβουλεύοι ΘΠ* ‖ 4 *τοῦτο* Tr. ‖ 7 *πατέρα*] *πατέρας* A^c ‖ *παῖδας ΘΠ* ‖ *καταλείποι ΘΠ* ‖ Ceterum quae inde a 1376a, 1—8 sequuntur ab huius disputationis tenore plane abhorrent; aperte enim spectant genus deliberativum, non iudiciale, de quo toto capite agit Aristoteles ‖ 8 *γνώριμόν τι* coni. Kayser ‖ *καὶ κεκρίκασί τι ΘΠ*Tr. ‖ *καὶ αἱ τούτων ΘΠ* ‖ 9 *περὶ τῶν αὐτῶν*] *περὶ τούτων* A^c, *τοιούτων* coni. Spengel ‖ 10 *ἐν τοῖς δικαταῖς* dubitanter coni. Spengel ‖ 10 *ὃ* A^c Q Gaisford, *ᾧ* cet. ‖ 11 *ἀρτίβιον* A^c, *Ἀρχῖνον* coni. Meineke; cf. Kock. Com. fragm. p. 660. 219.

Digitized by Google

ψεύδεσθαι. οἱ μὲν οὖν τοιοῦτοι τούτων μόνον μάρτυρές εἰσιν, εἰ γέγονεν [ἢ μή], εἰ ἔστιν ἢ μή, περὶ δὲ τοῦ ποῖον οὐ μάρτυρες, οἷον εἰ δίκαιον ἢ ἄδικον, εἰ συμφέρον ἢ ἀσύμφορον· οἱ δ' ἄπωθεν καὶ περὶ τοιούτων πιστότατοι. πιστότατοι δ' οἱ παλαιοί· ἀδιάφθοροι γάρ. πιστώματα δὲ περὶ μαρτυριῶν μάρτυρας μὲν μὴ ἔχοντι, ὅτι ἐκ τῶν εἰκότων δεῖ κρίνειν καὶ τοῦτ' ἐστὶ τὸ γνώμῃ τῇ ἀρίστῃ, καὶ ὅτι οὐκ ἔστιν ἐξαπατῆσαι τὰ εἰκότα ἐπὶ ἀργυρίῳ, καὶ ὅτι οὐχ ἁλίσκεται τὰ εἰκότα ψευδομαρτυριῶν· ἔχοντι δὲ πρὸς μὴ ἔχοντα, ὅτι οὐχ ὑπόδικα τὰ εἰκότα, καὶ ὅτι οὐδὲν ἂν ἔδει μαρτυριῶν, εἰ ἐκ τῶν λόγων ἱκανὸν ἦν θεωρῆσαι. εἰσὶ δὲ αἱ μαρτυρίαι αἱ μὲν περὶ αὐτοῦ αἱ δὲ περὶ τοῦ ἀμφισβητοῦντος, καὶ αἱ μὲν περὶ τοῦ πράγματος αἱ δὲ περὶ τοῦ ἤθους, ὥστε φανερὸν ὅτι οὐδέποτ' ἔστιν ἀπορῆσαι μαρτυρίας χρησίμης· εἰ μὴ γὰρ κατὰ τοῦ πράγματος ἢ αὐτῷ ὁμολογουμένης ἢ τῷ ἀμφι-

13 *τούτων* A^c Gaisford, *τῶν τοιούτων ΘΠ* Tr. ‖ *μόνων* Q Tr. om. Ald. ‖ 14 *εἰ* ex A^c Bekker, om. *ΘΠ* Tr. ‖ *ἢ μὴ* om. A^c, secl. Spengel; cf. 1396 a, 9 ‖ 15 *εἰ* om. *ΘΠ* Tr. ‖ *ἢ δίκαιον* A^c pr. alt. man. corr. *εἰ* ‖ *ἢ συμφέρον* A^c ‖ *εἰ ἄδικον ἢ συμφέρον Θ* ‖ 16 Locus difficillimus, sic legitur in A^c: *οἱ δ' ἄπωθεν* (*ω* ex corr?) *καὶ περὶ τοι τούτων* (sic) *ἂν . ἀπίστοτατοι*. (sic) *πιστοτα τ οἱ παλαιοί* ‖ *οἱ δ' ἄποθεν ΘDE* Ald. ‖ *καὶ περὶ τούτων πιστότατοι ΘΠ* ‖ *„remoti autem de his minime credibiles"* Tr. ‖ *οἱ δ' ἄπωθεν . . πιστότατοι* secl. Buhle, *πιστότατοι δ' οἱ παλαιοί* in versione om. Muretus, quod probat Thurot. Vestigia lectionis A^c et Tr. secutus: *περὶ τοιούτων ἂν ἄπιστοι εἶεν· πιστότατοι δὲ* coni. Spengel ‖ *ἀπιστότατοι* duobus punctis notatum deletum voluit librarius in A^c, contra latere videtur in *ἂν* vocabulum eadem significatione, qua *πιστοί* v. gr. *ἀνεξαπάτητοι* vel tale quid, tum apte pergere potest superlationis gradu *πιστότατοι δ' οἱ παλαιοί* ‖ *δὲ οἱ παλαιοί* ex A^c Tr. Vict., *γὰρ ΘBDE* Ald. ‖ *δὲ καὶ οἱ* C ‖ 17 *πιστώματα γὰρ* Y^b Z^b BDE Ald. ‖ *γὰρ* om. Q ‖ *παρὰ* pro *περὶ* Y^b Z^b D Ald. ‖ 19 *καὶ οὐχ ὅτι οὐχ* A^c, sed prius *οὐχ* deletum ‖ *οὐκ ἔστιν* om. *ΘBD* ‖ 20 *ἐξαπατᾶσθαι* Tr. ‖ 21 *ψευδομαρτυριῶν τὰ εἰκότα ΘΠ* Tr. ‖ *πρὸς τὸν μὴ* C ‖ 22 *„probativa"* (*ἀποδεικτικά*) Tr. ‖ *μαρτύρων ΘB* Tr. ‖ 25 *ὅτι* pro *ὥστε* A^c ‖ 27 *ὁμολογουμένως* Y^b Z^b BE Ald.

Digitized by Google

σβητοῦντι ἐναντίας, ἀλλὰ περὶ τοῦ ἤθους ἢ αὐτοῦ εἰς ἐπιείκειαν ἢ τοῦ ἀμφισβητοῦντος εἰς φαυλότητα. τὰ δ' ἄλλα περὶ
30 μάρτυρος ἢ φίλου ἢ ἐχθροῦ ἢ μεταξύ, ἢ εὐδοκιμοῦντος ἢ ἀδοξοῦντος ἢ μεταξύ, καὶ ὅσαι ἄλλαι τοιαῦται διαφοραί, ἐκ τῶν αὐτῶν τόπων λεκτέον ἐξ οἵων περ καὶ τὰ ἐνθυμήματα λέγομεν.

περὶ δὲ τῶν συνθηκῶν τοσαύτη τῶν λόγων χρῆσίς ἐστιν ὅσον αὔξειν ἢ καθαιρεῖν ἢ πιστὰς ποιεῖν ἢ ἀπίστους, ἐὰν
1376b μὲν αὐτῷ ὑπάρχωσι, πιστὰς καὶ κυρίας, ἐπὶ δὲ τοῦ ἀμφισβητοῦντος τοὐναντίον. πρὸς μὲν οὖν τὸ πιστὰς ἢ ἀπίστους κατασκευάζειν οὐδὲν διαφέρει τῆς περὶ τοὺς μάρτυρας πραγματείας· ὁποῖοι γὰρ ἄν τινες ὦσιν οἱ ἐπιγε-
5 γραμμένοι ἢ φυλάττοντες, τούτοις αἱ συνθῆκαι πισταί εἰσιν. ὁμολογουμένης δ' εἶναι τῆς συνθήκης, οἰκείας μὲν οὔσης αὐξητέον· ἡ γὰρ συνθήκη νόμος ἐστὶν ἴδιος καὶ κατὰ μέρος, καὶ αἱ μὲν συνθῆκαι οὐ ποιοῦσι τὸν νόμον κύριον, οἱ δὲ νόμοι τὰς κατὰ νόμους συνθήκας. καὶ ὅλως αὐτὸς ὁ
10 νόμος συνθήκη τις ἐστίν, ὥστε ὅς τις ἀπιστεῖ ἢ ἀναιρεῖ συνθήκην, τοὺς νόμους ἀναιρεῖ. ἔτι δὲ πράττεται τὰ πολλὰ τῶν συναλλαγμάτων καὶ τὰ ἑκούσια κατὰ συνθήκας, ὥστε ἀκύρων γιγνομένων ἀναιρεῖται ἡ πρὸς ἀλλήλους χρεία τῶν ἀνθρώπων. καὶ τἆλλα δὲ ὅσα ἁρμόττει, ἐπιπολῆς ἰδεῖν ἔστιν.
15 ἂν δ' ἐναντία ᾖ καὶ μετὰ τῶν ἀμφισβητούντων, πρῶτον μέν, ἅπερ ἄν τις πρὸς νόμον ἐναντίον μαχέσαιτο, ταῦτα ἁρμόττει· ἄτοπον γὰρ εἰ τοῖς μὲν νόμοις, ἂν μὴ ὀρθῶς κείμενοι ὦσιν ἀλλ' ἐξαμάρτωσιν οἱ τιθέμενοι, οὐκ οἰόμεθα

28 ἢ om. ΘBCDTr. Ald. ‖ 33 περὶ συνθηκῶν argumentum indicans maiusculis litteris in ipsa linea exaratum A^c ‖ τῶν λόγων ex A^c Spengel, τοῦ λόγου cet. ‖ 34 τῷ αὔξειν coni. Spengel ‖ πιστὰ A^c pr. rec. man. adscripsit σ ‖ 1376b, 1 ὑπάρχῃ A^c, cf. variet. ad 1385b, 4, quod fort. et hic ferri potest ‖ 9 νόμους ex A^c Spengel, νόμον ΘΠTr. ‖ 10 ἢ ex A^c Bekker, καὶ ΘΠTr. ‖ 12 τὰς συνθήκας ΘBAld. ‖ 13 ἀναιρεῖται A^c Tr. Vict., ἀνήρηται ΘΠ ‖ 16 ἐναντίον A^c Tr. Vict., ἐναντιούμενον ΘΠ ‖ 18 ἐξαμάρτωσιν A^c Gaisford, ἐξαπατῶσιν ΘΠTr.

Digitized by Google

δεῖν πείθεσθαι, ταῖς δὲ συνθήκαις ἀναγκαῖον. εἶτα ὅτι τοῦ δικαίου ἐστὶ βραβευτὴς ὁ δικαστής· οὔκουν τοῦτο σκεπτέον, ἀλλ' ὡς δικαιότερον. καὶ τὸ μὲν δίκαιον οὐκ ἔστιν μεταστρέψαι οὔτ' ἀπάτῃ οὔτ' ἀνάγκῃ (πεφυκὸς γάρ ἐστιν), συνθῆκαι δὲ γίγνονται καὶ ἐξαπατηθέντων καὶ ἀναγκασθέντων. πρὸς δὲ τούτοις σκοπεῖν εἰ ἐναντία ἐστί τινι τῶν γεγραμμένων νόμων ἢ τῶν κοινῶν, καὶ τῶν γεγραμμένων ἢ τοῖς οἰκείοις ἢ τοῖς ἀλλοτρίοις, ἔπειτα εἰ ἢ ἄλλαις συνθήκαις ὑστέραις ἢ προτέραις· αἱ γὰρ ὕστεραι κύριαι, ἢ αἱ πρότεραι ὀρθαί, αἱ δ' ὕστεραι ἠπατήκασιν, ὁποτέρως ἂν ᾖ χρήσιμον. ἔτι δὲ τὸ συμφέρον ὁρᾶν, εἴ που ἐναντιοῦται τοῖς κριταῖς, καὶ ὅσα ἄλλα τοιαῦτα· καὶ γὰρ ταῦτα εὐθεώρητα ὁμοίως.

αἱ δὲ βάσανοι μαρτυρίαι τινές εἰσιν, ἔχειν δὲ δοκοῦσι τὸ πιστόν, ὅτι ἀνάγκη τις πρόσεστιν. οὔκουν χαλεπὸν οὐδὲ περὶ τούτων εἰπεῖν τὰ ἐνδεχόμενα, ἐξ ὧν ἐάν τε ὑπάρχωσιν οἰκεῖαι αὔξειν ἔστιν, ὅτι ἀληθεῖς μόναι τῶν μαρτυριῶν εἰσὶν αὗται. ἐάν τε ὑπεναντίαι ὦσι καὶ μετὰ τοῦ ἀμφισβητοῦντος, διαλύοι ἄν τις τἀληθῆ λέγων καθ' ὅλου τοῦ γένους τῶν βασάνων· οὐδὲν γὰρ ἧττον ἀναγκαζόμενοι τὰ ψευδῆ λέγουσιν

20 *βραβευτής ἐστιν ΘΠ*Tr. ‖ *οὐκοῦν* A^c pr., sed correctum *οὔκουν* ‖ *ταύτας* pro *τοῦτο* proposuit Spengel ‖ 24 *δεῖ* ad *σκοπεῖν* addit ead. man. in marg. C ‖ *σκοπεῖν* om. Tr. ‖ *τινί ἐστιν ΘΠ* ‖ *ἢ τῶν γεγραμμένων ΘΠ* ‖ 25 Sic ex A^c Bekker, *τῶν γεγραμμένων — ἀλλοτρίοις*] *τοῖς καλοῖς ἢ δικαίοις Θ*(?) ‖ *καὶ τοῖς δικαίοις ἢ καλοῖς Π*(?)Tr. Ald. ‖ 26 *ἔπειτα εἰ*] *ἔτι τε εἰ ἄλλαις Θ Π*Tr. ‖ A^c legit *ἢ ἢ*, unde *εἰ ἢ* scripsi ‖ 27 Sic ex A^c Spengel. Sed propter errores in Cod. A^c *ὁμοιοτελεύτῳ* ortos vix contemnenda videtur lectio codd. *ΘΠ*Tr.: *ἢ γὰρ αἱ ὕστεραι κύριαι, ἄκυροι δ' αἱ πρότεραι, ἢ αἱ πρότεραι ὀρθαί* ‖ Verba *αἱ γὰρ ὕστεραι . . ἠπατήκασι* parenthesin esse vult Kayser ‖ 29 *που* A^c Spengel, *πῃ ΘΠ*Tr. ‖ *ἐναντιοῦνται* Q Y^b pr. D E Ald. ‖ 32 *τὸ πιστὸν* A^c Vict., *πίστιν ΘΠ*Tr. ‖ *ἐστιν* A^c pr., sed ead. man. in marg. addidit *πρός* ‖ *οὔκοῦν* sic A^c ‖ *οὐδὲν* A^c sed ras. ‖ Sic ex A^c Bekker, *οὐδὲν περὶ τούτων ἰδεῖν καὶ τὰ ἐνδεχόμενα εἰπεῖν ΘΠ*Tr. ‖ 1377 a, 1 *αὗται* om. *ΘΠ*Tr., secl. Gaisford ‖ 2 *τἀληθῆ* delet Madvig.

Digitized by Google

ἢ τἀληθῆ, καὶ διακαρτεροῦντες μὴ λέγειν τἀληθῆ, καὶ ῥᾳδίως κα-
5 ταψευδόμενοι ὡς παυσόμενοι θᾶττον. δεῖ δὲ ἔχειν ἐπαναφέρειν
ἐπὶ τοιαῦτα γεγενημένα παραδείγματα ἃ ἴσασιν οἱ κρίνοντες. [δεῖ
δὲ λέγειν ὡς οὐκ εἰσὶν ἀληθεῖς αἱ βάσανοι· πολλοὶ μὲν γὰρ παχύ-
φρονες οἱ καὶ λιθόδερμοι καὶ ταῖς ψυχαῖς ὄντες δυνατοὶ γενναίως
ἐγκαρτεροῦσι ταῖς ἀνάγκαις, οἱ δὲ δειλοὶ καὶ εὐλαβεῖς πρὸ τοῦ τὰς
ἀνάγκας ἰδεῖν αὐτῶν καταθαρροῦσιν, ὥστε οὐδέν ἐστι πιστὸν ἐν
βασάνοις.]

περὶ δ' ὅρκων τετραχῶς ἔστι διελεῖν· ἢ γὰρ δίδωσι καὶ λαμ-
βάνει, ἢ οὐδέτερον, ἢ τὸ μὲν τὸ δ' οὔ, καὶ τούτων ἢ δίδωσιν
10 [μὲν] οὐ λαμβάνει δέ, ἢ λαμβάνει μὲν δίδωσιν δὲ οὔ. ἔτι ἄλλως
παρὰ ταῦτα, εἰ ὀμώμοσται οὗτος ἢ ὑπ' αὐτοῦ ἢ ὑπ' ἐκείνου. οὐ
δίδωσιν μὲν οὖν, ὅτι ῥᾳδίως ἐπιορκοῦσιν, καὶ διότι ὁ μὲν ὀμό-
σας οὐκ ἀποδίδωσιν, τοὺς δὲ μὴ ὀμόσαντος οἴεται καταδικάσειν,
[καὶ] ὡς οὗτος ὁ κίνδυνος κρείττων ὁ ἐν τοῖς δικασταῖς· τοῖς
15 μὲν γὰρ πιστεύει τῷ δ' οὔ. οὐ λαμβάνει δ', ὅτι ἀντὶ χρημά-
των ὅρκος. καὶ ὅτι εἰ ἦν φαῦλος, κατωμόσατο ἄν· κρεῖττον
γὰρ ἂν ἕνεκά του φαῦλον εἶναι ἢ μηδενός· ὀμόσας μὲν οὖν
ἕξει, μὴ ὀμόσας δ' οὔ. οὕτως δὲ δι' ἀρετὴν ἂν εἴη, ἀλλ' οὐ
δι' ἐπιορκίαν τὸ μή· καὶ τὸ τοῦ Ξενοφάνους ἁρμόττει, ὅτι οὐκ

6 „*scripta exempla*" (γεγραμμένα ?) Tr. ‖ 7 Verba inclusa om. QZ^b et pr. Y^bDETr. Aldus; pr. in ed. Venet. apparuerant; expunxit Vict. ‖ παχύφρονες ες corr. A^c ‖ ἐγκαρτεροῦσι γ. corr. A^c ‖ 10 μὲν om. A^cQZ^bTr., secl. Spengel ‖ οὐ δίδωσι δέ QZ^b Π οὐ δίδωσι δ' οὐ Y^b sed οὐ delevit man. rec. ‖ ἔτι corr. A^c (? καὶ ?) ‖ ἄλλως om. Tr. ‖ 11 περὶ ταῦτα ΘDEAld. ‖ καὶ οὗτος ΘΠTr. οὗτος secl. Buhle; an pro οὗτος ὅρκος scribendum? ‖ 12 δίδωσι χρήματα μέν ΘBD ‖ ὅτι pro διότι ΘCDEAld. ‖ 13 τοῦ δὲ pro τοὺς δὲ Madvig ‖ ὀμόσαντος emendavit Vict. et interpretatur schol., ὀμόσαντας libri, ut videtur omnes. (Simile vitium 1404 b, 18. 1416 a, 19.) ‖ καταδικάσειν A^c, non καταδικάζειν, ut Bekker tradit ‖ 14 καὶ delevit Vahlen ‖ 15 πιστεύει A^c, sed post ει erasa littera, ut primitus πιστεύειν fuisse videatur ‖ πιστεύεται Tr. ‖ 17 γὰρ ἂν A^c Spengel, ἂν om. ΘΠTr. ‖ μὲν οὖν A^c Bekker, μὲν γὰρ ΘΠTr. ‖ 18 οὕτως A^cTr. Vict., ὥστε ΘΠ ‖ δὲ δι'] δ' οὐ δι A^c, sed οὐ erasum ‖ οὐ om. Tr. ‖ 19 ἁρμόττειν ΘBDAld., ἁρμόττει cet. et Venet.

Digitized by Google

ἴση πρόκλησις αὕτη ἀσεβεῖ πρὸς εὐσεβῆ, ἀλλ' ὁμοία καὶ 20
εἰ ἰσχυρὸς ἀσθενῆ πατάξαι ἢ πληγῆναι προκαλέσαιτο. εἰ
δὲ λαμβάνει, ὅτι πιστεύει αὐτῷ, ἐκείνῳ δ' οὔ. καὶ τὸ τοῦ
Ξενοφάνους μεταστρέψαντα φατέον οὕτως ἴσον εἶναι ἂν ὁ μὲν
ἀσεβὴς διδῷ, ὁ δ' εὐσεβὴς ὀμνύῃ· δεινόν τε τὸ μὴ θέλειν
αὐτόν, ὑπὲρ ὧν ἐκείνους ἀξιοῖ ὀμόσαντας δικάζειν. εἰ δὲ 25
δίδωσιν, ὅτι εὐσεβὲς τὸ θέλειν τοῖς θεοῖς ἐπιτρέπειν, καὶ
ὅτι οὐδὲν δεῖ αὐτὸν ἄλλων δικαστῶν δεῖσθαι· τούτῳ γὰρ
δίδωσι κρίσιν. καὶ ὅτι ἄτοπον τὸ μὴ θέλειν ὀμνύναι περὶ
ὧν ἄλλους ἀξιοῦσιν ὀμνύναι. ἐπεὶ δὲ καθ' ἕκαστον δῆλον ὅπως
λεκτέον, καὶ συνδυαζομένων πῶς λεκτέον δῆλον, οἷον εἰ 30
αὐτὸς μὲν θέλει λαμβάνειν διδόναι δὲ μή, καὶ εἰ δίδωσι
μὲν λαμβάνειν δὲ μὴ θέλει, καὶ εἰ λαμβάνειν καὶ διδό-
ναι θέλει εἴτε μηδέτερον· ἐκ γὰρ τῶν εἰρημένων ἀνάγκη 1377 b
συγκεῖσθαι, ὥστε καὶ τοὺς λόγους συγκεῖσθαι ἐκ τῶν
εἰρημένων. ἐὰν δὲ ᾖ γεγενημένος ὑπ' αὐτοῦ καὶ ἐναντίος,
ὅτι οὐκ ἐπιορκία· ἑκούσιον γὰρ τὸ ἀδικεῖν, τὸ δ' ἐπιορκεῖν
ἀδικεῖν ἐστί, τὰ δὲ βίᾳ καὶ ἀπάτῃ ἀκούσια. ἐνταῦθα οὖν 5
συνακτέον καὶ τὸ ἐπιορκεῖν, ὅτι ἔστι τὸ τῇ διανοίᾳ ἀλλ' οὐ
τῷ στόματι. ἐὰν δὲ τῷ ἀντιδίκῳ ᾖ ὑπεναντίος καὶ ὀμωμοσμένος,
ὅτι πάντα ἀναιρεῖ μὴ ἐμμένων οἷς ὤμοσεν· διὰ γὰρ τοῦτο

20 πρόσκλησις ΘCEAld. ‖ post ἀσεβεῖ ras. A^c ‖ 21 ἀσθενεῖς Tr. ‖ προσκαλέσαιτο ΘBCEAld. ‖ 23 ἐὰν μὲν ὁ ἀσεβὴς διδῷ ὁ εὐσεβὴς δ' ΘΠ ‖ 24 ἐθέλειν ΘDEAld. ‖ 27 δικαστῶν A^c Gaisford, κριτῶν ΘΠ ‖ τούτῳ γὰρ δίδωσι κρίσιν A^c Gaisford, αὐτῷ γὰρ δίδωσι κρίνειν ΘΠ, αὐτοῖς γὰρ δίδωσι κρίσιν Tr. et similiter schol. Steph. ‖ 29 ἀξιοῦσιν A^c Spengel, ἀξιοῖ ΘΠTr. ‖ δῆλον ὅπως A^c Gaisford, πῶς cet. Spengel ‖ 30 συνδυαζομένων Bonitz, συνδυαζόμενον libri ‖ 1377 b, 1 ἐθέλει A^c(?) cf. supra 24 ‖ 2 Post λόγους ἀνάγκη addunt ΘΠTr. ‖ 3 Sic ἐὰν — ἐναντίος ex A^c et Tr. restituit Vict., nisi quod ὑφ' αὐτοῦ ex A^c retinuit, δῆλον δὲ ἂν ᾖ ἡπατημένος ὑπ' αὐτοῦ ὁ ἐναντίος ΘΠ ‖ 4 ἐπιορκήση A^c, sed duae extremae litterae vix legi possunt ‖ 7 Sic ex A^c Spengel, ἐὰν δὲ τῷ ἀντιδίκῳ ᾖ ὀμωμοσμένος ΘΠTr. Ceterum aut καὶ ὀμωμοσμένος delendum aut locum sic transponendum censet Spengel: ἐὰν δὲ τῷ ἀντιδίκῳ ᾖ ὀμωμοσμένος καὶ ὑπεναντίος ‖ 8 ὁ μὴ ΘΠTr.

Digitized by Google

καὶ τοῖς νόμοις χρῶνται ὀμόσαντες. καὶ ὑμᾶς μὲν ἀξιοῦσιν
10 ἐμμένειν οἷς ὀμόσαντες δικάζετε, αὐτοὶ δὲ οὐκ ἐμμένουσιν.
καὶ ὅσα ἂν ἄλλα αὔξων τις εἴπειεν. [περὶ μὲν οὖν τῶν ἀτέχνων πίστεων εἰρήσθω τοσαῦτα.]

15 B.

1 Ἐκ τίνων μὲν οὖν δεῖ καὶ προτρέπειν καὶ ἀποτρέπειν καὶ ἐπαινεῖν καὶ ψέγειν καὶ κατηγορεῖν καὶ ἀπολογεῖσθαι, καὶ ποῖαι δόξαι καὶ προτάσεις χρήσιμοι πρὸς τὰς τούτων πίστεις, ταῦτ' ἐστίν· περὶ γὰρ τούτων καὶ ἐκ τούτων τὰ ἐνθυ-
20 μήματα, ὡς περὶ ἕκαστον εἰπεῖν ἰδίᾳ τὸ γένος τῶν λόγων. ἐπεὶ δὲ ἕνεκα κρίσεώς ἐστιν ἡ ῥητορική· (καὶ γὰρ τὰς συμβουλὰς κρίνουσι καὶ ἡ δίκη κρίσις ἐστίν) ἀνάγκη μὴ μόνον πρὸς τὸν λόγον ὁρᾶν, ὅπως ἀποδεικτικὸς ἔσται καὶ πιστός, ἀλλὰ καὶ αὐτὸν ποιόν τινα καὶ τὸν κριτὴν κατασκευάζειν·
25 πολὺ γὰρ διαφέρει πρὸς πίστιν, μάλιστα μὲν ἐν ταῖς συμβουλαῖς, εἶτα καὶ ἐν ταῖς δίκαις, τό τε ποιόν τινα φαίνεσθαι τὸν λέγοντα καὶ τὸ πρὸς αὐτοὺς ὑπολαμβάνειν πως διακεῖσθαι αὐτόν, πρὸς δὲ τούτοις ἐὰν καὶ αὐτοὶ διακείμενοί πως τυγχάνωσιν. τὸ μὲν οὖν ποιόν τινα φαίνεσθαι τὸν λέγοντα

9 ἀξιοῦσιν et 10 ἐμμένουσιν ex A^c Gaisford, ἀξιοῦμεν et ἐμμενοῦμεν ΘΠTr. ‖ 10 οἷς ἂν ὀμόσαντες δικάσητε ΘΠ (δικάζητε Π? δικάζητε Z^b et Y^b rec. man. Ald.) ‖ 11 Post εἴπειεν: ~ A^c omittit περὶ μὲν οὖν — τοσαῦτα, quae verba secl. Spengel.

Liber II. 1377b, 15 τέλος ἀριστοτέλους τέχνης ῥητορικῆς ᾱ ἀριστοτέλους τέχνη ῥητορική β A^c, τρίτον N^a V^b et Vaticanus 265, quorum N in margine κατὰ λατίνους ἐντεῦθεν ἄρχεται τὸ β βιβλίον, addit Q κατὰ δὲ ἕλληνας ἄρχεται τὸ γ̄ βιβλίον ‖ 17 ψέγειν καὶ ἐπαινεῖν ΘΠ ‖ 19 ἐκ τοιούτων C ‖ 20 λέγεται post ἐνθυμήματα inserunt ΘΠTr., delevit Bekker ‖ „est dicere propter (proprie?)“ (ἔστιν εἰπεῖν) Tr. ‖ ἐνθυμήματα πρὸς τὸ περὶ ἕκαστον coni. Spengel ‖ 26 εἶτα δὲ ΘΠTr. ‖ τε omissum a Bekkero et Spengelio inserui ex A^c ‖ 28 πως διακεῖσθαι ex A^c Spengel, ἔχειν πως ΘΠTr. schol. cf. praefat. pag. XXXI ‖ δια in διακείμενοι corr. A^c.

Digitized by Google

χρησιμώτερον εἰς τὰς συμβουλάς ἐστιν, τὸ δὲ διακεῖσθαί 30
πως τὸν ἀκροατὴν εἰς τὰς δίκας· οὐ γὰρ ταὐτὰ φαίνεται
φιλοῦσι καὶ μισοῦσιν, οὐδ' ὀργιζομένοις καὶ πράως ἔχουσιν,
ἀλλ' ἢ τὸ παράπαν ἕτερα ἢ κατὰ μέγεθος ἕτερα· τῷ 1378 a
μὲν γὰρ φιλοῦντι, περὶ οὗ ποιεῖται τὴν κρίσιν, ἢ οὐκ ἀδικεῖν
ἢ μικρὰ δοκεῖ ἀδικεῖν, τῷ δὲ μισοῦντι τοὐναντίον· καὶ τῷ
μὲν ἐπιθυμοῦντι καὶ εὐέλπιδι ὄντι, ἐὰν ᾖ τὸ ἐσόμενον ἡδύ,
καὶ ἔσεσθαι καὶ ἀγαθὸν ἔσεσθαι φαίνεται, τῷ δ' ἀπαθεῖ καὶ 5
δυσχεραίνοντι τοὐναντίον.

τοῦ μὲν οὖν αὐτοὺς εἶναι πιστοὺς τοὺς λέγοντας τρία ἐστὶ
τὰ αἴτια· τοσαῦτα γάρ ἐστι δι' ἃ πιστεύομεν ἔξω τῶν ἀπο-
δείξεων. ἔστι δὲ ταῦτα φρόνησις καὶ ἀρετὴ καὶ εὔνοια· διαψεύ-
δονται γὰρ περὶ ὧν λέγουσιν ἢ συμβουλεύουσιν ἢ δι' ἅπαντα 10
ταῦτα ἢ διὰ τούτων τι· ἢ γὰρ δι' ἀφροσύνην οὐκ ὀρθῶς δοξά-
ζουσιν, ἢ δοξάζοντες ὀρθῶς διὰ μοχθηρίαν οὐ τὰ δοκοῦντα
λέγουσιν, ἢ φρόνιμοι μὲν καὶ ἐπιεικεῖς εἰσὶν ἀλλ' οὐκ εὔνοι,
διόπερ ἐνδέχεται μὴ τὰ βέλτιστα συμβουλεύειν γιγνώσκοντας.
καὶ παρὰ ταῦτα οὐδέν. ἀνάγκη ἄρα τὸν ἅπαντα δοκοῦντα ταῦτ' 15
ἔχειν εἶναι τοῖς ἀκροωμένοις πιστόν. ὅθεν μὲν οὖν φρόνιμοι
καὶ σπουδαῖοι φανεῖεν ἄν, ἐκ τῶν περὶ τὰς ἀρετὰς διῃρημέ-
νων ληπτέον· ἐκ γὰρ τῶν αὐτῶν κἂν ἕτερόν τις κἂν ἑαυ-
τὸν κατασκευάσειε τοιοῦτον· περὶ δ' εὐνοίας καὶ φιλίας ἐν
τοῖς περὶ τὰ πάθη λεκτέον· ἔστι δὲ τὰ πάθη δι' ὅσα με- 20
ταβάλλοντες διαφέρουσι πρὸς τὰς κρίσεις, οἷς ἕπεται λύπη

1378 a, 1 κατὰ τὸ μέγεθος ΘBEAld. ‖ τωι A^c, sed ι in litura ‖ 3 δοκεῖν A^c ‖ 4 μὲν—7 τοῦ om. Q ‖ ὄντι A^c Vict., om. Y^b Z^b ΠAld. ‖ 5 alterum ἔσεσθαι om. BC ‖ ἀπαθεῖ ex A^c Vict., ἀπειθεῖ Z^b BDE schol. Ald. ‖ 7 εἰσὶ τὰ ΘCDAld. ‖ 10 δὴ pro γὰρ C ‖ δι' ἅπαντα ex A^c Spengel, διὰ πάντα ΘΠ ‖ 11 τοῦτο δοξάζουσιν ΘΠTr., τοῦτο delevit Buhle ‖ 16 οὖν ex A^c Spengel, τοίνυν ΘBDEAld. ‖ 18 ἐκ γὰρ τῶν αὐτῶν A^c Gaisford, ἐκ τῶν αὐτῶν γὰρ ΘΠ ‖ 20 Post λεκτέον addunt νῦν ΘΠ νῦν λεκτέον Tr., νῦν recte secl. Gaisford, om. Spengel; cf. Poet. 1449 b, 22 et Rhet. 1396 b, 20, ubi etiam Spengelii coniectura facile caremus. Cf. Mus. Rhen. N. F. XXXIX pag. 502.

Digitized by Google

καὶ ἡδονή, οἷον ὀργὴ ἔλεος φόβος καὶ ὅσα ἄλλα τοιαῦτα, καὶ τὰ τούτοις ἐναντία. δεῖ δὲ διαιρεῖν περὶ ἕκαστον εἰς τρία, λέγω δ' οἷον περὶ ὀργῆς, πῶς τε διακείμενοι ὀργίλοι
25 εἰσί, καὶ τίσιν εἰώθασιν ὀργίζεσθαι, καὶ ἐπὶ ποίοις· εἰ γὰρ τὸ μὲν ἓν ἢ τὰ δύο ἔχοιμεν τούτων, ἅπαντα δὲ μή, ἀδύνατον ἂν εἴη τὴν ὀργὴν ἐμποιεῖν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ὥσπερ οὖν καὶ ἐπὶ τῶν προειρημένων διεγράψαμεν τὰς προτάσεις, οὕτω καὶ περὶ τούτων ποιήσωμεν καὶ διέλω-
30 μεν τὸν εἰρημένον τρόπον.

2 ἔστω δὴ ὀργὴ ὄρεξις μετὰ λύπης τιμωρίας φαινομένης διὰ φαινομένην ὀλιγωρίαν τῶν εἰς αὐτὸν ἢ τῶν αὐτοῦ, τοῦ ὀλιγωρεῖν μὴ προσήκοντος. εἰ δὴ τοῦτ' ἐστὶν ἡ ὀργή, ἀνάγκη τὸν ὀργιζόμενον ὀργίζεσθαι ἀεὶ τῶν καθ' ἕκαστόν
35 τινι, οἷον Κλέωνι ἀλλ' οὐκ ἀνθρώπῳ, καὶ ὅτι αὐτὸν ἢ τῶν
1378 b αὐτοῦ τι πεποίηκεν ἢ ἤμελλεν, καὶ πάσῃ ὀργῇ ἕπεσθαί τινα ἡδονὴν τὴν ἀπὸ τῆς ἐλπίδος τοῦ τιμωρήσασθαι· ἡδὺ μὲν γὰρ τὸ οἴεσθαι τεύξεσθαι ὧν ἐφίεται, οὐδεὶς δὲ τῶν φαινομένων ἀδυνάτων ἐφίεται αὐτῷ, ὁ δὲ ὀργιζόμενος ἐφίεται
5 δυνατῶν αὐτῷ. διὸ καλῶς εἴρηται περὶ θυμοῦ

23 τὰ περὶ ἕκαστον ΘΠ Tr., τὰ om. A^c Spengel || 28 ἐπὶ] περὶ Ald. || 29 περὶ τούτων ex A^c (et sic C) et Tr. Spengel, ἐπὶ τούτων cet. et schol. || 30 διέλωμεν καὶ λέγωμεν Tr. cf. 1368 b, 6 || 31 περὶ ὀργῆς A^c marg. || δ' ἡ Q Z^b D E || δὴ ἡ C || φαινομένης secl. Spengel (at cf. 1382 a, 8 sqq.) || 32 τῶν ante εἰς om. C || τῶν εἰς αὐτὸν ἢ αὐτὸς ἢ τῶν αὐτοῦ A^c pr., unde scripsit Spengel τῶν εἰς αὐτὸν ἢ αὐτοῦ ἢ τῶν αὐτοῦ, at verba ἢ αὐτὸς perducta linea deleta sunt || ἢ εἰς αὐτοῦ τινα ΘΠ Tr. (at cf. 1386 a, 2 et 3) || 33 τοῦ ὀλιγωρεῖν μὴ προσήκοντος ex A^c Bekker, μὴ προσηκόντως ΘΠ Tr. omisso τοῦ ὀλιγωρεῖν || εἰ δὴ ex A^c Vict., ἐπεὶ δὲ ΘCDE Tr. Ald., ἐπεὶ δὴ B || ἡ om. ΘC D E Ald. || 35 καὶ om. C || 1378 b, 1 αὐτοῦ τινά τι C, cf. supra ad 32 || ἔμελλε ΘD Ald. || an καί τινα ἡδονὴν ut infra ? || 2 τῆς ἀπὸ A^c || 3 γὰρ οὐδεὶς — 4 ὀργιζόμενος ἐφίεται om. Z^b || οὐδεὶς δὲ Y^b (a. m.). || 4 αὐτῷ ex codd. (A^c et Tr.) Vict., om. Q Y^b pr. D E Ald. et in versione Muretus, quod probat Ussing || 5 αὐτῷ δυνατῶν ΘΠ Tr. Verba δυνατῶν αὐτῷ in versione omisit Muretus, Spengelio

Digitized by Google

ὅς τε πολὺ γλυκίων μέλτιος καταλειβομένοιο
ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται·

ἀκολουθεῖ γὰρ καὶ ἡδονή τις διά τε τοῦτο καὶ διότι διατρίβουσιν ἐν τῷ τιμωρεῖσθαι τῇ διανοίᾳ· ἡ οὖν τότε γινομένη φαντασία ἡδονὴν ἐμποιεῖ, ὥσπερ ἡ τῶν ἐνυπνίων. ἐπεὶ δὲ ἡ ὀλιγωρία ἐστὶν ἐνέργεια δόξης περὶ τὸ μηδενὸς ἄξιον φαινόμενον· καὶ γὰρ τὰ κακὰ καὶ τἀγαθὰ ἄξια οἰόμεθα σπουδῆς εἶναι, καὶ τὰ συντείνοντα πρὸς αὐτά· ὅσα δὲ μηδέν τι ἢ μικρόν, οὐδενὸς ἄξια ὑπολαμβάνομεν· τρία δ' ἐστὶν εἴδη ὀλιγωρίας, καταφρόνησίς τε καὶ ἐπηρεασμὸς καὶ ὕβρις· ὅ τε γὰρ καταφρονῶν ὀλιγωρεῖ (ὅσα γὰρ οἴονται μηδενὸς ἄξια, τούτων καταφρονοῦσιν, τῶν δὲ μηδενὸς ἀξίων ὀλιγωροῦσιν) καὶ ὁ ἐπηρεάζων [φαίνεται καταφρονεῖν·] ἔστιν γὰρ ὁ ἐπηρεασμὸς ἐμποδισμὸς ταῖς βουλήσεσιν μὴ ἵνα τι αὐτῷ ἀλλ' ἵνα μὴ ἐκείνῳ. ἐπεὶ οὖν οὐχ ἵνα αὐτῷ τι, ὀλιγωρεῖ· δῆλον γὰρ ὅτι οὔτε βλάψειν ὑπολαμβάνει, ἐφοβεῖτο γὰρ ἂν καὶ οὐκ ὠλιγώρει, οὔτ' ὠφελῆσαι ἂν οὐδὲν ἄξιον λόγου, ἐφρόντιζε γὰρ ἂν ὥστε φίλος εἶναι. καὶ ὁ ὑβρίζων δὲ ὀλιγωρεῖ· ἔστι γὰρ ὕβρις τὸ πράττειν καὶ λέγειν ἐφ' οἷς αἰσχύνη ἐστὶν τῷ πάσχοντι, μὴ ἵνα τι γίγνηται

totum membrum ὁ δὲ ὀργιζόμενος — αὐτῷ aliena manu illatum videtur ‖ 6 στήθεσιν A^cB ‖ 8 ἐγγιγνομένη et 9 ποιεῖ ΘΠTr. ‖ 9 ἡ in litura in A^c, videtur fuisse εἰ τῶν ‖ 12 πρὸς ταῦτα ΘΠ, om. Tr. ‖ 13 Sic Bekker ex A^c, μηδὲν ἢ πάνυ μικρά ΘΠTr. schol. ‖ δ' om. ΘBCDAld., quod probat Thurot ‖ 15 Sic Gaisford ex A^c, ἃ γὰρ ΘΠTr., qui etiam εἶναι addunt post ἄξια ‖ 16 μηδενὸς ἀξίων Codd. omnes et Tr., καταφρονουμένων Bekker[3], τῶν δὲ μηδενὸς ἀξίων καταφρονοῦντες ὀλιγωροῦσιν coni. Spengel; cf. et varietat. ad 1363b, 20 ‖ 17 καταφρονεῖν] ὀλιγωρεῖν E et marg. ed. Venetae ‖ φαίνεται καταφρονεῖν delevit Vahlen ‖ 18 μὴ ἵνα τι scripsi ex A^c, οὐχ ΘΠ schol. cf. infra 24. 1381a, 5 et b, 37. 1385a, 19. 1386b, 21. 1387b, 23. 1393b, 6 et Mus. Rhen. N. F. XXXIX pag. 502 ‖ 21 ἂν om. ΘBDEAld. ‖ post prius ἂν ras. in A^c ‖ καὶ οὐκ ὠλιγώρει delet Hayduck ‖ 23 πράττειν καὶ λέγειν ex A^c Gaisford, βλάπτειν καὶ λυπεῖν cet. cf. praefat. pag. XXXI ‖ 24 γίγνηται ex A^c Gaisford, γένηται ΘΠTr.

Digitized by Google

25 αὐτῷ ἄλλο ἢ ὅτι ἐγένετο, ἀλλ' ὅπως ἡσθῇ· οἱ γὰρ ἀντιποιοῦντες οὐχ ὑβρίζουσιν ἀλλὰ τιμωροῦνται. αἴτιον δὲ τῆς ἡδονῆς τοῖς ὑβρίζουσιν, ὅτι οἴονται κακῶς δρῶντες αὐτοὺς ὑπερέχειν μᾶλλον. διὸ οἱ νέοι καὶ οἱ πλούσιοι ὑβρισταί· ὑπερέχειν γὰρ οἴονται ὑβρίζοντες. ὕβρεως δὲ ἀτιμία, ὁ δ' ἀτιμάζων ὀλιγωρεῖ· τὸ γὰρ μηδενὸς ἄξιον οὐδεμίαν ἔχει τιμήν, οὔτε ἀγαθοῦ οὔτε κακοῦ. διὸ λέγει ὀργιζόμενος ὁ Ἀχιλλεύς

ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς

καὶ

ὡς εἴ τιν' ἀτίμητον μετανάστην,

ὡς διὰ ταῦτα ὀργιζόμενος. προσήκειν δὲ οἴονται πολυωρεῖσθαι ὑπὸ τῶν ἡττόνων κατὰ γένος, κατὰ δύναμιν, κατ' ἀρετήν, καὶ ὅλως ἐν ᾧ ἂν ταῦτα ὑπερέχῃ πολύ, οἷον ἐν χρήμασιν ὁ πλούσιος πένητος καὶ ἐν τῷ λέγειν ῥητορικὸς ἀδυνάτου εἰπεῖν καὶ ἄρχων ἀρχομένου καὶ ἄρχειν ἄξιος οἰόμενος τοῦ ἄρχεσθαι ἀξίου. διὸ εἴρηται

θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων

καὶ

ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον·

ἀγανακτοῦσι γὰρ διὰ τὴν ὑπεροχήν. ἔτι ὑφ' ὧν τις οἴεται εὖ πάσχειν δεῖν· οὗτοι δ' εἰσὶν οὓς εὖ πεποίηκεν ἢ ποιεῖ, αὐτὸς ἢ δι' αὐτόν τις ἢ τῶν αὐτοῦ τις, ἢ βούλεται ἢ ἐβουλήθη.

φανερὸν οὖν ἐκ τούτων ἤδη πᾶς τε ἔχοντες ὀργίζονται αὐτοὶ καὶ τίσιν καὶ διὰ ποῖα. αὐτοὶ μὲν γάρ, ὅταν λυπῶνται·

25 ἢ ὅτι ἐγένετο om Tr. et alt. man. delet Y^b ‖ αὐτῷ τῷ δρῶντι ἄλλο, ἀλλ' ὅπως B C omisso ἢ ὅτι ἐγένετο ‖ 28 καὶ οἱ νέοι Tr. ‖ 29 ὁ γὰρ ἀτιμάζων Tr. ‖ 31 οὔτε κακοῦ οὔτε ἀγαθοῦ Θ Π Tr. ‖ 32 Post αὐτὸς addunt ἀπούρας Θ Π Tr. ‖ καὶ om. C ‖ 34 πολυωρῆσθαι A^c ‖ 1379 a, 1 ἐν ᾧ ἂν ταῦτα ὑπερέχει πολύ A^c ‖ ἐν ᾧ ἂν ταύτῳ ὑπερέχῃ πολύ Q Z^b D E Ald. ταὐτὸ B Y^b „et totaliter in ipso (in ipso om. M), in quo excedunt multum" Tr. ‖ Pro ταῦτα, quod intellegi non potest, αὐτός C ἕκαστος margo ed. Morel. in Bibliotheca Bodleiana et sic vertit Muretus ‖ ἐν ᾧ ἄν τις ὑπερέχῃ πολύ coni. Spengel ‖ 6 ἀλλά τε $A^c Y^b$ Z^b, γε cet. Spengel ‖ ὄφρα τελέσσῃ addunt Q E ‖ 7 ἀφ' ὧν E et Y^b pr. Ald. ἐφ' Z^b ‖ 9 ἢ ante αὐτὸς om. A^c, itaque cum Gaisfordio delevi, ἢ αὐτὸς ἢ τῶν αὐτοῦ τις ἢ δι' αὐτοῦ Θ Π Tr. (δι' αὐτὸν) Tr.

Digitized by Google

ἐφίεται γάρ τινος ὁ λυπούμενος· ἐάν τε οὖν κατ' εὐθυωρίαν ὁτιοῦν ἀντικρούσῃ τις, οἷον τῷ διψῶντι πρὸς τὸ πιεῖν, ἐάν τε μή, ὁμοίως ταὐτὸ φαίνεται ποιεῖν· καὶ ἐάν τε ἀντιπράττῃ τις ἐάν τε μὴ συμπράττῃ ἐάν τε ἄλλο τι ἐνοχλῇ οὕτως ἔχοντα, πᾶσιν ὀργίζεται. διὸ κάμνοντες, πενόμενοι, ⟨πολεμοῦν- 15
τες⟩, ἐρῶντες, διψῶντες, ὅλως ἐπιθυμοῦντές τι καὶ μὴ κατορθοῦν-
τες ὀργίλοι εἰσὶ καὶ εὐπαρόρμητοι, μάλιστα μὲν πρὸς τοὺς τοῦ παρόντος ὀλιγωροῦντας, οἷον κάμνων μὲν τοῖς πρὸς τὴν νόσον, πενόμενος δὲ τοῖς πρὸς τὴν πενίαν, πολεμῶν δὲ τοῖς πρὸς τὸν πόλεμον, ἐρῶν δὲ τοῖς πρὸς τὸν ἔρωτα, ὁμοίως 20
δὲ καὶ τοῖς ἄλλοις ... προωδοποίηται· γὰρ ἕκαστος πρὸς τὴν ἑκάστου ὀργὴν ὑπὸ τοῦ ὑπάρχοντος πάθους· ἔτι δ' ἐὰν τἀναντία τύχῃ προσδεχόμενος· λυπεῖ γὰρ μᾶλλον τὸ πολὺ παρὰ δόξαν, ὥσπερ καὶ τέρπει τὸ πολὺ παρὰ δόξαν, ἐὰν γένηται ὃ βούλεται. διὸ καὶ ὧραι καὶ χρόνοι καὶ διαθέσεις καὶ 25

11 Sic Gaisford ex A^c, ἐάν τε κατ' εὐθυωρίαν οὖν ἀντικρούῃ ΘΠ Ald. ‖ 13 ὁμοίως om. Tr. ‖ 15 ἔχοντα A^c, sed τα fort. ex corr., ἔχον $Y^b Z^b$ Π Ald. schol., ἔχων Q Tr. (?) ‖ τοῖς πᾶσιν ΘΠ, unde οὕτως ἔχων τούτοις πᾶσιν ὀργίζεται coni. Spengel, πᾶσι τούτοις schol. ‖ πολεμοῦντες inseruit Bekker[3]. Schol. contra in sequentibus πολεμῶν δὲ τοῖς πρὸς τὸν πόλεμον non interpretatur. Cf. etiam 1391 a, 4, ubi σόλοικοι antea ab eo non commemoratum, et adnotat. critic. ad 1392 a, 32 ‖ 16 τι ex A^c Spengel, om. cet. ‖ 17 μὲν om. A^c ‖ πρὸς τοὺς παρόντας ὀλιγωροῦντας A^c, sed utrumque ας ex corr. ‖ 21 Lacunae signa posui post ἄλλοις, ad quam explendam vetusta Tr. (cod. m.) haec nobis verba suppeditat: „*si autem non, et quodcunque aliud parvipendat quis*", unde Graece elicias „*εἰ δὲ μή, καὶ ⟨ἐὰν* vel *ἂν⟩ ὁτιοῦν ἄλλο ὀλιγωρῇ τις*". Sic εἰ δὲ μὴ et optime respondet antecedenti μάλιστα μὲν et sequens sententia προωδοποίηται — — πάθους, quae aliter intellegenda videtur, ac vulgo interpretatur (cf. schol. ad h. l.), huius enuntiati sensum egregie illustrat. Hanc loquendi formulam usitatam Aristoteli invenies etiam 1372 a, 14. 1385 a, 29. 1387 a, 35—36. 1398 b, 20 et passim. Praeterea cf. varietatem ex Tr. ad 1374 a, 16. 1409 a, 23 (1408 a, 30?) ‖ προωδοποίηται ex A^c Bekker, προοδοποίηται $Y^b Z^b$ προοδοποιεῖται Π Tr. Ald. ‖ 23 et 24 τὸ πολὺ καὶ παρὰ δόξαν ΘΠ, καὶ om. A^c Tr. Vict. ‖ 24 Sic Vict. ex A^c et Tr., ἐὰν γὰρ ΘDE Ald. ‖ 25 καὶ χρόνοι καὶ ὧραι Tr.

Digitized by Google

ἡλικίαι ἐκ τούτων φανεραί, ποῖαι εὐκίνητοι πρὸς ὀργὴν καὶ ποῦ καὶ πότε, καὶ ὅτε μᾶλλον ἐν τούτοις εἰσί, μᾶλλον καὶ εὐκίνητοι.

αὐτοὶ μὲν οὖν οὕτως ἔχοντες εὐκίνητοι πρὸς ὀργήν, ὀργίζονται δὲ τοῖς τε καταγελῶσι καὶ χλευάζουσιν καὶ σκώ-
30 πτουσιν· ὑβρίζουσι γάρ. καὶ τοῖς τὰ τοιαῦτα βλάπτουσιν ὅσα ὕβρεως σημεῖα. ἀνάγκη δὲ τοιαῦτα εἶναι ἃ μήτε ἀντί τινος μήτ' ὠφέλιμα τοῖς ποιοῦσιν· ἤδη γὰρ δοκεῖ δι' ὕβριν. καὶ τοῖς κακῶς λέγουσι καὶ καταφρονοῦσι περὶ ὧν αὐτοὶ μάλιστα σπουδάζουσιν, οἷον οἱ ἐπὶ φιλοσοφίᾳ φιλοτιμούμενοι ἐάν τις εἰς
35 τὴν φιλοσοφίαν, οἱ δ' ἐπὶ τῇ ἰδέᾳ ἐάν τις εἰς τὴν ἰδέαν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων: ταῦτα δὲ πολλῷ μᾶλλον, ἐὰν ὑποπτεύσωσι μὴ ὑπάρχειν αὐτοῖς, ἢ ὅλως ἢ μὴ ἰσχυρῶς, ἢ
1379b μὴ δοκεῖν· ἐπειδὰν γὰρ σφόδρα οἴωνται ὑπάρχειν [ἐν τούτοις] ἐν οἷς σκώπτονται, οὐ φροντίζουσιν. καὶ τοῖς φίλοις μᾶλλον ἢ τοῖς μὴ φίλοις· οἴονται γὰρ προσήκειν μᾶλλον πάσχειν εὖ ὑπ' αὐτῶν ἢ μή. καὶ τοῖς εἰθισμένοις τιμᾶν ἢ
5 φροντίζειν, ἐὰν πάλιν μὴ οὕτως ὁμιλῶσιν· καὶ γὰρ ὑπὸ τούτων οἴονται καταφρονεῖσθαι· ταὐτὰ γὰρ ἂν ποιεῖν. καὶ τοῖς μὴ ἀντιποιοῦσιν εὖ, μηδὲ τὴν ἴσην ἀνταποδιδοῦσιν. καὶ τοῖς τἀναντία ποιοῦσιν αὐτοῖς, ἐὰν ἥττους ὦσιν· καταφρονεῖν γὰρ πάντες οἱ τοιοῦτοι φαίνονται, καὶ οἱ μὲν ὡς ἡττόνων οἱ
10 δ' ὡς παρὰ ἡττόνων. καὶ τοῖς ἐν μηδενὶ λόγῳ οὖσιν, ἄν τι ὀλιγωρῶσι, μᾶλλον· ὑπόκειται γὰρ ἡ ὀργὴ τῆς ὀλιγωρίας

26 Sic Bekker ex A^c, καὶ πότε καὶ ποῦ $Y^b Z^b \Pi$ Tr. ‖ καὶ ποῦ — 28 ὀργήν om. Q ‖ 27 Sic Spengel ex A^c, καὶ ὅτι ὅτε $\Theta \Pi$ Tr. ‖ 33 περὶ ἃ $\Theta \Pi$ schol., ὧν A^c Spengel; cf. 1355b, 29 sqq. ‖ 1379b, 1 γὰρ A^c Tr. Gaisford, δὲ $\Theta \Pi$ ‖ οἴηται sic A^c, Z^b ‖ ἐν τούτοις seclusit Spengel, ἑαυτοῖς vel αὐτοῖς coni. Fr. A. Wolf, an ὑπερέχειν ἐν τούτοις? cf. Mus. Rhen. N. F. XXXIX pag. 502 ‖ 4 πάσχειν εὖ ὑπ' αὐτῶν A^c, ὑπ' αὐτῶν εὖ πάσχειν $\Theta \Pi$ Tr. cf. 1365b, 4. 1383a, 24 ‖ τιμᾶν μᾶλλον Ald. ‖ 6 τοῦτο Y^b pr. Z^b ταὐτόν Q D E Ald. ‖ ἔδει ποιεῖν C et schol. ‖ 7 ἀνταποδιδοῦσι ex codd. (A^c) Vict., ἀποδιδοῦσι Θ D Ald. (ἀντ ἀποδιδοῦσι Y^b a. m).

Digitized by Google

πρὸς τοὺς μὴ προσήκοντας, προσήκει δὲ τοῖς ἥττοσι μὴ ὀλιγωρεῖν· τοῖς δὲ φίλοις, ἐάν τε μὴ εὖ λέγωσιν ἢ ποιῶσιν, καὶ ἔτι μᾶλλον ἐὰν τἀναντία, καὶ ἐὰν μὴ αἰσθάνωνται δεομένων, ὥσπερ ὁ Ἀντιφῶντος Πλήξιππος τῷ Μελεάγρῳ· 15 ὀλιγωρίας γὰρ τὸ μὴ αἰσθάνεσθαι σημεῖον· ὧν γὰρ φροντίζομεν, οὐ λανθάνει. καὶ τοῖς ἐπιχαίρουσι ταῖς ἀτυχίαις καὶ ὅλως εὐθυμουμένοις ἐν ταῖς αὐτῶν ἀτυχίαις· ἢ γὰρ ἐχθροῦ ἢ ὀλιγωροῦντος σημεῖον. καὶ τοῖς μὴ φροντίζουσιν ἐὰν λυπήσωσιν· διὸ καὶ τοῖς κακὰ ἀγγέλλουσιν ὀργίζονται. 20 καὶ τοῖς ἢ ἀκούουσι περὶ αὐτῶν ἢ θεωμένοις τὰ αὐτῶν φαῦλα· ὅμοιοι γάρ εἰσιν ἢ ὀλιγωροῦσιν ἢ ἐχθροῖς· οἱ γὰρ φίλοι συναλγοῦσιν, θεώμενοι δὲ τὰ οἰκεῖα φαῦλα πάντες ἀλγοῦσιν. ἔτι τοῖς ὀλιγωροῦσι πρὸς πέντε, πρὸς οὓς φιλοτιμοῦνται, [πρὸς] οὓς θαυμάζουσιν, ὑφ' ὧν βούλονται θαυμάζεσθαι, ἢ οὓς αἰσχύνονται, ἢ ἐν τοῖς αἰσχυνομένοις αὐτούς· 25 ἄν τις ἐν τούτοις ὀλιγωρῇ, ὀργίζονται μᾶλλον. καὶ τοῖς εἰς τὰ τοιαῦτα ὀλιγωροῦσιν ὑπὲρ ὧν αὐτοῖς αἰσχρὸν μὴ βοηθεῖν, οἷον γονεῖς, τέκνα, γυναῖκας, ἀρχομένους. καὶ τοῖς χάριν μὴ ἀποδιδοῦσιν· παρὰ τὸ προσῆκον γὰρ ἡ ὀλιγωρία. 30 καὶ τοῖς εἰρωνευομένοις πρὸς σπουδάζοντας· καταφρονητικὸν γὰρ ἡ εἰρωνεία. καὶ τοῖς τῶν ἄλλων εὐποιητικοῖς, ἐὰν μὴ καὶ αὐτῶν· καὶ γὰρ τοῦτο καταφρονητικόν, τὸ μὴ ἀξιοῦν ὧν πάντας καὶ αὐτόν. ποιητικὸν δ' ὀργῆς καὶ ἡ λήθη, οἷον καὶ ἡ τῶν ὀνομάτων οὕτως οὖσα περὶ μικρόν· ὀλιγωρίας γὰρ 35

12 μὴ ante προσήκοντας ex codd. (A^c et Tr.) addidit Vict., om. Y^b Z^b Π schol. Ald. ‖ 18 ἐφθυμουμένοις sic A^c ‖ ἑαυτῶν ΘΠ ‖ 20 καὶ om. Tr. ‖ 21 ἀμελῶς ad ἀκούουσι addit Kayser ‖ 23 θεόμενοι A^c ‖ 25 πρὸς delevit Spengel (?) ‖ 26 ἢ πρὸς οὓς ΘΠ Tr. ‖ 27 Sic Gaisford ex A^c, ἐν τούτοις ἐάν τις ὀλιγωρῇ ΘΠ Tr. ‖ 28 εἰς ταῦτα B C ‖ 29 βοηθεῖν ex A^c et Tr. Vict., βοηθοῦσιν ΘB D Ald. ‖ 29—30 Ut hic locus differat a superiore lin. 6 sqq. pro χάριν scribendum censeo χαίρειν. Cf. Xen. memorab. III, 13, 1, et Mus. Rhen. N. F. XXXIX pag. 503 ‖ 31 εἰρηνευομένοις A^c pr., sed emendavit man. rec. ‖ πρὸς τοὺς ΘΠ schol. cf. 1380 a, 26 ‖ 35 Sic Bekker ex A^c, ἡ et οὕτως om. ΘΠ ‖ περὶ A^c pr., nunc ex corr. παρά, ut in QB.

Digitized by Google

δοκεῖ καὶ ἡ λήθη σημεῖον εἶναι· δι' ἀμέλειαν μὲν γὰρ ἡ λήθη γίγνεται, ἡ δ' ἀμέλεια ὀλιγωρία τίς ἐστιν. οἷς μὲν οὖν
1380 a ὀργίζονται καὶ ὡς ἔχοντες καὶ διὰ ποῖα, ἅμα εἴρηται· δῆλον δ' ὅτι δέοι ἂν κατασκευάζειν τῷ λόγῳ τοιούτους οἷοι ὄντες ὀργίλως ἔχουσιν, καὶ τοὺς ἐναντίους τούτοις ἐνόχους ὄντας ἐφ' οἷς ὀργίζονται, καὶ τοιούτους οἵοις ὀργίζονται.
3 5 ἐπεὶ δὲ τῷ ὀργίζεσθαι ἐναντίον τὸ πραΰνεσθαι καὶ ὀργῆ πραότης, ληπτέον πῶς ἔχοντες πρᾶοί εἰσι καὶ πρὸς τίνας πράως ἔχουσι καὶ διὰ τίνων πραΰνονται. ἔστω δὴ πράυνσις κατάστασις καὶ ἠρέμησις ὀργῆς. εἰ οὖν ὀργίζονται τοῖς ὀλιγωροῦσιν, ὀλιγωρία δ' ἑκούσιον, φανερὸν ὅτι καὶ τοῖς
10 μηδὲν τούτων ποιοῦσιν ἢ ἀκουσίως ποιοῦσιν ἢ φαινομένοις τοιούτοις πρᾶοι εἰσίν. καὶ τοῖς τἀναντία ὧν ἐποίησαν βουλομένοις. καὶ ὅσοι καὶ αὐτοὶ εἰς αὐτοὺς τοιοῦτοι· οὐδεὶς γὰρ αὐτὸς αὑτοῦ δοκεῖ ὀλιγωρεῖν· καὶ τοῖς ὁμολογοῦσι καὶ μεταμελομένοις· ὡς γὰρ ἔχοντες δίκην τὸ λυπεῖσθαι ἐπὶ
15 τοῖς πεποιημένοις παύονται τῆς ὀργῆς. σημεῖον δὲ ἐπὶ τῆς τῶν οἰκετῶν κολάσεως· τοὺς μὲν γὰρ ἀντιλέγοντας καὶ ἀρνουμένους μᾶλλον κολάζομεν, πρὸς δὲ τοὺς ὁμολογοῦντας δικαίως κολάζεσθαι παυόμεθα θυμούμενοι. αἴτιον δ' ὅτι ἀναισχυντία τὸ τὰ φανερὰ ἀρνεῖσθαι, ἡ δ' ἀναισχυντία
20 ὀλιγωρία καὶ καταφρόνησις· ὧν γοῦν πολὺ καταφρονοῦμεν, οὐκ αἰσχυνόμεθα. καὶ τοῖς ταπεινουμένοις πρὸς αὐτοὺς καὶ μὴ ἀντιλέγουσιν· φαίνονται γὰρ ὁμολογεῖν ἥττους εἶναι, οἱ

36 *δι' ἀμέλειαν μὲν γάρ* A^c, *διὰ μὲν γὰρ ἀμέλειαν* ΘBE Ald. cf. Mus. Rhen. N. F. XXXIX pag. 503 ‖ 37 *τις* om. Θ(?)ΠTr. ‖ 1380 a, 1 *ἅμα* ex A^c Vict., om. ΘDE Ald. ‖ 2 *ὡς δέοι* ΘΠ ‖ Post *ἂν* addunt *αὐτὸν* ΘΠTr. recte omissum a Spengelio ‖ 3 *ὀλιγώρως* pro *ὀργίλως* A^c ‖ 5 Sic Spengel ex A^c, *τὸ ὀργίζεσθαι ἐναντίον τῷ πραΰνεσθαι* ΘΠTr. cf. 1386 b, 10 ‖ 6 *ὀργῆ πραότης* scripsi ex coniectura Spengelii, cf. variet. ad 1388 b, 23, *ὀργὴ πραότητι* A^{c}Y^{b}Z^{b}BC, *πραότητος* QDE Ald. ‖ *πῶς τε* Y^{b}BCD Ald. (fort. recte) ‖ 9 Sic Gaisford ex A^c, *δ' ἐστὶν ἑκούσιον* ΘΠTr. ‖ 12 *αὐτοὶ* A^c Vict., om. ΘΠTr. ‖ 17 *ἀρνουμένους καὶ ἀντιλέγοντας* ΘΠTr.

Digitized by Google

δ' ἥττους φοβοῦνται, φοβούμενος δὲ οὐδεὶς ὀλιγωρεῖ. ὅτι δὲ πρὸς τοὺς ταπεινουμένους παύεται ἡ ὀργή, καὶ οἱ κύνες δηλοῦσιν οὐ δάκνοντες τοὺς καθίζοντας. καὶ τοῖς σπουδάζουσι πρὸς τοὺς σπουδάζοντας· δοκεῖ γὰρ σπουδάζεσθαι ἀλλ' οὐ καταφρονεῖσθαι. καὶ τοῖς μείζω κεχαρισμένοις. καὶ τοῖς δεομένοις καὶ παραιτουμένοις· ταπεινότεροι γάρ· καὶ τοῖς μὴ ὑβρισταῖς μηδὲ χλευασταῖς μηδ' ὀλιγώροις εἰς μηδένα ἢ μὴ εἰς χρηστοὺς μηδ' εἰς τοιούτους οἷοί περ αὐτοί. ὅλως δ' ἐκ τῶν ἐναντίων δεῖ σκοπεῖν τὰ πραῦνοντα. καὶ οὓς φοβοῦνται ἢ αἰσχύνονται, ἕως ἂν οὕτως ἔχωσιν, οὐκ ὀργίζονται· ἀδύνατον γὰρ ἅμα φοβεῖσθαι καὶ ὀργίζεσθαι. καὶ τοῖς δι' ὀργὴν ποιήσασιν ἢ οὐκ ὀργίζονται ἢ ἧττον ὀργίζονται· οὐ γὰρ δι' ὀλιγωρίαν φαίνονται πρᾶξαι· οὐδεὶς γὰρ ὀργιζόμενος ὀλιγωρεῖ· ἡ μὲν γὰρ ὀλιγωρία ἄλυπον, ἡ δ' ὀργὴ μετὰ λύπης. καὶ τοῖς αἰσχυνομένοις αὐτούς. 1380 b

καὶ ἔχοντες δὲ ἐναντίως τῷ ὀργίζεσθαι δῆλον ὅτι πρᾶοι εἰσίν, οἷον ἐν παιδιᾷ, ἐν γέλωτι, ἐν ἑορτῇ, ἐν εὐημερίᾳ, ἐν κατορθώσει, ἐν πληρώσει, ὅλως ἐν ἀλυπίᾳ καὶ ἡδονῇ μὴ ὑβριστικῇ καὶ ἐν ἐλπίδι ἐπιεικεῖ. ἔτι κεχρονικότες καὶ μὴ ὑπόγυιοι τῇ ὀργῇ ὄντες· παύει γὰρ ὀργὴν ὁ χρόνος. παύει δὲ καὶ ἑτέρου ὀργὴν μείζω ἡ παρ' ἄλλου ληφθεῖσα τιμωρία πρότερον· διὸ εὖ Φιλοκράτης, εἰπόντος τινὸς ὀργιζομένου τοῦ δήμου τί οὐκ ἀπολογεῖ; οὔπω γε ἔφη. ἀλλὰ πότε;

26 τοὺς delendum aut αὐτοὺς scribendum censet Bonitz (cf. varietat 1379 b, 31) ‖ 27 καὶ τοῖς μείζω κεχαρισμένοις om. Tr. ‖ 29 ἢ εἰς μηδένα ΘΠ Tr. ‖ 30 εἰς μὴ χρηστούς A^c C schol. ‖ ἢ μὴ τοιούτους ΘΠ ‖ 31 τὰ πραῦνοντα ex A^c et Tr. Spengel, πραϋντικά ΘΠ ‖ Totum commation ὅλως — τὰ πραῦνοντα, quod locorum seriem intempestive interrumpit, delendum censet Buhleus ‖ ἢ οὓς C ‖ 32 καὶ οὓς αἰσχύνονται ΘΠ (καὶ αἰσχύνονται C) ‖ ἕως γὰρ ἂν ΘΠ Tr. schol., γὰρ om. A^c Spengel ‖ 36 ἄλυπος ΘΠ schol. ‖ 1380 b, 5 ἔτι δὲ ΘΠ Tr. cf. 1381 a, 20 et 29 ‖ 6 „in ira entes“ (ἐν ὀργῇ) Tr. ‖ 7 „quietat autem alterius ira maior (ὀργὴ μείζων) et (καὶ) ab alio recepta punitio“ Tr. Similiter ὀργὴ μείζων ἢ Madvig ‖ 9 ἀπολογεῖ A^c pr., sed correxit man. rec. ἀπολογῇ, quod habent ΘΠ ‖ οὔπω, ἔφη, ἀλλὰ τότε, ὅταν Tr.

Digitized by Google

10 ὅταν ἴδω ἄλλον διαβεβλημένον· πρᾶοι γὰρ γίγνονται ὅταν εἰς ἄλλον τὴν ὀργὴν ἀναλώσωσιν, ὃ συνέβη ἐπὶ Ἐργοφίλου· μᾶλλον γὰρ χαλεπαίνοντες ἢ Καλλισθένει ἀφεῖσαν διὰ τὸ Καλλισθένους τῇ προτεραίᾳ καταγνῶναι θάνατον. καὶ ἐὰν ἐλεῶσιν, καὶ ἐὰν μεῖζον κακὸν πεπονθότες ὦσιν ἢ οἱ ὀργι-
15 ζόμενοι ἂν ἔδρασαν· ὥσπερ εἰληφέναι γὰρ οἴονται τιμωρίαν. καὶ ἐὰν ἀδικεῖν οἴωνται αὐτοὶ καὶ δικαίως πάσχειν· οὐ γίγνεται ἡ ὀργὴ πρὸς τὸ δίκαιον· οὐ γὰρ ἔτι παρὰ τὸ προσῆκον νομίζουσι πάσχειν, ἡ δ' ὀργὴ τοῦτο ἦν. διὸ δεῖ τῷ λόγῳ προκολάζειν· ἀγανακτοῦσιν γὰρ ἧττον κολαζό-
20 μενοι καὶ οἱ δοῦλοι. καὶ ἐὰν μὴ αἰσθήσεσθαι οἴωνται ὅτι δι' αὐτοὺς καὶ ἀνθ' ὧν ἔπαθον· ἡ γὰρ ὀργὴ πρὸς τὸν καθ' ἕκαστον ἐστίν. δῆλον δ' ἐκ τοῦ ὁρισμοῦ. διὸ ὀρθῶς πεποίηται

φάσθαι Ὀδυσσῆα πτολιπόρθιον,

ὡς οὐ τετιμωρημένος εἰ μὴ ᾔσθετο καὶ ὑφ' ὅτου καὶ ἀνθ'
25 ὅτου. ὥστε οὔτε τοῖς ἄλλοις ὅσοι μὴ αἰσθάνονται ὀργίζονται, οὔτε τοῖς τεθνεῶσιν ἔτι, ὡς πεπονθόσι τε τὸ ἔσχατον καὶ οὐκ ἀλγήσουσιν οὐδ' αἰσθησομένοις, οὗ οἱ ὀργιζόμενοι ἐφίενται. διὸ εὖ περὶ τοῦ Ἕκτορος ὁ ποιητής, παῦσαι βουλόμενος τὸν Ἀχιλλέα τῆς ὀργῆς τεθνεῶτος,

10 ἴδω ἄλλον ex A^c Spengel, ἄλλον ἴδω ΘΠTr. ‖ 11 δ cum Gaisfordio ex A^c recepi, οἷον ΘΠTr. ‖ „accidit Ergophilo" (Ἐργοφίλῳ) Tr. ‖ 12 ἀφῆσαν ΘBCD et A^c pr., corr. man. rec. ἀφῆκαν, ἀφεῖσαν EAld. ‖ 14 ἕλωσιν ΘΠschol. et A^c, sed ibi ex corr., nam ω et accentum certe correxit man. rec., ε ante ω pr. man. est, ut primitus, quod et vidit et scripsit Bekkerus, ἐλεῶσι fuisse videatur ‖ Bekkerum secutus Spengelius altero καὶ deleto hos duos locos in unum coniungendos esse censet ‖ οἱ om. Y^b Z^b Π ‖ 15 ἂν ἔδρασαν· ὥσπερ εἰληφέναι γὰρ ex A^c Gaisford, ἔδρασαν ἂν· ὥσπερ γὰρ εἰληφέναι τιμωρίαν οἴονται ΘΠTr. ‖ 17 οὐ γίγνεται γὰρ ΘΠ (γὰρ omκ etiam cod. m. Tr.). Totum membrum delendum censet Vahlen ‖ 18 νομίζουσι] οἴονται ΘΠ ‖ 19 τῷ λόγῳ δεῖ ΘΠTr. ‖ 20 Locus vix sanus. Excidisse videtur οὕτως ante κολαζόμενοι, quod et vertit Muretus ‖ 22 Sic ex A^c Gaisford, ὀργὴ τῶν καθ' ἕκαστον ΘΠ ‖ 23 πτολίπορθον ΘΠ ‖ 24 ὑφ' ὅτου ex A^c Spengel, ὑφ' οὗ ΘΠ schol.

Digitized by Google

κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.
δῆλον οὖν ὅτι τοῖς καταπραῦνειν βουλομένοις ἐκ τούτων τῶν 30
τόπων λεκτέον, αὐτοὺς μὲν παρασκευάζουσι τοιούτους, οἷς δ'
ὀργίζονται, ἢ φοβεροὺς ἢ αἰσχύνης ἀξίους ἢ κεχαρισμένους
ἢ ἄκοντας ἢ ὑπεραλγοῦντας τοῖς πεποιημένοις.
4 τίνας δὲ φιλοῦσι καὶ μισοῦσι, καὶ διὰ τί, τὴν φιλίαν
καὶ τὸ φιλεῖν ὁρισάμενοι λέγωμεν. ἔστω δὴ τὸ φιλεῖν τὸ 35
βούλεσθαί τινι ἃ οἴεται ἀγαθά, ἐκείνου ἕνεκα ἀλλὰ μὴ αὑτοῦ,
καὶ τὸ κατὰ δύναμιν πρακτικὸν εἶναι τούτων. φίλος δέ 1381a
ἐστιν ὁ φιλῶν καὶ ἀντιφιλούμενος. οἴονται δὲ φίλοι εἶναι
οἱ οὕτως ἔχειν οἰόμενοι πρὸς ἀλλήλους. τούτων δὲ ὑποκειμέ-
νων ἀνάγκη φίλον εἶναι τὸν συνηδόμενον τοῖς ἀγαθοῖς καὶ
συναλγοῦντα τοῖς λυπηροῖς μὴ διά τι ἕτερον ἀλλὰ δι' 5
ἐκεῖνον. γιγνομένων γὰρ ὧν βούλονται χαίρουσιν πάντες,
τῶν ἐναντίων δὲ λυποῦνται, ὥστε τῆς βουλήσεως σημεῖον αἱ
λῦπαι καὶ αἱ ἡδοναί. καὶ οἷς δὴ ταὐτὰ ἀγαθὰ καὶ κακά,
καὶ οἱ τοῖς αὐτοῖς φίλοι, καὶ οἱ τοῖς αὐτοῖς ἐχθροί· ταὐτὰ
γὰρ τούτοις βούλεσθαι ἀνάγκη, ὥστε ἅ περ αὐτῷ καὶ ἄλλῳ 10
βουλόμενος, τούτῳ φαίνεται φίλος εἶναι. καὶ τοὺς πεποιηκό-
τας εὖ φιλοῦσιν ἢ αὐτοὺς ἢ ὧν κήδονται· ἢ εἰ μεγάλα, ἢ

29 *αἰκίζει* A^c pr., nunc ex corr. manu *αἰκίζεις*, littera ς in marginem continuata. (Res quibus moti conciliantur, ne verbo quidem attigit, tamen initio professus erat: *καὶ διὰ τίνων πραῦνονται*, quod vel maxime offendit et vix expediendum cum Spengelio; nam eius quaestionis fragmentum tantum alieno loco positum exstare videtur 1380a, 31) ‖ 30 *πραῦνειν* ΘDEAld. ‖ 31 *τοὺς μὲν* C *αὐτοὺς* Spengel *αὐτοὺς* Bekker ‖ 34 Toto hoc capite desideratur tertium: *καὶ πῶς ἔχοντες*, nec minus offendit, auctorem *τὰ ποιητικὰ ἐχθρας* tam breviter absolvisse et eius rei, cui summum momentum est in arte rhetorica, *διαβολῆς* vix mentionem fecisse ‖ 35 *λέγομεν* A^c cf. 1360b, 2 ‖ 36 *ἃ* supra lineam addidit man. rec. A^c ‖ *εἶναι* post *ἀγαθά* addunt Y^b a. m. BC. cf. 1378b, 16 ‖ 1381a, 2 *καὶ ὁ φιλῶν* Tr. omisso *ἐστιν* (cod. m.) ‖ *γὰρ* pro *δὲ* exspectaveris cum Spengelio ‖ 8 *δὴ* ex A^c Buhle, *ἤδη* ΘΠTr. ‖ 9 *καὶ οἳ* — — *καὶ οἳ* proposuit Spengel; at cf. 1362b, 10 et sqq.

Digitized by Google

εἰ προθύμως, ἢ εἰ ἐν τοιούτοις καιροῖς, καὶ αὐτῶν ἕνεκα· ἢ οὓς ἂν οἴωνται βούλεσθαι ποιεῖν εὖ. καὶ τοὺς τῶν φίλων φίλους καὶ φιλοῦντας οὓς αὐτοὶ φιλοῦσιν. καὶ τοὺς φιλουμένους ὑπὸ τῶν φιλουμένων ἑαυτοῖς. καὶ τοὺς τοῖς αὐτοῖς ἐχθροὺς καὶ μισοῦντας οὓς αὐτοὶ μισοῦσιν, καὶ τοὺς μισουμένους ὑπὸ τῶν αὐτοῖς μισουμένων· πᾶσιν γὰρ τούτοις τὰ αὐτὰ ἀγαθὰ φαίνεται εἶναι καὶ ἑαυτοῖς, ὥστε βούλεσθαι τὰ αὐτοῖς ἀγαθά, ὅ περ ἦν τοῦ φίλου. ἔτι τοὺς εὐποιητικοὺς εἰς χρήματα καὶ εἰς σωτηρίαν· διὸ τοὺς ἐλευθερίους καὶ ἀνδρείους τιμῶσι καὶ τοὺς δικαίους. τοιούτους δ' ὑπολαμβάνουσι τοὺς μὴ ἀφ' ἑτέρων ζῶντας· τοιοῦτοι δ' οἱ ἀπὸ τοῦ ἐργάζεσθαι, καὶ τούτων οἱ ἀπὸ γεωργίας καὶ τῶν ἄλλων οἱ αὐτουργοὶ μάλιστα. καὶ τοὺς σώφρονας, ὅτι οὐκ ἄδικοι. καὶ τοὺς ἀπράγμονας διὰ τὸ αὐτό. καὶ οἷς βουλόμεθα φίλοι εἶναι, ἂν φαίνωνται βουλόμενοι· εἰσὶ δὲ τοιοῦτοι οἵ τ' ἀγαθοὶ κατ' ἀρετὴν καὶ οἱ εὐδόκιμοι ἢ ἐν ἅπασιν ἢ ἐν τοῖς βελτίστοις ἢ ἐν τοῖς θαυμαζομένοις ὑφ' αὑτῶν ἢ ἐν τοῖς θαυμάζουσιν αὐτούς. ἔτι τοὺς ἡδεῖς συνδιαγαγεῖν καὶ συνδιημερεῦσαι· τοιοῦτοι δ' οἱ εὔκολοι καὶ μὴ ἐλεγκτικοὶ τῶν ἁμαρτανομένων καὶ μὴ φιλόνεικοι μηδὲ δυσέριδες· πάντες γὰρ οἱ τοιοῦτοι μαχητικοί, οἱ δὲ μαχόμενοι τἀναντία φαίνονται βούλεσθαι. καὶ

13 εἰ ante ἐν om. CE ‖ καὶ οὓς Tr. et Muretus (perperam) ‖ 15 τοὺς φιλοῦντας ΘΠ ‖ 18 αὐτοῖς A^c, ἑαυτοῖς ΘΠ ‖ μισουμένοις A^c ‖ 20 εἰς post καὶ om. ΘBCE ‖ 21 τοὺς ἀνδρείους ΘD ‖ 22 ἀφ' ἑτέρου QZ^bDE ‖ 26 τὸ αὐτό] ταῦτα A^c (an τὰ αὐτά?) cf. 1381a, 35 ‖ βουλώμενοι A^c ‖ 28 πᾶσιν ΘΠ ‖ 29 ὑπ' αὐτῶν ΘΠ ‖ ἢ post αὐτῶν om. ΘΠ ‖ ἐν οἷς libri omnes et Tr. ‖ αὐτοί A^c, αὐτούς ΘΠTr. ‖ Vulgatam lectionem sic constitutam a Victorio, qui ἢ ex A^c et Tr. recepit et pro οἷς scripsit τοῖς, secutus h. l. edidi. Spengelius contra res, non homines intellegens ἢ ἐν τοῖς θαυμαζομένοις ὑφ' αὑτῶν ut membrum inane seclusit; vix recte; nam tum αὐτοὶ in membro, quod constituit ex A^c ἐν οἷς θαυμάζουσιν αὐτοί, non aptam habet oppositionem; ἢ ἐν οἷς θαυμάζονται, quod idem priore membro retento proposuit et schol. invenisse videtur, propter locum sequentem 1381b, 13 vix stare potest ‖ 30 συνδιάγειν ΘΠ.

Digitized by Google

οἱ ἐπιδέξιοι καὶ τῷ παῖσαι καὶ τῷ ὑπομεῖναι· ἐπὶ ταὐτὸ γὰρ ἀμφότεροι σπεύδουσι τῷ πλησίον, δυνάμενοί τε σκώπτεσθαι καὶ ἐμμελῶς σκώπτοντες. καὶ τοὺς ἐπαινοῦντας τὰ ὑπάρχοντα ἀγαθά, καὶ τούτων ἃ μάλιστα φοβοῦνται μὴ ὑπάρχειν αὐτοῖς. καὶ τοὺς καθαρίους περὶ ὄψιν, περὶ ἀμπεχόνην, περὶ ὅλον τὸν βίον. καὶ τοὺς μὴ ὀνειδιστὰς μήτε τῶν ἁμαρτημάτων μήτε τῶν εὐεργετημάτων· ἀμφότεροι γὰρ ἐλεγκτικοί. καὶ τοὺς μὴ μνησικακοῦντας, μηδὲ φυλακτικοὺς τῶν ἐγκλημάτων, ἀλλ' εὐκαταλλάκτους· οἵους γὰρ ἂν ὑπολαμβάνωσιν εἶναι πρὸς τοὺς ἄλλους, καὶ πρὸς αὐτοὺς οἴονται. καὶ τοὺς μὴ κακολόγους μηδὲ εἰδότας μήτε τὰ τῶν πλησίον κακὰ μήτε τὰ αὐτῶν, ἀλλὰ τἀγαθά· ὁ γὰρ ἀγαθὸς ταῦτα δρᾷ. καὶ τοὺς μὴ ἀντιτείνοντας τοῖς ὀργιζομένοις ἢ σπουδάζουσιν· μαχητικοὶ γὰρ οἱ τοιοῦτοι. καὶ τοὺς πρὸς αὐτοὺς σπουδαίως πως ἔχοντας, οἷον θαυμάζοντας αὐτοὺς καὶ σπουδαίους ὑπολαμβάνοντας καὶ χαίροντας αὐτοῖς, καὶ ταῦτα μάλιστα πεπονθότας περὶ ἃ μάλιστα βούλονται αὐτοὶ ἢ θαυμάζεσθαι ἢ σπουδαῖοι δοκεῖν εἶναι ἢ ἡδεῖς. καὶ τοὺς ὁμοίους καὶ ταὐτὰ ἐπιτηδεύοντας, ἐὰν μὴ παρενοχλῶσι μηδ' ἀπὸ ταὐτοῦ ἢ ὁ βίος· γίγνεται γὰρ οὕτω

καὶ κεραμεὺς κεραμεῖ.

καὶ τοὺς τῶν αὐτῶν ἐπιθυμοῦντας, ὧν ἐνδέχεται ἅμα μετέχειν αὐτούς· εἰ δὲ μή, ταὐτὸ καὶ οὕτω συμβαίνει. καὶ

34 τῶι παῖσαι καὶ τῶι ὑπομεῖναι A^c ‖ τῶι παῖσαι et E, Y^b et B rec. man. et schol., καὶ τωθάσαι καὶ ὑπομεῖναι ΘBCD; et παῖσαι unice verum recte recepit Spengel, cf. Mus. Rhen. N. F. XXXIX p. 504. Cf. etiam deteriorum codd. lect. variet. ad 1378b, 23. 1383a, 10 ‖ ταὐτά ΘΠTr., ταῦτα Ald. cf. 1381a, 26 ‖ 35 An ἀμφοτέρως? ‖ 36 ἐνυπάρχοντα Tr. (et schol. ἐνόντα) ‖ 37 Sic Spengel ex A^c, καὶ τούτων μάλιστα, ἃ ΘΠTr. ‖ 1381b, 1 καθαρείους ΘBE ‖ 4 μνησικάκους ΘBDE ‖ 5 ὑπολάβωσι ΘΠ schol. cf. 1382a, 4 ‖ 8 τοῦτο ΘΠTr. ‖ 9 ἢ τοῖς σπουδάζουσιν ΘΠ ‖ 10 et 11 ἑαυτούς A^c pr., sed utrumque ε ras. deletum ‖ 11 σπουδαίως πως ex A^c Vict., ὡσαύτως ΘΠTr. schol. ‖ 13 βουλήσονται C ‖ 16 οὕτως τὸ κεραμεύς ΘΠ (praeter C) Tr., καὶ ex A^c Vict.

Digitized by Google

πρὸς οὓς οὕτως ἔχουσιν ὥστε μὴ αἰσχύνεσθαι τὰ πρὸς
20 δόξαν, μὴ καταφρονοῦντες. καὶ πρὸς οὓς αἰσχύνονται τὰ
πρὸς ἀλήθειαν. καὶ πρὸς οὓς φιλοτιμοῦνται, ἢ ὑφ' ὧν ζη-
λοῦσθαι βούλονται καὶ μὴ φθονεῖσθαι, τούτους ἢ φιλοῦσιν ἢ
βούλονται φίλοι εἶναι. καὶ οἷς ἂν τἀγαθὰ συμπράττωσιν,
ἐὰν μὴ μέλλῃ αὐτοῖς ἔσεσθαι μείζω κακά. καὶ τοῖς ὁμοίως
25 καὶ τοὺς ἀπόντας καὶ τοὺς παρόντας φιλοῦσιν· διὸ καὶ τοὺς
περὶ τοὺς τεθνεῶτας τοιούτους πάντες φιλοῦσιν. καὶ ὅλως τοὺς
σφόδρα φιλοφίλους καὶ μὴ ἐγκαταλείποντας· μάλιστα γὰρ
φιλοῦσι τῶν ἀγαθῶν τοὺς φιλεῖν ἀγαθούς. καὶ τοὺς μὴ πλάτ-
τομένους πρὸς αὐτούς· τοιοῦτοι δὲ οἱ καὶ τὰ φαῦλα τὰ ἑαυ-
30 τῶν λέγοντες. εἴρηται γὰρ ὅτι πρὸς τοὺς φίλους τὰ πρὸς
δόξαν οὐκ αἰσχυνόμεθα· εἰ οὖν ὁ αἰσχυνόμενος μὴ φιλεῖ,
ὁ μὴ αἰσχυνόμενος φιλοῦντι ἔοικεν. καὶ τοὺς μὴ φοβερούς,
καὶ οὓς θαρροῦμεν· οὐδεὶς γὰρ ὃν φοβεῖται φιλεῖ. εἴδη δὲ
φιλίας ἑταιρεία οἰκειότης συγγένεια καὶ ὅσα τοιαῦτα. ποιη-
35 τικὰ δὲ φιλίας χάρις, καὶ τὸ μὴ δεηθέντος ποιῆσαι, καὶ
τὸ ποιήσαντα μὴ δηλῶσαι· αὐτοῦ γὰρ οὕτως ἕνεκα φαίνε-
ται καὶ οὐ διά τι ἕτερον.

1382 a περὶ δ' ἔχθρας καὶ τοῦ μισεῖν φανερὸν ὡς ἐκ τῶν ἐναντ-
ίων ἐστὶ θεωρεῖν. ποιητικὰ δὲ ἔχθρας ὀργή, ἐπηρεασμός, δια-
βολή. ὀργὴ μὲν οὖν ἐστὶν ἐκ τῶν πρὸς αὐτόν, ἔχθρα δὲ καὶ
ἄνευ τοῦ πρὸς αὐτόν· ἂν γὰρ ὑπολαμβάνωμεν εἶναι τοιόνδε,

20 μὴ om. Q ‖ καταφρονοῦντας A^c ‖ 21 καὶ ὑφ' ὧν $Y^b\Pi$ Tr. ‖ 23 συμπρακτῶσιν A^c pr., nunc ex corr. συμπράττωσιν ‖ 25 καὶ post ὁμοίως om. $Y^b\Pi$ ‖ 27 ἐγκαταλιπόντας A^c (fors. recte) ‖ μάλιστα δὲ A^c ‖ 28 φίλους ἀγαθούς Q, φιλαγάθους A^c ‖ 29 αὐτούς Bonitz, ἑαυτούς libri omnes ‖ Idem cum Mureto pro omnium librorum lectione καὶ οἱ coniecit οἱ καί, quod recepit Spengel (sed fortasse statuendum est in particularum καὶ vel ἢ positione neglegentius versatos esse Graecos scriptores. Cf. Plat. Apolog. 28 D.) ‖ αὐτῶν A^c ‖ 33 οὓς θαρροῦμεν ex A^c et Tr. recepit Spengel, οἷς $\Theta\Pi$ ‖ 34 ἑταιρία $Y^bZ^b\Pi$ ‖ καὶ οἰκειότης καὶ συγγένεια $\Theta\Pi$Tr. ‖ 37 τι A^c et schol., om. $\Theta\Pi$Tr. cf. 1381 a, 5 ‖ 1382 a, 2 ἐστὶ A^c, δεῖ $\Theta\Pi$Tr. schol. Ald. ‖ 3 αὐτὸν utrobique A^c ‖ 4 ἄνευ τῶν $\Theta\Pi$Tr. schol. ‖ ὑπολάβωμεν $\Theta\Pi$Ald. ‖ Post εἶναι duae vel tres

Digitized by Google

μισοῦμεν. καὶ ἡ μὲν ὀργὴ ἀεὶ περὶ τὰ καθ' ἕκαστα, οἷον Καλ- 5
λίαν ἢ Σωκράτην, τὸ δὲ μῖσος καὶ πρὸς τὰ γένη· τὸν γὰρ κλέπτην μισεῖ καὶ τὸν συκοφάντην ἅπας. καὶ τὸ μὲν ἰατὸν χρόνῳ, τὸ δ' ἀνίατον. καὶ τὸ μὲν λύπης ἔφεσις, τὸ δὲ κακοῦ· αἴσθεσθαι γὰρ βούλεται ὁ ὀργιζόμενος, τῷ δ' οὐδὲν διαφέρει. ἔστι δὲ τὰ μὲν λυπηρὰ αἰσθητὰ πάντα, τὰ δὲ μάλιστα κακὰ 10
ἥκιστα αἰσθητά, ἀδικία καὶ ἀφροσύνη· οὐδὲν γὰρ λυπεῖ ἡ παρουσία τῆς κακίας. καὶ τὸ μὲν μετὰ λύπης, τὸ δ' οὐ μετὰ λύπης· ὁ μὲν γὰρ ὀργιζόμενος λυπεῖται, ὁ δὲ μισῶν οὔ. καὶ ὁ μὲν πολλῶν ἂν γενομένων ἐλεήσειεν, ὁ δ' οὐδενός· ὁ μὲν γὰρ ἀντιπαθεῖν βούλεται ᾧ ὀργίζεται, ὁ δὲ μὴ εἶναι. 15
φανερὸν οὖν ἐκ τούτων ὅτι ἐνδέχεται ἐχθροὺς καὶ φίλους καὶ ὄντας ἀποδεικνύναι καὶ μὴ ὄντας ποιεῖν καὶ φάσκοντας διαλύειν, καὶ δι' ὀργὴν ἢ δι' ἔχθραν ἀμφισβητοῦντας ἐφ' ὁπότερ' ἂν προαιρῆταί τις ἄγειν. ποῖα δὲ φοβοῦνται καὶ τίνας καὶ πῶς ἔχοντες, ὧδ' ἔσται φανερόν. 20

5 ἔστω δὴ φόβος λύπη τις ἢ ταραχὴ ἐκ φαντασίας μέλλοντος κακοῦ φθαρτικοῦ ἢ λυπηροῦ· οὐ γὰρ πάντα τὰ κακὰ φοβοῦνται, οἷον εἰ ἔσται ἄδικος ἢ βραδύς, ἀλλ' ὅσα λύπας μεγάλας ἢ φθορὰς δύναται, καὶ ταῦτα ἐὰν μὴ πόρρω ἀλλὰ σύνεγγυς φαίνηται ὥστε μέλλειν. τὰ γὰρ πόρρω σφόδρα οὐ φοβοῦνται· ἴσασι γὰρ πάντες ὅτι ἀποθανοῦνται, ἀλλ' ὅτι οὐκ ἐγγύς, οὐδὲν φροντίζουσιν. εἰ δὴ ὁ

litterae deletae A^c ‖ 5 „*Calliam aut Socratem*“ Tr. ‖ *Καλλίαν* Y^{b}CDE ‖ *ἢ* om. *ΘΠ* ‖ *Σωκράτην* C ‖ *Σωκράτη* DE ‖ *Καλλίαι ἢ Σωκράτηι* A^c, unde accusativum recepimus, cf. praefat. pag. XVI ‖ 7 *ἕκαστος* pro *ἅπας ΘΠ* Ald. ‖ *τὸν μὲν ἰατρὸν* A^{c}pr., nunc ex corr. *τὸ ἰατὸν* ‖ 8 Sic Gaisford ex A^c, *καὶ ἡ μὲν τοῦ λυπῆσαι ἐφίεται, ἡ δὲ τοῦ κακῶσαι μᾶλλον ΘΠ* Tr. schol. Ald. ‖ *κακοῦ* ⟨*φθαρτικοῦ*⟩ Kayser ‖ *αἰσθάνεσθαι ΘΠ* ‖ 13 *ὁ μὲν οὖν* Tr. ‖ 14 *ὁ δ' οὔ* vel *οὐδαμῶς* coni. Spengel ‖ 18 *καὶ*] *καὶ ἢ ΘΠ* Tr. ‖ *ἀμφισβητοῦντος* A^c ‖ 20 *τίνα* ΘB ‖ *ἔχοντας* ΘBDE ‖ 21 *ἔστι* Y^{b}Z^{b}B CTr. ‖ *ὁ φόβος* A^c schol. ‖ 22 *ἢ φθαρτικοῦ ΘΠ* Tr. ‖ 23 *φοβεῖται ΘΠ* ‖ 24 *ἢ λύπας ΘΠ* Tr. ‖ *δύνανται ΘΠ* ‖ 24 *καὶ ταῦτα ἃ — φαίνεται* ΘBCD schol. Ald.

Digitized by Google

φόβος τοῦτ' ἐστίν, ἀνάγκη τὰ τοιαῦτα φοβερὰ εἶναι ὅσα φαίνεται δύναμιν ἔχειν μεγάλην τοῦ φθείρειν ἢ βλάπτειν
30 βλάβας εἰς λύπην μεγάλην συντεινούσας. διὸ καὶ τὰ σημεῖα τῶν τοιούτων φοβερά· ἐγγὺς γὰρ φαίνεται τὸ φοβερόν· τοῦτο γάρ ἐστι κίνδυνος, φοβεροῦ πλησιασμός. τοιαῦτα δὲ ἔχθρα τε καὶ ὀργὴ δυναμένων ποιεῖν τι· δῆλον γὰρ ὅτι βούλονται, ὥστε ἐγγύς εἰσιν τοῦ ποιεῖν. καὶ ἀδικία δύναμιν
35 ἔχουσα. τῷ προαιρεῖσθαι γὰρ ὁ ἄδικος ἄδικος. καὶ ἀρετὴ
1382b ὑβριζομένη δύναμιν ἔχουσα· δῆλον γὰρ ὅτι προαιρεῖται μὲν ὅταν ὑβρίζηται, ἀεί, δύναται δὲ νῦν. καὶ φόβος τῶν δυναμένων τι ποιῆσαι· ἐν παρασκευῇ γὰρ ἀνάγκη εἶναι καὶ τὸν τοιοῦτον. ἐπεὶ δ' οἱ πολλοὶ χείρους καὶ ἥττους
5 τοῦ κερδαίνειν καὶ δειλοὶ ἐν τοῖς κινδύνοις, φοβερὸν ὡς ἐπὶ τὸ πολὺ τὸ ἐπ' ἄλλῳ αὐτὸν εἶναι, ὥστε οἱ συνειδότες πεποιηκότι δεινὸν φοβεροὶ ἢ κατειπεῖν ἢ ἐγκαταλιπεῖν. καὶ οἱ δυνάμενοι ἀδικεῖν τοῖς δυναμένοις ἀδικεῖσθαι· ὡς γὰρ ἐπὶ τὸ πολὺ ἀδικοῦσιν οἱ ἄνθρωποι ὅταν δύνωνται.
10 καὶ οἱ ἠδικημένοι ἢ νομίζοντες ἀδικεῖσθαι· ἀεὶ γὰρ τηροῦσι καιρόν. καὶ οἱ ἠδικηκότες, ἂν δύναμιν ἔχωσι, φοβεροί, δεδιότες τὸ ἀντιπαθεῖν· ὑπέκειτο γὰρ τὸ τοιοῦτο φοβερόν. καὶ οἱ τῶν αὐτῶν ἀνταγωνισταί, ὅσα μὴ ἐνδέχεται ἅμα ὑπάρχειν ἀμφοῖν· ἀεὶ γὰρ πολεμοῦσι πρὸς τοὺς τοιούτους.
15 καὶ οἱ τοῖς κρείττοσιν αὐτῶν φοβεροί· μᾶλλον γὰρ ἂν δύναιντο βλάπτειν αὐτούς, εἰ καὶ τοὺς κρείττους. καὶ οὓς φοβοῦνται οἱ κρείττους αὐτῶν, διὰ ταὐτό. καὶ οἱ τοὺς κρείττους αὐτῶν ἀνῃρηκότες. καὶ οἱ τοῖς ἥττοσιν αὐτῶν ἐπιτιθέμενοι·

33 τε om. ΘΠ Ald. cf. 1378b, 14 ‖ 34 βούλονταί τε καὶ δύνανται ΘΠTr., τε καὶ δύνανται om. A^c Bekker ‖ 1382b, 7 πεποιηκότι τι ΘΠTr., τι om. A^c Spengel ‖ 8 ἀεὶ τοῖς ΘΠTr. schol. ‖ 13 Ante ὅσα aliquot litterae erasae sunt A^c ‖ 14 τοὺς om. ΘΠ Ald. ‖ 15 τοῖς κρείττοσιν φοβεροὶ καὶ αὐτοῖς φοβεροί ΘΠ Tr. schol. Ald. ‖ 16 εἰ καὶ A^c ἢ ΘΠ ‖ 18 κρείττοσιν pro ἥττοσιν proposuit Muretus, quam lectionem Tr., schol. novit et B rec. man.

Digitized by Google

ἢ γὰρ ἤδη φοβεροὶ ἢ αὐξηθέντες. καὶ τῶν ἠδικημένων καὶ ἐχθρῶν ἢ ἀντιπάλων οὐχ οἱ ὀξύθυμοι καὶ παρρησιαστικοί, 20 ἀλλὰ οἱ πρᾶοι καὶ εἴρωνες καὶ πανοῦργοι· ἄδηλοι γὰρ εἰ ἐγγύς, ὥστε οὐδέποτε φανεροὶ ὅτι πόρρω. πάντα δὲ τὰ φοβερὰ φοβερώτερα ὅσα ἁμαρτάνουσιν ἐπανορθώσασθαι μὴ ἐνδέχεται, ἀλλ' ἢ ὅλως ἀδύνατα, ἢ μὴ ἐφ' ἑαυτοῖς ἀλλ' ἐπὶ τοῖς ἐναντίοις. καὶ ὧν βοήθειαι μή εἰσιν ἢ μὴ ῥᾴδιαι. 25 ὡς δ' ἁπλῶς εἰπεῖν, φοβερά ἐστιν ὅσα ἐφ ἑτέρων γιγνόμενα ἢ μέλλοντα ἐλεεινά ἐστιν.

τὰ μὲν οὖν φοβερὰ καὶ ἃ φοβοῦνται, σχεδὸν ὡς εἰπεῖν τὰ μέγιστα ταῦτ' ἐστίν, ὡς δὲ διακείμενοι αὐτοὶ φοβοῦνται, νῦν λέγωμεν. εἰ δή ἐστιν ὁ φόβος μετὰ προσδοκίας τινὸς τοῦ πεί- 30 σεσθαί τι φθαρτικὸν πάθος, φανερὸν ὅτι οὐδεὶς φοβεῖται τῶν οἰομένων μηδὲν ἂν παθεῖν, οὐδὲ ταῦτα ἃ μὴ οἴονται παθεῖν οὐδὲ τούτους ὑφ' ὧν μὴ οἴονται, οὐδὲ τότε ὅτε μὴ οἴονται. ἀνάγκη τοίνυν φοβεῖσθαι τοὺς οἰομένους τι παθεῖν ἄν, καὶ τοὺς ὑπὸ τούτων καὶ ταῦτα καὶ τότε. οὐκ οἴονται δὲ παθεῖν 35 ἂν οὔτε οἱ ἐν εὐτυχίαις μεγάλαις ὄντες καὶ δοκοῦντες, διὸ 1383a ὑβρισταὶ καὶ ὀλίγωροι καὶ θρασεῖς, ποιεῖ δὲ τοιούτους πλοῦτος ἰσχὺς πολυφιλία δύναμις, οὔτε οἱ ἤδη πεπονθέναι πάντα νομίζοντες τὰ δεινὰ καὶ ἀπεψυγμένοι πρὸς τὸ μέλλον, ὥσπερ οἱ ἀποτυμπανιζόμενοι ἤδη· ἀλλὰ δεῖ τινὰ ἐλπίδα 5 ὑπεῖναι σωτηρίας, περὶ οὗ ἀγωνιῶσιν. σημεῖον δέ· ὁ γὰρ

20 ἀντιπολέμων A^c ‖ 21 εἰ marg. exempl. Vict. (Cod. Graec. Monac. 175), ἢ A^c, οἱ ΘΠAld, ἤ schol., quod explicat ἤτοι ὡς ἐγγίζοντες, „quam prope" Tr. (an ὅτι; nam ὅτι πόρρω „quam longe"?) ‖ 22 φανεροὶ pr. ex A^c Vict., φοβερόν ΘΠAld. ‖ 23 ἁμαρτάνουσιν Spengel ex A^c pr., nunc ibidem ex corr. rec. man. ὅσα ἂν ἁμαρτάνωσιν, ἂν ἁμάρτωσιν ΘBDE, ἂν ἁμαρτάνωσιν CAld. ‖ 23 οὐκ ἐνδέχεται C ‖ 24 ἐπ' αὐτοῖς A^c schol. ‖ 30 τινὸς ex A^c recepi, om. ceteri ‖ 32 ἀντιπαθεῖν ΘBCETr. ‖ μηδὲ ταῦτα A^c, ἢ ταῦτα BCY^b a. m. ‖ 33 prius μὴ om. Ald. ‖ 1383a, 1 καὶ δοκοῦντες om. ΘDE (addidit in marg. man. rec. Y^b), ex A^c et Tr. Vict. ‖ 5 ἀποτυπανιζόμενοι A^c pr., man. rec. addidit μ.

Digitized by Google

φόβος βουλευτικοὺς ποιεῖ, καίτοι οὐδεὶς βουλεύεται περὶ τῶν ἀνελπίστων. ὥστε δεῖ τοιούτους παρασκευάζειν, ὅταν ᾖ βέλτιον τὸ φοβεῖσθαι αὐτούς, ὅτι τοιοῦτοί εἰσιν οἷοι παθεῖν· καὶ γὰρ ἄλλοι μείζους ἔπαθον· καὶ τοὺς τοιούτους δεικνύναι πάσχοντας ἢ πεπονθότας, καὶ ὑπὸ τοιούτων ὑφ' ὧν οὐκ ᾤοντο, καὶ ταῦτα καὶ τότε ὅτε οὐκ ᾤοντο.

ἐπεὶ δὲ περὶ φόβου φανερὸν τί ἐστιν, καὶ τῶν φοβερῶν, καὶ ὡς ἕκαστοι ἔχοντες δεδίασι, φανερὸν ἐκ τούτων καὶ τὸ θαρρεῖν τί ἐστι, καὶ περὶ ποῖα θαρραλέοι εἰσὶ καὶ πῶς διακείμενοι θαρραλέοι εἰσίν· τό τε γὰρ θάρσος τὸ ἐναντίον τῷ ⟨φόβῳ καὶ τὸ θαρραλέον τῷ⟩ φοβερῷ, ὥστε μετὰ φαντασίας ἡ ἐλπὶς τῶν σωτηρίων ὡς ἐγγὺς ὄντων, τῶν δὲ φοβερῶν ἢ μὴ ὄντων ἢ πόρρω ὄντων. ἔστι δὲ θαρραλέα τά τε δεινὰ πόρρω ὄντα καὶ τὰ θαρραλέα ἐγγύς. καὶ ἐπανορθώσεις ἂν ὦσι καὶ βοήθειαι πολλαὶ ἢ μεγάλαι ἢ ἄμφω, καὶ μήτε ἠδικημένοι μήτε ἠδικηκότες ὦσιν, ἀνταγωνισταί τε ἢ μὴ ὦσιν ὅλως, ἢ μὴ ἔχωσιν δύναμιν, ἢ δύναμιν ἔχοντες ὦσι φίλοι ἢ πεποιηκότες εὖ ἢ πεπονθότες. ἢ ἂν πλείους ὦσιν οἷς ταὐτὰ συμφέρει, ἢ κρείττους, ἢ ἄμφω. αὐτοὶ δ' οὕτως ἔχοντες θαρραλέοι εἰσίν, ἂν πολλὰ κατωρθωκέναι οἴωνται καὶ μὴ πεπονθέναι, ἢ ἐὰν πολλάκις ἐληλυθότες εἰς τὰ δεινὰ καὶ διαπεφευγότες ὦσι· διχῶς γὰρ ἀπαθεῖς γίγνονται οἱ

10 τοὺς τοιούτους] τοὺς ὁμοίους ΘΠTr. schol. Ald. ‖ 12 post ταῦτα ἃ οὐκ ᾤοντο cum Mureto addendum vel ἃ καὶ ὅτε scribendum esse coni. Spengel ‖ καὶ ταῦτα — ᾤοντο om. C, οὐκ ᾤοντο om. Tr. ‖ 13 ἐπειδὴ δὲ C ‖ 14 δεδίασιν A^c pr., nunc corr. ead. man. δεδίασιν ‖ 15 εἰσὶ post θαρραλέοι om. ΘΠTr. Ald. ‖ 16 alt. τὸ om. QY^b BDE Ald. ‖ ⟨φόβῳ καὶ τὸ θαρραλέον τῷ⟩ inseruit ed. Veneta, om. libri omnes ‖ τὸ γὰρ θαρραλέον ἐναντίον τῷ φοβερῷ invenisse videtur Tr. ‖ 17 ὡς pro ὥστε A^c ‖ 18 σωτηρίων ἐστὶν ὡς ΘBCD ‖ 20 γρ. ἢ τὰ σωτήρια C in marg., quod et ipsum vel τὰ ἐναντία coni. Spengel ‖ 21 ἢ πολλαὶ ΘΠTr. Ald. ‖ 24 πεποιηκότες ὦσιν εὖ ΘΠ ‖ εἰς ταὐτὰ συμφερόμενοι QZ^b(?) DE Ald. ‖ ταῦτα A^c ‖ 27 καὶ ἐὰν Tr. ‖ 28 ὦσιν post διαπεφευγότες om. ΘΠ Ald. et habent post ἐληλυθότες.

Digitized by Google

ἄνθρωποι, ἢ τῷ μὴ πεπειρᾶσθαι ἢ τῷ βοηθείας ἔχειν, ὥσ-
περ ἐν τοῖς κατὰ θάλατταν κινδύνοις οἵ τε ἄπειροι χειμῶ- 30
νος θαρροῦσι τὰ μέλλοντα καὶ οἱ βοηθείας ἔχοντες διὰ τὴν
ἐμπειρίαν. καὶ ὅταν τοῖς ὁμοίοις φοβερὸν μὴ ᾖ, μηδὲ τοῖς
ἥττοσι καὶ ὧν κρείττους οἴονται εἶναι· οἴονται δὲ ὧν κε-
κρατήκασιν ἢ αὐτῶν ἢ τῶν κρειττόνων ἢ τῶν ὁμοίων. καὶ
ἂν ὑπάρχειν αὐτοῖς οἴωνται πλείω καὶ μείζω, οἷς ὑπερ- 35
ἔχοντες φοβεροί εἰσιν· ταῦτα δὲ ἐστὶ πλῆθος χρημάτων 1383 b
καὶ ἰσχὺς σωμάτων καὶ φίλων καὶ χώρας καὶ τῶν πρὸς
πόλεμον παρασκευῶν, ἢ πασῶν ἢ τῶν μεγίστων. καὶ ἐὰν
μὴ ἠδικηκότες ὦσιν μηδένα ἢ μὴ πολλοὺς ἢ μὴ τούτους
παρ' ὧν φοβοῦνται. καὶ ὅλως ἂν πρὸς τοὺς θεοὺς αὐτοῖς κα- 5
λῶς ἔχῃ, τά τε ἄλλα καὶ τὰ ἀπὸ σημείων καὶ λογίων·
θαρραλέον γὰρ ἡ ὀργή, τὸ δὲ μὴ ἀδικεῖν ἀλλ' ἀδικεῖσθαι
ὀργῆς ποιητικόν, τὸ δὲ θεῖον ὑπολαμβάνεται βοηθεῖν τοῖς
ἀδικουμένοις. καὶ ὅταν ἐπιχειροῦντες ἢ μηδὲν ἂν παθεῖν
μηδὲ πείσεσθαι ἢ κατορθώσειν οἴωνται. καὶ περὶ μὲν τῶν 10
φοβερῶν καὶ θαρραλέων εἴρηται·

6 ποῖα δ' αἰσχύνονται καὶ ἀναισχυντοῦσιν, καὶ πρὸς
τίνας καὶ πῶς ἔχοντες, ἐκ τῶνδε δῆλον. ἔστω δὴ αἰσχύνη
λύπη τις ἢ ταραχὴ περὶ τὰ εἰς ἀδοξίαν φαινόμενα φέρειν
τῶν κακῶν, ἢ παρόντων ἢ γεγονότων ἢ μελλόντων, ἡ δ' 15
ἀναισχυντία ὀλιγωρία τις καὶ ἀπάθεια περὶ τὰ αὐτὰ
ταῦτα. εἰ δή ἐστιν αἰσχύνη ἡ ὁρισθεῖσα, ἀνάγκη αἰσχύ-

32 φοβερὸν μὴ ᾖ ex A^c schol., recepi, μὴ ᾖ φοβερόν ΘΠTr. Ald. ‖ 1383 b, 2 καὶ χώρας καὶ φίλων ΘΠAld. ‖ 4 ἢ μηδένα ΘΠTr. Ald. ‖ τούτους παρ' ὧν scripsi ex schol. et Spengelii coniectura, τούτους ἢ περὶ A^c, τοιούτους περὶ ΘΠAld. ‖ 5 καὶ ὅλως et quae sequuntur cum antecedenti loco arctius coniungenda et maior interpunctio post φοβοῦνται delenda videtur ‖ τὰ πρὸς θεούς Θ ΠTr. schol. Ald., τὰ om. A^c Spengel ‖ 6 ι in λογίων in litura A^c ‖ 9 Sic ex A^c Bekker, προεπιχειροῦντες ΘΠTr. schol. Ald. ‖ 10 μηδὲ πείσεσθαι dubitanter delet Spengel nec legit schol. ‖ 13 et 17 δ' ΘBCD ‖ 14 καὶ ταραχή ΘΠTr. schol. Ald., ἢ ex A^c Bekker ‖ 16 εἰ in ἀπάθεια corr. A^c ‖ τὰ om. ΘΠ.

Digitized by Google

φόβος βουλευτικοὺς ποιεῖ, καίτοι οὐδεὶς βουλεύεται περὶ τῶν ἀνελπίστων. ὥστε δεῖ τοιούτους παρασκευάζειν, ὅταν ᾖ βέλτιον τὸ φοβεῖσθαι αὐτούς, ὅτι τοιοῦτοί εἰσιν οἷοι παθεῖν· καὶ γὰρ ἄλλοι μείζους ἔπαθον· καὶ τοὺς τοιούτους δεικνύναι πάσχοντας ἢ πεπονθότας, καὶ ὑπὸ τοιούτων ὑφ' ὧν οὐκ ᾤοντο, καὶ ταῦτα καὶ τότε ὅτε οὐκ ᾤοντο.

ἐπεὶ δὲ περὶ φόβου φανερὸν τί ἐστιν, καὶ τῶν φοβερῶν, καὶ ὡς ἕκαστοι ἔχοντες δεδίασι, φανερὸν ἐκ τούτων καὶ τὸ θαρρεῖν τί ἐστι, καὶ περὶ ποῖα θαρραλέοι εἰσὶ καὶ πῶς διακείμενοι θαρραλέοι εἰσίν· τό τε γὰρ θάρσος τὸ ἐναντίον τῷ ⟨φόβῳ καὶ τὸ θαρραλέον τῷ⟩ φοβερῷ, ὥστε μετὰ φαντασίας ἡ ἐλπὶς τῶν σωτηρίων ὡς ἐγγὺς ὄντων, τῶν δὲ φοβερῶν ἢ μὴ ὄντων ἢ πόρρω ὄντων. ἔστι δὲ θαρραλέα τά τε δεινὰ πόρρω ὄντα καὶ τὰ θαρραλέα ἐγγύς. καὶ ἐπανορθώσεις ἂν ὦσι καὶ βοήθειαι πολλαὶ ἢ μεγάλαι ἢ ἄμφω, καὶ μήτε ἠδικημένοι μήτε ἠδικηκότες ὦσιν, ἀνταγωνισταί τε ἢ μὴ ὦσιν ὅλως, ἢ μὴ ἔχωσιν δύναμιν, ἢ δύναμιν ἔχοντες ὦσι φίλοι ἢ πεποιηκότες εὖ ἢ πεπονθότες. ἢ ἂν πλείους ὦσιν οἷς ταὐτὰ συμφέρει, ἢ κρείττους, ἢ ἄμφω. αὐτοὶ δ' οὕτως ἔχοντες θαρραλέοι εἰσίν, ἂν πολλὰ κατωρθωκέναι οἴωνται καὶ μὴ πεπονθέναι, ἢ ἐὰν πολλάκις ἐληλυθότες εἰς τὰ δεινὰ καὶ διαπεφευγότες ὦσι· διχῶς γὰρ ἀπαθεῖς γίγνονται οἱ

10 τοὺς τοιούτους] τοὺς ὁμοίους ΘΠTr. schol. Ald. ‖ 12 post ταῦτα ἃ οὐκ ᾤοντο cum Mureto addendum vel ἃ καὶ ὅτε scribendum esse coni. Spengel ‖ καὶ ταῦτα — ᾤοντο om. C, οὐκ ᾤοντο om. Tr. ‖ 13 ἐπειδὴ δὲ C ‖ 14 δεδίασιν A^c pr., nunc corr. ead. man. δεδίασιν ‖ 15 εἰσὶ post θαρραλέοι om. ΘΠTr. Ald. ‖ 16 alt. τὸ om. QY^bBDEAld. ‖ ⟨φόβῳ καὶ τὸ θαρραλέον τῷ⟩ inseruit ed. Veneta, om. libri omnes ‖ τὸ γὰρ θαρραλέον ἐναντίον τῷ φοβερῷ invenisse videtur Tr. ‖ 17 ὡς pro ὥστε A^c ‖ 18 σωτηρίων ἐστὶν ὡς ΘBCD ‖ 20 γρ. ἢ τὰ σωτήρια C in marg., quod et ipsum vel τὰ ἐναντία coni. Spengel ‖ 21 ἢ πολλαὶ ΘΠTr. Ald. ‖ 24 πεποιηκότες ὦσιν εὖ ΘΠ ‖ εἰς ταὐτὰ συμφερόμενοι QZ^b(?) DEAld. ‖ ταῦτα A^c ‖ 27 καὶ ἐὰν Tr. ‖ 28 ὦσιν post διαπεφευγότες om. ΘΠAld. et habent post ἐληλυθότες.

Digitized by Google

ἄνθρωποι, ἢ τῷ μὴ πεπειρᾶσθαι ἢ τῷ βοηθείας ἔχειν, ὥσπερ ἐν τοῖς κατὰ θάλατταν κινδύνοις οἵ τε ἄπειροι χειμῶνος θαρροῦσι τὰ μέλλοντα καὶ οἱ βοηθείας ἔχοντες διὰ τὴν ἐμπειρίαν. καὶ ὅταν τοῖς ὁμοίοις φοβερὸν μὴ ᾖ, μηδὲ τοῖς ἥττοσι καὶ ὧν κρείττους οἴονται εἶναι· οἴονται δὲ ὧν κεκρατήκασιν ἢ αὐτῶν ἢ τῶν κρειττόνων ἢ τῶν ὁμοίων. καὶ ἂν ὑπάρχειν αὐτοῖς οἴωνται πλείω καὶ μείζω, οἷς ὑπερέχοντες φοβεροί εἰσιν· ταῦτα δὲ ἐστὶ πλῆθος χρημάτων καὶ ἰσχὺς σωμάτων καὶ φίλων καὶ χώρας καὶ τῶν πρὸς πόλεμον παρασκευῶν, ἢ πασῶν ἢ τῶν μεγίστων. καὶ ἐὰν μὴ ἠδικηκότες ὦσιν μηδένα ἢ μὴ πολλοὺς ἢ μὴ τούτους παρ' ὧν φοβοῦνται. καὶ ὅλως ἂν πρὸς τοὺς θεοὺς αὐτοῖς καλῶς ἔχῃ, τά τε ἄλλα καὶ τὰ ἀπὸ σημείων καὶ λογίων· θαρραλέον γὰρ ἡ ὀργή, τὸ δὲ μὴ ἀδικεῖν ἀλλ' ἀδικεῖσθαι ὀργῆς ποιητικόν, τὸ δὲ θεῖον ὑπολαμβάνεται βοηθεῖν τοῖς ἀδικουμένοις. καὶ ὅταν ἐπιχειροῦντες ἢ μηδὲν ἂν παθεῖν μηδὲ πείσεσθαι ἢ κατορθώσειν οἴωνται. καὶ περὶ μὲν τῶν φοβερῶν καὶ θαρραλέων εἴρηται·

6 ποῖα δ' αἰσχύνονται καὶ ἀναισχυντοῦσιν, καὶ πρὸς τίνας καὶ πῶς ἔχοντες, ἐκ τῶνδε δῆλον. ἔστω δὴ αἰσχύνη λύπη τις ἢ ταραχὴ περὶ τὰ εἰς ἀδοξίαν φαινόμενα φέρειν τῶν κακῶν, ἢ παρόντων ἢ γεγονότων ἢ μελλόντων, ἡ δ' ἀναισχυντία ὀλιγωρία τις καὶ ἀπάθεια περὶ τὰ αὐτὰ ταῦτα. εἰ δή ἐστιν αἰσχύνη ἡ ὁρισθεῖσα, ἀνάγκη αἰσχύ-

32 φοβερὸν μὴ ᾖ ex A^c schol., recepi, μὴ ᾖ φοβερόν ΘΠTr. Ald. ‖ 1383 b, 2 καὶ χώρας καὶ φίλων ΘΠAld. ‖ 4 ἢ μηδένα ΘΠTr. Ald. ‖ τούτους παρ' ὧν scripsi ex schol. et Spengelii coniectura, τούτους ἢ περὶ A^c, τοιούτους περὶ ΘΠAld. ‖ 5 καὶ ὅλως et quae sequuntur cum antecedenti loco arctius coniungenda et maior interpunctio post φοβοῦνται delenda videtur ‖ τὰ πρὸς θεούς Θ ΠTr. schol. Ald., τά om. A^c Spengel ‖ 6 ι in λογίων in litura A^c ‖ 9 Sic ex A^c Bekker, προεπιχειροῦντες ΘΠTr. schol. Ald. ‖ 10 μηδὲ πείσεσθαι dubitanter delet Spengel nec legit schol. ‖ 13 et 17 δ' ΘBCD ‖ 14 καὶ ταραχή ΘΠTr. schol. Ald., ἢ ex A^c Bekker ‖ 16 εἰ in ἀπάθεια corr. A^c ‖ τὰ om. ΘΠ.

Digitized by Google

νεσθαι ἐπὶ τοῖς τοιούτοις τῶν κακῶν ὅσα αἰσχρὰ δοκεῖ εἶναι ἢ αὐτῷ ἢ ὧν φροντίζει· τοιαῦτα δ' ἐστὶν ὅσα ἀπὸ κακίας
20 ἔργα ἐστίν, οἷον τὸ ἀποβαλεῖν ἀσπίδα ἢ φυγεῖν· ἀπὸ δειλίας γάρ. καὶ τὸ ἀποστερῆσαι παρακαταθήκην ἢ ἀδικῆσαι· ἀπὸ ἀδικίας γάρ. καὶ τὸ συγγενέσθαι οἷς οὐ δεῖ ἢ οὗ οὐ δεῖ ἢ ὅτε μὴ δεῖ· ἀπὸ ἀκολασίας γάρ. καὶ τὸ κερδαίνειν ἀπὸ μικρῶν ἢ αἰσχρῶν ἢ ἀπὸ ἀδυνάτων, οἷον πενήτων ἢ
25 τεθνεώτων, ὅθεν καὶ ἡ παροιμία τὸ ἀπὸ νεκροῦ φέρειν· ἀπὸ αἰσχροκερδείας γὰρ καὶ ἀνελευθερίας. καὶ τὸ μὴ βοηθεῖν δυνάμενον εἰς χρήματα, ἢ ἧττον βοηθεῖν. καὶ τὸ βοηθεῖσθαι παρὰ τῶν ἥττον εὐπόρων. καὶ δανείζεσθαι ὅτε δόξει αἰτεῖν, καὶ αἰτεῖν ὅτε ἀπαιτεῖν, καὶ ἀπαιτεῖν ὅτε
30 αἰτεῖν, καὶ ἐπαινεῖν ἵνα δόξῃ αἰτεῖν, καὶ τὸ ἀποτετυχηκότα μηδὲν ἧττον· πάντα γὰρ ἀνελευθερίας ταῦτα σημεῖα. τὸ δ' ἐπαινεῖν παρόντας κολακείας καὶ τὸ τἀγαθὰ μὲν ὑπερεπαινεῖν τὰ δὲ φαῦλα συναλείφειν, καὶ τὸ ὑπεραλγεῖν ἀλγοῦντι παρόντα, καὶ τἆλλα πάντα ὅσα τοιαῦτα·
35 κολακείας γὰρ σημεῖα. καὶ τὸ μὴ ὑπομένειν πόνους οὓς οἱ
1384 a πρεσβύτεροι ἢ τρυφῶντες ἢ ἐν ἐξουσίᾳ μᾶλλον ὄντες ἢ ὅλως οἱ ἀδυνατώτεροι· πάντα γὰρ μαλακίας σημεῖα. καὶ τὸ ὑφ' ἑτέρου εὖ πάσχειν, καὶ τὸ πολλάκις, καὶ ὃ εὖ ἐποίησεν ὀνειδίζειν· μικροψυχίας γὰρ πάντα καὶ ταπεινό-
5 τητος σημεῖα. καὶ τὸ περὶ αὐτοῦ πάντα λέγειν καὶ ἐπαγ-

18 αἰσχύνεσθαι μὲν ΘΠTr. ‖ 18 ἃ δοκεῖ αἰσχρὰ εἶναι αὐτῷ ΘΠTr. ‖ εἶναι om. Ald. ‖ 19 ὧι pro ὧν A^c ‖ 20 τὸ ante ἀποβάλλειν (sic) om. ΘΠ ‖ 21 ἢ ἀδικῆσαι ex A^c recepit Spengel, om. ΘΠTr. Ald. ‖ 22 οὗ ex A^c Spengel, ὅπου οὐ ΘΠ schol. ‖ ἢ ὅτε μὴ δεῖ om. A^c ‖ 24 ἢ ἀπ' αἰσχρῶν ΘΠTr. schol. ‖ 25 post τὸ add. κἂν ΘΠ schol., om. A^c Tr. Spengel ‖ 26 αἰσχροκερδίας A^c Z^b D E ‖ 32 παρόντα ΘΠTr. ‖ κολακείας seclusit Bekker[3] praeeunte Vahlenio, qui totum locum constituit καὶ τὸ ἐπαινεῖν παρόντα καὶ ‖ 34 ἐπ' ἀλγοῦντι ΘΠTr. Ald., omisso παρόντα, quod servavit A^c et legit schol. ‖ 1384 a, 1 ἢ οἱ τρυφῶντες ΘΠ ‖ ἢ οἱ ἐν ἐξουσίᾳ Y^b Π ‖ ὄντες om. ΘΠ (praeter C) schol. ‖ 3 καὶ ἃ ΘΠ Tr. ‖ καὶ ante δ om. C ‖ 5 πάντα om. ΘΠTr. Ald. schol.

Digitized by Google

γέλλεσθαι, καὶ τὸ τἀλλότρια αὐτοῦ φάσκειν· ἀλαζονείας γάρ. ὁμοίως δὲ καὶ ἀπὸ τῶν ἄλλων ἑκάστης τῶν τοῦ ἤθους κακῶν τὰ ἔργα καὶ τὰ σημεῖα καὶ τὰ ὅμοια· αἰσχρὰ γὰρ καὶ ἀναίσχυντα. καὶ ἐπὶ τούτοις τὸ τῶν παλῶν ὧν πάντες μετέχουσιν ἢ οἱ ὅμοιοι πάντες ἢ οἱ πλεῖστοι, μὴ 10 μετέχειν. ὁμοίους δὲ λέγω ὁμοεθνεῖς, πολίτας, ἡλικιώτας, συγγενεῖς, ὅλως τοὺς ἐξ ἴσου· αἰσχρὸν γὰρ ἤδη τὸ μὴ μετέχειν, οἷον παιδεύσεως ἐπὶ τοσοῦτον καὶ τῶν ἄλλων ὁμοίως. πάντα δὲ ταῦτα μᾶλλον, ἂν δι' ἑαυτὸν φαίνηται· οὕτω γὰρ ἤδη ἀπὸ κακίας μᾶλλον, ἂν αὐτὸς ᾖ αἴτιος τῶν ὑπαρ- 15 ξάντων ἢ ὑπαρχόντων ἢ μελλόντων. πάσχοντες δὲ ἢ πεπονθότες ἢ πεισόμενοι τὰ τοιαῦτα αἰσχύνονται ὅσα εἰς ἀτιμίαν φέρει καὶ ὀνείδη· ταῦτα δ' ἐστὶ τὰ εἰς ὑπηρετήσεις ἢ σώματος ἢ ἔργων αἰσχρῶν, ὧν ἐστιν τὸ ὑβρίζεσθαι. καὶ τὰ μὲν εἰς ἀπολασίαν καὶ ἑκόντα καὶ ἄκοντα, τὰ δ' εἰς 20 βίαν ἄκοντα· ἀπὸ ἀνανδρίας γὰρ ἢ δειλίας ἡ ὑπομονὴ καὶ τὸ μὴ ἀμύνεσθαι.

ἃ μὲν οὖν αἰσχύνονται, ταῦτ' ἐστὶ καὶ τὰ τοιαῦτα· ἐπεὶ δὲ περὶ ἀδοξίας φαντασία ἐστὶν ἡ αἰσχύνη, καὶ ταύτης αὐτῆς χάριν ἀλλὰ μὴ τῶν ἀποβαινόντων, οὐδεὶς δὲ τῆς δόξης φροντίζει ἀλλ' ἢ διὰ τοὺς δοξάζοντας, ἀνάγκη 25 τούτους αἰσχύνεσθαι ὧν λόγον ἔχει. λόγον δὲ ἔχει τῶν θαυμαζόντων, καὶ οὓς θαυμάζει, καὶ ὑφ' ὧν βούλεται θαυμάζεσθαι, καὶ πρὸς οὓς φιλοτιμεῖται, καὶ ὧν μὴ καταφρονεῖ τῆς δόξης. θαυμάζεσθαι μὲν οὖν βούλονται ὑπὸ

6 ἀλαζονεία ΘΠTr. ‖ 7 καὶ ἐπὶ τῶν ἄλλων ΘΠTr. ‖ „moralium malitiarum" Tr. (ἡθικῶν et sic schol.) ‖ 9 ἀναίσχυντα ex A^c Spengel, αἰσχυντικὰ ΘBC, αἰσχύντηλα DEAld. ‖ Mureti exemplo deleto γὰρ totum locum coniungit Vahlen: ὁμοίως δὲ καὶ ἀπὸ τῶν ἄλλων . . . καὶ τὰ ὅμοια αἰσχρὰ καὶ ἀναίσχυντα, quod et interpretatur schol. ‖ 11 ἡλικας ΘΠ ‖ ὁμοίους δὲ — 12 μετέχειν om. Z^bC ‖ 14 ἂν δι' ἑαυτὸν — κακίας μᾶλλον om. ΘΠTr. ‖ 15 ἂν οὗτος A^c ἂν ead. man. superscr. ‖ 18 τὰ εἰς] ὅσα εἰς ΘΠTr. Ald. ‖ 24 οὐδεὶς γὰρ Tr. ‖ 25 ἀλλ' ἢ ΘΠ (praeter C), ἀλλὰ διὰ τοὺς δόξαντας A^c ‖ 26 λόγον γὰρ ἔχει Tr.

Digitized by Google

30 τούτων καὶ θαυμάζουσι τούτους ὅσοι τι ἔχουσιν ἀγαθὸν τῶν τιμίων, ἢ παρ' ὧν τυγχάνουσιν δεόμενοι σφόδρα τινὸς ὧν ἐκεῖνοι κύριοι, οἷον οἱ ἐρῶντες· φιλοτιμοῦνται δὲ πρὸς τοὺς ὁμοίους, φροντίζουσι δ' ὡς ἀληθευόντων τῶν φρονίμων, τοιοῦτοι δ' οἵ τε πρεσβύτεροι καὶ οἱ πεπαιδευμένοι. καὶ τὰ 35 ἐν ὀφθαλμοῖς καὶ τὰ ἐν φανερῷ μᾶλλον· ὅθεν καὶ ἡ παροιμία τὸ ἐν ὀφθαλμοῖς εἶναι αἰδῶ. διὰ τοῦτο τοὺς ἀεὶ παρεσομένους μᾶλλον αἰσχύνονται καὶ τοὺς προσέχοντας 1384b αὐτοῖς, διὰ τὸ ἐν ὀφθαλμοῖς ἀμφότερα. καὶ τοὺς μὴ περὶ ταὐτὰ ἐνόχους· δῆλον γὰρ ὅτι τἀναντία δοκεῖ τούτοις. καὶ τοὺς μὴ συγγνωμονικοὺς τοῖς φαινομένοις ἁμαρτάνειν· ἃ γάρ τις αὐτὸς ποιεῖ, ταῦτα λέγεται τοῖς πέλας οὐ νεμεσᾶν, 5 ὥστε ἃ μὴ ποιεῖ, δῆλον ὅτι νεμεσᾷ. καὶ τοὺς ἐξαγγελτικοὺς πολλοῖς· οὐδὲν γὰρ διαφέρει μὴ δοκεῖν ἢ μὴ ἐξαγγέλλειν. ἐξαγγελτικοὶ δὲ οἵ τε ἠδικημένοι διὰ τὸ παρατηρεῖν καὶ οἱ κακολόγοι· εἴπερ γὰρ καὶ τοὺς μὴ ἁμαρτάνοντας, ἔτι μᾶλλον τοὺς ἁμαρτάνοντας. καὶ οἷς ἡ διατριβὴ ἐπὶ ταῖς 10 τῶν πέλας ἁμαρτίαις, οἷον χλευασταῖς καὶ κωμῳδοποιοῖς· κακολόγοι γάρ πως οὗτοι καὶ ἐξαγγελτικοί. καὶ ἐν οἷς μηδὲν ἀποτετυχήκασιν· ὥσπερ γὰρ θαυμαζόμενοι διάκειν-ται. διὸ καὶ τοὺς πρῶτον δεηθέντας τι αἰσχύνονται ὡς οὐδέν πω ἠδοξηκότες ἐν αὐτοῖς· τοιοῦτοι δὲ οἱ ἄρτι βουλόμενοι 15 φίλοι εἶναι· τὰ γὰρ βέλτιστα τεθέανται, διὸ εὖ ἔχει ἡ τοῦ

30 οἳ ἔχουσί τι ΘΠTr. schol. Ald. ‖ 32 ν superscr. in ἐρῶντες A^c ‖ 35 μᾶλλον post ἐν φανερῷ om. ΘΠTr. schol. Ald. ‖ 36 καὶ διὰ τοῦτο ΘΠTr. ‖ 1384b, 1 ἀμφοτέρους C ‖ 2 Sic A^cTr.BCVict., δῆλον γὰρ τοῖς φαινομένοις ἁμαρτάνειν τἀναντία δοκεῖν (δοκεῖ DE) καὶ τοὺς μὴ συγγνωμονικούς· ἃ γάρ τις... ΘDE ‖ Verba καὶ τοὺς μὴ συγγνωμονικοὺς τοῖς φαινομένοις ἁμαρτάνειν aut post δῆλον ὅτι νεμεσᾷ ponenda aut totum hunc locum καὶ τοὺς μὴ — ἁμαρτάνειν praecedenti praeponendum censet Spengel ‖ 5 ἂν μὴ ποιῇ ΘCDETr. ‖ 6 μὴ ἰδεῖν ἢ μή coni. Bonitz ‖ 8 καὶ om. Tr. ‖ 13 τι δεηθέντας ΘΠTr. Ald. ‖ 14 ἠδοξηκότες ex A^cVict. et sic etiam CEΘ(?), ἠξιωκότες Tr.BDAld., γρ. καὶ οὐδέν πως ἠδοξηκότες schol. ‖ οἵ τε ἄρτι ΘΠ, τε om. A^c Spengel cf. 1380a, 6 ‖ 15 „optima enim proponuntur" (? τίθενται schol.) Tr.

Digitized by Google

Εὐριπίδου ἀπόκρισις πρὸς τοὺς Συρακοσίους, καὶ τῶν πάλαι γνωρίμων οἱ μηδὲν συνειδότες. αἰσχύνονται δὲ οὐ μόνον αὐτὰ τὰ ῥηθέντα αἰσχυντηλὰ ἀλλὰ καὶ τὰ σημεῖα, οἷον οὐ μόνον ἀφροδισιάζοντες ἀλλὰ καὶ τὰ σημεῖα αὐτοῦ. καὶ οὐ μόνον ποιοῦντες τὰ αἰσχρά, ἀλλὰ καὶ λέγοντες. ὁμοίως 20 *δὲ οὐ τοὺς εἰρημένους μόνον αἰσχύνονται, ἀλλὰ καὶ τοὺς δηλώσοντας αὐτοῖς, οἷον θεράποντας καὶ φίλους τούτων. ὅλως δὲ οὐκ αἰσχύνονται οὗθ' ὧν πολὺ καταφρονοῦσι τῆς δόξης τοῦ ἀληθεύειν· οὐδεὶς γὰρ παιδία καὶ θηρία αἰσχύνεται, οὔτε ταὐτὰ τοὺς γνωρίμους καὶ τοὺς ἀγνῶτας, ἀλλὰ τοὺς μὲν γνωρίμους* 25 *τὰ πρὸς ἀλήθειαν δοκοῦντα τοὺς δ' ἄπωθεν τὰ πρὸς τὸν νόμον.*

αὐτοὶ δὲ ὧδε διακείμενοι αἰσχυνθεῖεν ἄν, πρῶτον μὲν εἰ ὑπάρχοιεν πρὸς αὐτοὺς ἔχοντες οὕτως τινὲς οἵους ἔφαμεν εἶναι οὓς αἰσχύνονται. ἦσαν δ' οὗτοι ἢ θαυμαζόμενοι ἢ θαυμάζοντες ἢ ὑφ' ὧν βούλονται θαυμάζεσθαι, 30 *ἢ ὧν δέονταί τινα χρείαν ὧν μὴ τεύξονται ἄδοξοι ὄντες, καὶ οὗτοι ἢ δρῶντες, ὥσπερ Κυδίας περὶ τῆς Σάμου κληρουχίας ἐδημηγόρησεν· ἠξίου γὰρ ὑπολαβεῖν τοὺς Ἀθηναίους περιεστάναι κύκλῳ τοὺς Ἕλληνας, ὡς δρῶντας καὶ μὴ μόνον ἀκουσομένους ἃ ἂν ψηφίσωνται, ἢ ἂν πλησίον ὦσιν οἱ* 35 *τοιοῦτοι, ἢ μέλλωσιν αἰσθήσεσθαι. διὸ καὶ δρᾶσθαι ἀτυχοῦντες ὑπὸ τῶν ζηλούντων ποτὲ οὐ βούλονται· θαυμασταὶ γὰρ οἱ ζηλωταί. καὶ ὅταν ἔχωσιν ἃ καταισχύνουσιν ἔργα καὶ* 1385a *πράγματα ἢ αὐτῶν ἢ προγόνων ἢ ἄλλων τινῶν πρὸς οὓς ὑπάρχει αὐτοῖς ἀγχιστεία τις. καὶ ὅλως ὑπὲρ ὧν αἰσχύνον-*

16 Ὑπερίδου coni. Ruhnken ‖ 19 σημεῖα αὐτῶν ΘΠTr. Ald. ‖ 21 οὐδὲ τοὺς εἰρημένους αἰσχύνονται μόνον ΘΠ ‖ „solos" Tr. (μόνους ut et in B) ‖ 22 αὐτοῖς ex A^c et Tr. Vict., αὐτοὺς QΠ ‖ 23 πολύ A^c Vict., πολλοὶ ΘΠTr. schol. ‖ τοῦ ἀληθεύειν in versione om. Muretus ‖ 24 θηρία καὶ παιδία ΘΠTr. ‖ 25 ταῦτα A^c ‖ 26 νόμον] πρὸς δόξαν μόνον E, quam varietatem et novit schol. ‖ 31 ἧς coni. Sauppe (at cf. Polit. 1255a, 6) ‖ 35 ἂν post ἢ om. A^c ‖ 37 ποτὲ οὐ om. A^c ‖ 1385a, 1 καταισχύνουσι cum Tr. et schol. Spengel, καταισχύνωσι A^c, καταισχυνοῦσι ΘΠ ‖ 3 αὐτοῖς ἀγχιστεία τις A^c, τις αὐτοῖς ἀγχιστεία ΘΠ ‖ 3 αἰσχυνοῦνται A^c.

Digitized by Google

ται αὐτοί· εἰσὶ δ' οὗτοι οἱ εἰρημένοι καὶ οἱ εἰς αὐτοὺς ἀνα-
5 *φερόμενοι, ἢ ὧν διδάσκαλοι ἢ σύμβουλοι γεγόνασιν, ἢ ἐὰν ὦσιν ἕτεροι ὅμοιοι, πρὸς οὓς φιλοτιμοῦνται· πολλὰ γὰρ αἰσχυνόμενοι διὰ τοὺς τοιούτους καὶ ποιοῦσι καὶ οὐ ποιοῦσιν. καὶ μέλλοντες δρᾶσθαι καὶ ἐν φανερῷ ἀναστρέφεσθαι τοῖς συνειδόσιν αἰσχυντηλοὶ μᾶλλον εἰσίν. ὅθεν καὶ Ἀντιφῶν ὁ*
10 *ποιητὴς μέλλων ἀποτυμπανίζεσθαι ὑπὸ Διονυσίου εἶπεν, ἰδὼν τοὺς συναποθνήσκειν μέλλοντας ἐγκαλυπτομένους ὡς ἤεσαν διὰ τῶν πυλῶν, τί ἐγκαλύπτεσθε ἔφη· ἢ μὴ αὔριόν τις ὑμᾶς ἴδῃ τούτων;*

περὶ μὲν οὖν αἰσχύνης ταῦτα· περὶ δὲ ἀναισχυντίας δῆ-
15 *λον ὡς ἐκ τῶν ἐναντίων εὐπορήσομεν. τίσιν δὲ χάριν ἔχουσι* 7
καὶ ἐπὶ τίσιν καὶ πῶς αὐτοὶ ἔχοντες, ὁρισαμένοις τὴν χάριν δῆλον ἔσται. ἔστω δὴ χάρις, καθ' ἣν ὁ ἔχων λέγεται χάριν ἔχειν, ὑπουργία δεομένῳ μὴ ἀντί τινος, μηδ' ἵνα τι αὐτῷ ὑπουργοῦντι ἀλλ' ἵνα τι ἐκείνῳ· μεγάλη δὲ ἂν ᾖ σφόδρα
20 *δεομένῳ, ἢ μεγάλων καὶ χαλεπῶν, ἢ ἐν καιροῖς τοιούτοις, ἢ μόνος ἢ πρῶτος ἢ μάλιστα. δεήσεις δὲ εἰσὶν αἱ ὀρέξεις, καὶ τούτων μάλιστα αἱ μετὰ λύπης τοῦ μὴ γιγνομένου. τοιαῦται δὲ αἱ ἐπιθυμίαι, οἷον ἔρως. καὶ αἱ ἐν ταῖς τοῦ σώματος κακώσεσιν καὶ ἐν κινδύνοις· καὶ γὰρ ὁ κινδυνεύων*
25 *ἐπιθυμεῖ καὶ ὁ λυπούμενος. διὸ οἱ ἐν πενίᾳ παριστάμενοι καὶ φυγαῖς, κἂν μικρὰ ὑπηρετήσωσιν, διὰ τὸ μέγεθος τῆς*

5 ἢ ante ὧν ex A^c Spengel, om. *ΘΠ*Tr. Ald. schol. ‖ *καὶ ἐάν ΘΠ*Tr. ‖ 9 *αἰσχυντηροί* A^c ‖ 10 *ἀποτυπανίζεσθαι* A^c ut 1383a, 5 ‖ 12 *ἐγκαλύπτεσθαι* A^c ‖ *ἔφη* om. BC ‖ 13 *ἡμᾶς* QY^{b}B (D ex corr.) ‖ 15 *εὑρήσομεν* A^c ‖ 16 *καὶ* ante *πῶς* ex Tr. (cod. m.) probabiliter coni. Spengel, ἢ libri ‖ 18 Sic Spengel rectissime ex A^{c}pr. *ὑπουργία δεομένων*, sed corr. rec. man. *ὑπουργεῖν τω δεομένωι, καθ' ἣν ὁ ἔχων λέγεται χάριν ὑπουργεῖν* (*τῷ* addunt BC schol.) *δεομένῳ ΘΠ*Tr. schol. Ald. ‖ 19 *τῷ ὑπουργοῦντι ΘΠ* ‖ *ἐκείνῳ τι ΘΠ*Tr. ‖ 20 *δεομένων Θ*BE Tr. Ald. ‖ 21 *εἰσὶν διορέξεις* A^c ‖ 22 *μὴ γιγνομένου* ex A^c et Tr. Vict., *τοῦ μεταγιγνομένου* QZ^{b}DE ‖ 23 *ὁ ἔρως ΘΠ* ‖ *αἱ* post *καὶ* om. *ΘΠ*.

Digitized by Google

δεήσεως καὶ τὸν καιρὸν κεχαρισμένοι, οἷον ὁ ἐν Λυκείῳ τὸν φορμὸν δούς. ἀνάγκη οὖν μάλιστα μὲν εἰς ταὐτὰ ἔχειν τὴν ὑπουργίαν, εἰ δὲ μή, εἰς ἴσα ἢ μείζω, ὥστε ἐπεὶ φανερὸν καὶ οἷς καὶ ἐφ' οἷς γίγνεται χάρις καὶ πῶς ἔχουσι, δῆλον 30 ὅτι ἐκ τούτων παρασκευαστέον, τοὺς μὲν δεικνύντας ἢ ὄντας ἢ γεγενημένους ἐν τοιαύτῃ λύπῃ καὶ δεήσει, τοὺς δὲ ὑπηρετηκότας ἐν τοιαύτῃ χρείᾳ τοιοῦτόν τι ἢ ὑπηρετοῦντας. φανερὸν δὲ καὶ ὅθεν ἀφαιρεῖσθαι ἐνδέχεται τὴν χάριν καὶ ποιεῖν ἀχαρίστους· ἢ γὰρ ὅτι αὐτῶν ἕνεκα ὑπηρετοῦσιν ἢ 1385b ὑπηρέτησαν (τοῦτο δ' οὐκ ἦν χάρις) ἢ ὅτι ἀπὸ τύχης συνέπεσεν ἢ συνηναγκάσθησαν, ἢ ὅτι ἀπέδωκαν ἀλλ' οὐκ ἔδωκαν, εἴτε εἰδὼς εἴτε μὴ εἰδώς· ἀμφοτέρως γὰρ τὸ ἀντί τινος, ὥστε οὐδ' οὕτως ἂν εἴη χάρις. καὶ περὶ ἁπάσας τὰς κατη- 5 γορίας σκεπτέον· ἡ γὰρ χάρις ἐστὶν ἢ ὅτι τοδὶ ἢ τοσόνδε ἢ τοιόνδε ἢ ποτὲ ἢ ποῦ. σημεῖον δὲ εἰ ἔλαττον μὴ ὑπηρέτησαν, καὶ εἰ τοῖς ἐχθροῖς ἢ ταὐτὰ ἢ ἴσα ἢ μείζω· δῆλον γὰρ ὅτι οὐδὲ ταῦτα ἡμῶν ἕνεκα. ἢ εἰ φαῦλα εἰδώς· οὐδεὶς γὰρ ὁμολογεῖ δεῖσθαι φαύλων. 10

καὶ περὶ μὲν τοῦ χαρίζεσθαι καὶ ἀχαριστεῖν εἴρηται· ποῖα δ' ἐλεεινὰ καὶ τίνας ἐλεοῦσι, καὶ πῶς αὐτοὶ ἔχοντες,
8 λέγωμεν. ἔστω δὴ ἔλεος λύπη τις ἐπὶ φαινομένῳ κακῷ φθαρτικῷ ἢ λυπηρῷ τοῦ ἀναξίου τυγχάνειν, ὃ κἂν αὐτὸς προσ-

27 δεήσεως ex A^c et Tr. Vict., αἰτήσεως ΘBD ‖ αἰσθήσεως E. schol. ‖ κεχαρισμένον A^c pr., κεχαρισμένοι corr. man. rec. ‖ 28 ταὐτά schol. fol. 36 a, 4, Bekker[3], ταῦτα A^c, quod probat Spengel, τοιαῦτα ΘΠTr. Ald. ‖ 30 οἷς ex A^c Spengel, ὅτε ΘΠTr. Ald. ‖ 31 δεικνύοντας ΘBC ‖ 32 ἐν τῇ τοιαύτῃ A^c, δεήσει καὶ λύπῃ ΘΠAld. ‖ 33 τοὺς δὲ ὑπηρετῆσαι ΘΠ ‖ τῇ αὐτῇ χρείαι A^c, utrobique τῇ αὐτῇ scribendum censet Spengel ‖ ἢ ante ὑπηρετοῦντας tuetur Tr. (cod. m.: aut), om. cet., prima dedit Bas. Isingr. ‖ 1385b, 3 ἠναγκάσθησαν ΘΠTr. schol. ‖ ἀλλ' om. ΘΠ ‖ 4 εἴτε εἰδὼς εἴτε μὴ εἰδὼς ex A^c recepi cf. Vahlen. Poet. p. 236. et variet. ad 1376b, 1, εἴτε εἰδότες εἴτε μὴ ΘΠTr. schol. ‖ τὸ ex A^c Spengel, τι ΘΠTr. schol. ‖ 6 τοσονδὶ ἢ τοιονδί ΘΠAld. ‖ 7 ὑπηρέτησε ΘCDEAld. schol. ‖ 13 φαρτικῶι A^c ‖ 14 ἢ λυπηρῶι A^c et Tr. Spengel, καὶ ΘΠAld. schol. cf. et varietat. ad 1383b, 14.

Digitized by Google

15 δοκήσειεν ἂν παθεῖν ἢ τῶν αὐτοῦ τινα, καὶ τοῦτο ὅταν πλησίον φαίνηται· δῆλον γὰρ ὅτι ἀνάγκη τὸν μέλλοντα ἐλεήσειν ὑπάρχειν τοιοῦτον οἷον οἴεσθαι παθεῖν ἄν τι κακὸν ἢ αὐτὸν ἢ τῶν αὐτοῦ τινα, καὶ τοιοῦτο κακὸν οἷον εἴρηται ἐν τῷ ὅρῳ ἢ ὅμοιον ἢ παραπλήσιον, διὸ οὔτε οἱ παντελῶς 20 ἀπολωλότες ἐλεοῦσιν· οὐδὲν γὰρ ἂν ἔτι παθεῖν οἴονται· πεπόνθασι γάρ, οὔτε οἱ ὑπερευδαιμονεῖν οἰόμενοι, ἀλλ' ὑβρίζουσιν· εἰ γὰρ ἅπαντα οἴονται ὑπάρχειν τἀγαθά, δῆλον ὅτι καὶ τὸ μὴ ἐνδέχεσθαι παθεῖν μηδὲν κακόν· καὶ γὰρ τοῦτο τῶν ἀγαθῶν. εἰσὶ δὲ τοιοῦτοι οἷοι νομίζειν παθεῖν ἂν οἵ 25 τε πεπονθότες ἤδη καὶ διαπεφευγότες, καὶ οἱ πρεσβύτεροι καὶ διὰ τὸ φρονεῖν καὶ δι' ἐμπειρίαν, καὶ οἱ ἀσθενεῖς, καὶ οἱ δειλότεροι μᾶλλον, καὶ οἱ πεπαιδευμένοι· εὐλόγιστοι γάρ. καὶ οἷς ὑπάρχουσι γονεῖς ἢ τέκνα ἢ γυναῖκες· αὐτοῦ τε γὰρ ταῦτα, καὶ οἷα παθεῖν τὰ εἰρημένα. καὶ οἱ μήτε ἐν ἀν- 30 δρίας πάθει ὄντες, οἷον ἐν ὀργῇ ἢ θάρρει, ἀλόγιστα γὰρ τοῦ ἐσομένου ταῦτα, μήτε ἐν ὑβριστικῇ διαθέσει, καὶ γὰρ οὗτοι ἀλόγιστοι τοῦ πείσεσθαί τι, ἀλλ' οἱ μεταξὺ τούτων. μήτ' αὖ φοβούμενοι σφόδρα· οὐ γὰρ ἐλεοῦσιν οἱ ἐκπεπληγμένοι διὰ τὸ εἶναι πρὸς τῷ οἰκείῳ πάθει. κἂν οἴωνταί 35 τινας εἶναι τῶν ἐπιεικῶν· ὁ γὰρ μηδένα οἰόμενος πάντας 1386a οἰήσεται ἀξίους εἶναι κακοῦ. καὶ ὅλως δὴ ὅταν ἔχῃ οὕτως ὥστ' ἀναμνησθῆναι τοιαῦτα συμβεβηκότα ἢ αὐτῷ ἢ τῶν αὐτοῦ, ἢ ἐλπίσαι γενέσθαι αὐτῷ ἢ τῶν αὐτοῦ.

15 ἂν om. ΘΠ ‖ καὶ τούτων Tr. et A^c pr., sed ex corr. τοῦτο ‖ 17 οἰήσεσθαι ΘΠ Ald. ‖ 20 οἴωνται ΘBC ‖ 23 μηδὲν] τι ΘΠ Ald. ‖ 25 τε om. ΘBCE Ald. ‖ 27 οἱ ante δειλότεροι om. QZ^b Y^b pr. D ‖ 28 καὶ τέκνα ΘΠ Ald. ‖ τε om. ΘBE ‖ 29 τὰ εἰρημένα A^c schol. Vict., διὰ τὰ εἰρημένα ΘBDE Tr. ‖ οἱ om. A^c ‖ ἀνδρείας A^c ‖ 31 Verba ἐν ὑβριστικῇ διαθέσει et quae sequuntur ἀλλ' οἱ μεταξὺ τούτων suo loco mota esse et hic quaedam excidisse censet Spengelius (vix recte) ‖ 32 οἱ] ἀεὶ ΘZ^b pr. DE Ald. ‖ 35 εἶναι ἐπιεικεῖς ΘΠ Tr. schol. ‖ 1386a, 1 δὴ A^c C, δὲ BDE Θ(?) ‖ ἔχῃ om. ΘΠ ‖ 3 ἢ ἐλπίσαι — αὐτοῦ om. Z^b ‖ ἢ αὐτῷ ΘΠ Ald. Spengel; at cf. 1378a, 32 et 35; itaque ἢ cum A^c delevi ‖ „aut suorum alicui“

Digitized by Google

ὡς μὲν οὖν ἔχοντες ἐλεοῦσιν, εἴρηται, ἃ δ' ἐλεοῦσιν, ἐκ τοῦ ὁρισμοῦ δῆλον· ὅσα τε γὰρ τῶν λυπηρῶν καὶ ὀδυνηρῶν φθαρτικά, πάντα ἐλεεινά, καὶ ὅσα ἀναιρετικά, καὶ ὅσων ἡ τύχη αἰτία κακῶν μέγεθος ἐχόντων. ἔστι δὲ ὀδυνηρὰ μὲν καὶ φθαρτικὰ θάνατοι καὶ αἰκίαι σωμάτων καὶ κακώσεις καὶ γῆρας καὶ νόσοι καὶ τροφῆς ἔνδεια, ὧν δ' ἡ τύχη αἰτία κακῶν, ἀφιλία, ὀλιγοφιλία, καὶ τὸ διασπᾶσθαι ἀπὸ φίλων καὶ συνήθων ἐλεεινόν, αἶσχος, ἀσθένεια, ἀναπηρία. καὶ τὸ ὅθεν προσῆκεν ἀγαθόν τι ὑπάρξαι, κακόν τι συμβῆναι. καὶ τὸ πολλάκις τοιοῦτον. καὶ τὸ πεπονθότος γενέσθαι τι ἀγαθόν, οἷον Διοπείθει τὰ παρὰ βασιλέως τεθνεῶτι κατεπέμφθη. καὶ τὸ ἢ μηδὲν γεγενῆσθαι ἀγαθόν, ἢ γενομένων μὴ εἶναι ἀπόλαυσιν.

ἐφ' οἷς μὲν οὖν ἐλεοῦσι, ταῦτα καὶ τὰ τοιαῦτά ἐστιν· ἐλεοῦσι δὲ τούς τε γνωρίμους, ἂν μὴ σφόδρα ἐγγὺς ὦσιν οἰκειότητι· περὶ δὲ τούτους ὥσπερ περὶ αὐτοὺς μέλλοντας ἔχουσιν. διὸ καὶ ὁ Ἄμασις ἐπὶ μὲν τῷ υἱεῖ ἀγομένῳ ἐπὶ τὸ ἀποθανεῖν οὐκ ἐδάκρυσεν, ὡς φασίν, ἐπὶ δὲ τῷ φίλῳ προσαιτοῦντι· τοῦτο μὲν γὰρ ἐλεεινόν, ἐκεῖνο δὲ δεινόν· τὸ γὰρ δεινὸν ἕτερον τοῦ ἐλεεινοῦ καὶ ἐκκρουστικὸν τοῦ ἐλέου καὶ πολλάκις τῷ ἐναντίῳ χρήσιμον. ἔτι ἐλεοῦσιν ἐγγὺς αὐτοῖς τοῦ δεινοῦ

Tr., unde τῶν αὐτοῦ τινι vel τῷ τῶν αὐτοῦ coni. Spengel; at cf. 1378b, 1 ‖ 5 Sic ex A^c et Tr. Vict., ἐκ τῶν λυπηρῶν ΘΠ ‖ 6 φαρτικά A^c ‖ φθαρτικά om. in versione Muretus probante Vahlenio, qui tamen postea totum loc. sic exhibuit: καὶ ὅσα ἀναιρετικὰ καὶ φθαρτικά ‖ 7 μεγέθους A^c pr., rec. man. emendavit μέγεθος ‖ 8 αἰκεῖαι σωμάτων A^c, καὶ αἰκίαι καὶ σωμάτων κακώσεις ΘΠ Ald. ‖ 10 καὶ τὸ ex A^c Spengel, διὸ καὶ τὸ ΘΠ Tr. Ald. ‖ διασπᾶσθαι A^c Tr. Spengel, διεσπάσθαι ΘΠ ‖ τῶν ante φίλων om. A^c ΠΘ(?) ‖ 11 ἀναπειρία A^c ‖ 12 ὑπάρξαι dedit Vahlen, πρᾶξαι libri ‖ 13 πεπονθὸς γενέσθαι τὸ A^c (et τὸ pro τι fort. verum) ‖ 14 ὅτι τεθνεῶτι ΘΠ, ὅτι ex A^c et Tr. delevit Vict. ‖ 15 prius ἢ om. ΘΠ Ald. ‖ 18 οἰκειότητι ex A^c Vict., οἰκειότητος ΘC ‖ 20 καὶ Ἄμασις ΘΠ ‖ 22 τὸ δὲ δεινόν Tr. ‖ 23 ἐλέους A^c pr., sed ς in fine in ras. ut videtur ‖ 24 ἐγγὺς αὐτοῖς τοῦ δεινοῦ ὄντος A^c ‖ pro αὐτοῖς αὐτοῦ ΘΠ ‖ αὐτοῦ τοῦ δεινοῦ ἐγγὺς

Digitized by Google

25 ὄντος. καὶ τοὺς ὁμοίους ἐλεοῦσιν κατὰ ἡλικίαν, κατὰ ἤθη, κατὰ ἕξεις, κατὰ ἀξιώματα, κατὰ γένη· ἐν πᾶσι γὰρ τούτοις μᾶλλον φαίνεται καὶ αὐτῷ ἂν ὑπάρξαι· ὅλως γὰρ καὶ ἐνταῦθα δεῖ λαβεῖν ὅτι, ὅσα ἐφ' αὑτῶν φοβοῦνται, ταῦτα ἐπ' ἄλλων γιγνόμενα ἐλεοῦσιν. ἐπεὶ δ' ἐγγὺς φαινόμενα τὰ 30 πάθη ἐλεεινά ἐστιν, τὰ δὲ μυριοστὸν ἔτος γενόμενα ἢ ἐσόμενα οὔτε ἐλπίζοντες οὔτε μεμνημένοι ἢ ὅλως οὐκ ἐλεοῦσιν ἢ οὐχ ὁμοίως, ἀνάγκη τοὺς συναπεργαζομένους σχήμασι καὶ φωναῖς καὶ ἐσθῆσι καὶ ὅλως ἐν ὑποκρίσει ἐλεεινοτέρους εἶναι· ἐγγὺς γὰρ ποιοῦσι φαίνεσθαι τὸ κακὸν πρὸ ὀμ- 35 μάτων ποιοῦντες, ἢ ὡς μέλλον ἢ ὡς γεγονός. καὶ γεγο- 1386b νότα ἄρτι ἢ μέλλοντα διὰ ταχέων ἐλεεινότερα· διὰ τοῦτο καὶ τὰ σημεῖα, οἷον ἐσθῆτάς τε τῶν πεπονθότων καὶ ὅσα τοιαῦτα, καὶ τὰς πράξεις καὶ λόγους καὶ ὅσα ἄλλα τῶν ἐν τῷ πάθει ὄντων, οἷον ἤδη τελευτώντων. καὶ μάλιστα τὸ 5 σπουδαίους εἶναι ἐν τοῖς τοιούτοις καιροῖς ὄντας ἐλεεινόν· ἅπαντα γὰρ ταῦτα διὰ τὸ ἐγγὺς φαίνεσθαι μᾶλλον ποιεῖ τὸν ἔλεον, καὶ ὡς ἀναξίου ὄντος καὶ ἐν ὀφθαλμοῖς φαινομένου τοῦ πάθους.

9 ἀντίκειται δὲ τῷ ἐλεεῖν μάλιστα μὲν ὃ καλοῦσι νεμεσᾶν· 10 τῷ γὰρ λυπεῖσθαι ἐπὶ ταῖς ἀναξίαις κακοπραγίαις ἀντικεί-

ὄντος Y^bBCTr. ‖ χρήσιμον· ⟨οὐ γὰρ⟩ ἔτι . . . coni. Vahlen, quod probandum videtur ‖ 25 κατὰ ἡλικίας ΘB ‖ καὶ τὰ ἤθη et etiam 26 καὶ τὰ γένη ΘDE ‖ 27 καὶ ἐνταῦθα ex A^c et Tr. inseruit Vict., om. ΘΠ ‖ 28 ἐπ αὐτῶν ΘΠ ‖ 30 εἰσι $Y^b Z^b$ Π ‖ 33 ἐσθῆσι Spengel, αἰσθήσει A^c, quod tuetur Vahlen sic scribens: καὶ ὅλως ἐν ὑποκρίσει καὶ αἰσθήσει, ἐσθῆτι ΘΠTr. Ald. ‖ 35 μέλλοντα ἢ ὡς γεγονότος A^c, sed γεγονότα corr. man. rec.; fort. κακὸν delendum et cum A^c legendum: ἢ ὡς μέλλοντα ἢ ὡς γεγονότα ‖ 1386b, 1 τὰ γεγονότα ΘΠ ‖ διὰ τοῦτο A^c, quod recepit et ad sequentia adiunxit Spengel, διὰ τὸ αὐτὸ ΘΠTr. ‖ 2 καὶ τὰ σημεῖα καὶ τὰς πράξεις libri, transposuit Thurot ‖ τε om. ΘCD ‖ 3 ὅσα ἄλλα om. ΘΠAld. ‖ 5 ἐλεεινὸν ex A^c et Tr. Vict., om. ΘBC ‖ 7 ἀναξίου ὄντος A^c et Tr., ἀναξίους τε ὄντας $Y^b Z^b$ et pr. QDE schol. ‖ ἀναξίου τε C et Bpr. ‖ 10 τὸ λυπεῖσθαι — 13 τῷ λυπεῖσθαι Z^b et Tr., ubi etiam γὰρ deest.

Digitized by Google

μενόν ἐστι τρόπον τινὰ καὶ ἀπὸ τοῦ αὐτοῦ ἤθους τὸ λυπεῖσθαι ἐπὶ ταῖς ἀναξίαις εὐπραγίαις. καὶ ἄμφω τὰ πάθη ἤθους χρηστοῦ· δεῖ γὰρ ἐπὶ μὲν τοῖς ἀναξίως πράττουσι κακῶς συνάχθεσθαι καὶ ἐλεεῖν, τοῖς δὲ εὖ νεμεσᾶν· ἄδικον γὰρ τὸ παρὰ τὴν ἀξίαν γιγνόμενον, διὸ καὶ τοῖς θεοῖς 15 ἀποδίδομεν τὸ νεμεσᾶν. δόξειε δ' ἂν καὶ ὁ φθόνος τῷ ἐλεεῖν τὸν αὐτὸν ἀντικεῖσθαι τρόπον ὡς σύνεγγυς ὢν καὶ ταὐτὸν τῷ νεμεσᾶν, ἔστι δ' ἕτερον· λύπη μὲν γὰρ ταραχώδης καὶ ὁ φθόνος ἐστὶν καὶ ἐπὶ εὐπραγίᾳ, ἀλλ' οὐ τοῦ ἀναξίου ἀλλὰ τοῦ ἴσου καὶ ὁμοίου. τὸ δὲ μὴ ὅτι αὐτῷ τι συμβή- 20 σεται ἕτερον, ἀλλὰ δι' αὐτὸν τὸν πλησίον, ἅπασιν ὁμοίως δεῖ ὑπάρχειν· οὐ γὰρ ἔτι ἔσται τὸ μὲν φθόνος, τὸ δὲ νέμεσις, ἀλλὰ φόβος, ἐὰν διὰ τοῦτο ἡ λύπη ὑπάρχῃ καὶ ἡ ταραχή, ὅτι αὐτῷ τι ἔσται φαῦλον ἀπὸ τῆς ἐκείνου εὐπραξίας. φανερὸν δ' ὅτι ἀκολουθήσει καὶ τὰ ἐναντία πάθη 25 τούτοις· ὁ μὲν γὰρ λυπούμενος ἐπὶ τοῖς ἀναξίως κακοπραγοῦσιν ἡσθήσεται ἢ ἄλυπος ἔσται ἐπὶ τοῖς ἐναντίως κακοπραγοῦσιν, οἷον τοὺς πατραλοίας καὶ μιαιφόνους, ὅταν τύχωσι τιμωρίας, οὐδεὶς ἂν λυπηθείη χρηστός· δεῖ γὰρ χαίρειν ἐπὶ ταῖς τοιούτοις, ὡς δ' αὕτως καὶ ἐπὶ τοῖς εὖ πράττουσι 30 κατ' ἀξίαν· ἄμφω γὰρ δίκαια, καὶ ποιεῖ χαίρειν τὸν ἐπιεικῆ· ἀνάγκη γὰρ ἐλπίζειν ὑπάρξαι ἂν ἅπερ τῷ ὁμοίῳ καὶ αὐτῷ. καὶ ἔστιν τοῦ αὐτοῦ ἤθους ἅπαντα ταῦτα, τὰ δ' ἐναντία τοῦ ἐναντίου· ὁ γὰρ αὐτός ἐστιν ἐπιχαιρέκακος καὶ φθο-

13 μὲν om. ΘΠ ‖ 14 καὶ ἐλεεῖν ex A^c et Tr. inseruit Vict., om. QΠ. Idem etiam εὖ addidit ex A^c, ubi pr. man. exaratum est; om. ΘΠ ‖ 16 τῷ ἐλεεῖν om. Z^b ‖ 17 συνεγγύς τε καὶ ταὐτὸν ὂν ΘΠ ‖ 18 γὰρ om. QZ^bY^b pr. Ald. ‖ 19 ἐπὶ εὐπραγίᾳ ex A^c recepi, quamquam ἐπὶ exaravit man. rec., quae etiam ν in εὐπραγίαν delevit, εἰς εὐπραγίαν ΘΠ Tr. schol. cf. 1387b, 22 ‖ 20 ἀξίου corr. A^c, ἴσου ΘΠ Tr. ‖ 21 πᾶσιν ΘΠ ‖ 22 τὸ μὲν φθόνος, τὸ δὲ νέμεσις cum Gaisfordio ex A^c et Tr. recepi, ordinem invertunt ΘΠ Ald. ‖ 23 ἂν δι' αὐτὸ τοῦτο ὑπάρχῃ ἡ λύπη ΘΠ ‖ 24 εὐπραγίας ΘΠ ‖ 26 ἀναξίοις et 27 ἐναντίοις ΘΠ Tr. ‖ 29 δεῖ οὖν Tr.

Digitized by Google

1387 a νερός· ἐφ' ᾧ γάρ τις λυπεῖται γιγνομένῳ καὶ ὑπάρχοντι, ἀναγκαῖον τοῦτον ἐπὶ τῇ στερήσει καὶ τῇ φθορᾷ τῇ τούτου χαίρειν. διὸ κωλυτικὰ μὲν ἐλέου πάντα ταῦτ' ἐστί, διαφέρει δὲ διὰ τὰς εἰρημένας αἰτίας, ὥστε πρὸς τὸ μὴ ἐλεεινὰ
5 ποιεῖν ἅπαντα ὁμοίως χρήσιμα.

πρῶτον μὲν οὖν περὶ τοῦ νεμεσᾶν λέγωμεν, τίσιν τε νεμεσῶσι καὶ ἐπὶ τίσι καὶ πῶς ἔχοντες αὐτοί, εἶτα μετὰ ταῦτα περὶ τῶν ἄλλων. φανερὸν δ' ἐκ τῶν εἰρημένων· εἰ γάρ ἐστι τὸ νεμεσᾶν λυπεῖσθαι ἐπὶ τῷ φαινομένῳ ἀναξίως εὐπρα-
10 γεῖν, πρῶτον μὲν δῆλον ὅτι οὐχ οἷόν τ' ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς νεμεσᾶν· οὐ γὰρ εἰ δίκαιος ἢ ἀνδρεῖος, ἢ εἰ ἀρετὴν λήψεται, νεμεσήσει τούτῳ (οὐδὲ γὰρ ἔλεοι ἐπὶ τοῖς ἐναντίοις τούτων εἰσίν), ἀλλὰ ἐπὶ πλούτῳ καὶ δυνάμει καὶ τοῖς τοιούτοις, ὅσων ὡς ἁπλῶς εἰπεῖν ἄξιοί εἰσιν οἱ ἀγαθοὶ καὶ
15 οἱ τὰ φύσει ἔχοντες ἀγαθά, οἷον εὐγένειαν καὶ κάλλος καὶ ὅσα τοιαῦτα. ἐπεὶ δὲ τὸ ἀρχαῖον ἐγγύς τι φαίνεται τοῦ φύσει, ἀνάγκη τοῖς ταὐτὸ ἔχουσιν ἀγαθόν, ἐὰν νεωστὶ ἔχοντες τυγχάνωσι καὶ διὰ τοῦτο εὐπραγῶσι, μᾶλλον νεμεσᾶν· μᾶλλον γὰρ λυποῦσιν οἱ νεωστὶ πλουτοῦντες τῶν πάλαι
20 καὶ διὰ γένος· ὁμοίως δὲ καὶ ἄρχοντες καὶ δυνάμενοι καὶ πολύφιλοι καὶ εὔτεκνοι καὶ ὁτιοῦν τῶν τοιούτων. καὶ ἂν διὰ ταῦτα ἄλλο τι ἀγαθὸν γίγνηται αὐτοῖς, ὡσαύτως· καὶ γὰρ ἐνταῦθα μᾶλλον λυποῦσιν οἱ νεόπλουτοι ἄρχοντες

1387 a, 2 τῇ ante φθορᾷ om. ΘΠ ‖ 3 ἐλέους ΘΠ Ald., cf. 1386 a, 23 ‖ διαφέρει corr. A^c ‖ 4 vocis ὥστε syllabam τε corr. A^c loco plurium capace ‖ 6 τε om. ΘΠ ‖ 7 ὅπως ΘDE Ald., cf. et varietat. ad 1377 a, 29 ‖ 10 τ' corr. A^c ‖ 11 οὐδεὶς γὰρ ΘΠTr. ‖ καὶ ἀνδρεῖος A^c ‖ εἰ post ἢ inseruit man. rec. A^c, sed potest abesse ‖ 12 νεμεσᾶ ΘΠ ‖ ἔλεοι εοι corr. A^c, οἱ ἔλεοι ΘΠ ‖ 14 Pro ὅσων οἷς QZ^bDEAld. ‖ ὡς] οὐχ Z^bD ‖ ἀνάξιοι QDAld. ‖ οἱ ante ἀγαθοὶ om. ΘBC ‖ ἀγαθοῖς Q ‖ καὶ εἰ τὰ φύσει Q, καὶ εἰ οἱ E; De loco cf. Mus. Rhen. N. F. XXXIX pag. 504 ‖ 16 ἐπειδὴ δὲ ΘΠ ‖ 18 ἢ pro καὶ A^c et Tr. (nescio an recte) ‖ 20 διὰ γένοτς A^cY^bZ^bBCD schol. ‖ 21 καὶ ἂν ex A^cSpengel, κἂν ΘΠ schol. ‖ 22 ἄλλο om. B ‖ 23 οἷον ante οἱ νεόπλουτοι addit Kayser.

Digitized by Google

διὰ τὸν πλοῦτον ἢ οἱ ἀρχαιόπλουτοι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. αἴτιον δ' ὅτι οἱ μὲν δοκοῦσι τὰ αὐτῶν ἔχειν οἱ δ' οὔ· 25 τὸ γὰρ ἀεὶ οὕτω φαινόμενον ἔχειν ἀληθὲς δοκεῖ, ὥστε οἱ ἕτεροι οὐ τὰ αὐτῶν ἔχειν. καὶ ἐπεὶ ἕκαστον τῶν ἀγαθῶν οὐ τοῦ τυχόντος ἄξιον, ἀλλά τις ἔστιν ἀναλογία καὶ τὸ ἁρμόττον, οἷον ὅπλων κάλλος οὐ τῷ δικαίῳ ἁρμόττει ἀλλὰ τῷ ἀνδρείῳ, καὶ γάμοι ἁρμόττοντες οὐ τοῖς νεωστὶ πλουσίοις 30 ἀλλὰ τοῖς εὐγενέσιν· ἂν οὖν ἀγαθὸς ὢν μὴ τοῦ ἁρμόττοντος τυγχάνῃ, νεμεσητόν. καὶ τὸν ἥττω τῷ κρείττονι ἀμφισβητεῖν, μάλιστα μὲν οὖν τοὺς ἐν τῷ αὐτῷ, ὅθεν καὶ τοῦτ' εἴρηται

Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο·

Ζεὺς γάρ οἱ νεμέσασχ', ὅτ' ἀμείνονι φωτὶ μάχοιτο. 35

εἰ δὲ μή, κἂν ὁπωσοῦν ὁ ἥττων τῷ κρείττονι, οἷον εἰ ὁ 1387 b μουσικὸς τῷ δικαίῳ· βέλτιον γὰρ ἡ δικαιοσύνη τῆς μουσικῆς.

οἷς μὲν οὖν νεμεσῶσι καὶ διὰ τί, ἐκ τούτων δῆλον· ταῦτα γὰρ καὶ τὰ τοιαῦτά ἐστιν. αὐτοὶ δὲ νεμεσητικοί εἰσιν, ἐὰν ἄξιοι τυγχάνωσιν ὄντες τῶν μεγίστων ἀγαθῶν 5 καὶ ταῦτα κεκτημένοι· τὸ γὰρ τῶν ὁμοίων ἠξιῶσθαι τοὺς μὴ ὁμοίους οὐ δίκαιον. δεύτερον δὲ, ἂν ὄντες ἀγαθοὶ καὶ σπουδαῖοι τυγχάνωσιν· κρίνουσί τε γὰρ εὖ, καὶ τὰ ἄδικα μισοῦσι. καὶ ἐὰν φιλότιμοι καὶ ὀρεγόμενοι τινῶν πραγμά-

24 διὰ] καὶ διὰ ΘΕ, καὶ om. A^c et Tr. et pr. delevit Vict. ‖ 29 ὅπλα ὧν κάλλος A^c, quod retinet Spengel, ὅπλων κάλλος ΘΠ Tr. ‖ 30 γάμοι ἁρμόττοντες A^c, γάμοι διαφέροντες ΘΠ Tr. Ald. schol., ὅπλων κάλλος... καὶ γάμοι ⟨λαμπροὶ⟩ ἁρμόττοντες coni. Vahlen ‖ πλουσίοις] πλουτοῦσι ΘΠ Tr. ‖ 32 καὶ om. QZ^bY^b pr. Ald. ‖ τῷ om. ΘDE ‖ 33 οὖν om. ΘDE Ald. ‖ 35 νεμέσασκε A^c, νεμέσησ' ΘD ‖ 1387 b, 2 βελτίων ΘΠ ‖ 3 |||| οἷς ras. A^c ‖ „nemesabunt" Tr. ‖ διὰ τί ex A^c et Tr. Spengel, δι' ἃ ΘΠ ‖ 4 ταῦτα γὰρ A^c et Tr., ταῦτά τε γὰρ QY^bCE ‖ 5 ὄντες ex A^c et Tr. inseruit Vict., om. ΘΠ ‖ 8 οὐ τυγχάνουσι vel potius μὴ τυγχάνωσι coni. Muretus ‖ τε om. QZ^bY^b pr. DE ‖ τὸ ἄδικον ΘDE ‖ 9 πραγμάτων A^cC, πράξεων ΘBDE Tr. schol. Ald.

Digitized by Google

10 των, καὶ μάλιστα περὶ ταῦτα φιλότιμοι ὦσιν ὧν ἕτεροι ἀνάξιοι ὄντες τυγχάνουσιν. καὶ ὅλως οἱ ἀξιοῦντες αὐτοὶ αὐτοὺς ὧν ἑτέρους μὴ ἀξιοῦσι, νεμεσητικοὶ τούτοις καὶ τούτων. διὸ καὶ οἱ ἀνδραποδώδεις καὶ φαῦλοι καὶ ἀφιλότιμοι οὐ νεμεσητικοί· οὐδὲν γάρ ἐστιν οὗ ἑαυτοὺς οἴονται 15 ἀξίους εἶναι.

φανερὸν δ' ἐκ τούτων ἐπὶ ποίοις ἀτυχοῦσι καὶ κακοπραγοῦσιν ἢ μὴ τυγχάνουσι χαίρειν ἢ ἀλύπως ἔχειν δεῖ· ἐκ γὰρ τῶν εἰρημένων τὰ ἀντικείμενά ἐστιν δῆλα, ὥστ' ἐὰν τούς τε κριτὰς τοιούτους παρασκευάσῃ ὁ λόγος, καὶ τοὺς ἀξιοῦντας ἐλεεῖσθαι, καὶ ἐφ' οἷς ἐλεεῖσθαι, δείξῃ ἀναξίους 20 ὄντας τυγχάνειν ἀξίους δὲ μὴ τυγχάνειν, ἀδύνατον ἐλεεῖν.

10 δῆλον δὲ καὶ ἐπὶ τίσι φθονοῦσι καὶ τίσι καὶ πῶς ἔχοντες, εἴπερ ἐστὶν ὁ φθόνος λύπη τις ἐπὶ εὐπραγίᾳ φαινομένῃ τῶν εἰρημένων ἀγαθῶν περὶ τοὺς ὁμοίους, μὴ ἵνα τι αὐτῷ, ἀλλὰ δι' ἐκείνους· φθονήσουσι μὲν γὰρ οἱ τοι- 25 οῦτοι οἷς εἰσί τινες ὅμοιοι ἢ φαίνονται. ὁμοίους δὲ λέγω κατὰ γένος, κατὰ συγγένειαν, καθ' ἡλικίας, κατὰ ἕξεις, κατὰ δόξαν, κατὰ τὰ ὑπάρχοντα. καὶ οἷς μικροῦ ἐλλείπει τὸ μὴ πάντα ὑπάρχειν. διὸ οἱ μεγάλα πράττοντες καὶ οἱ εὐτυχοῦντες φθονεροί εἰσιν· πάντας γὰρ οἴονται τὰ αὐτῶν 30 φέρειν. καὶ οἱ τιμώμενοι ἐπί τινι διαφερόντως, καὶ μάλιστα ἐπὶ σοφίᾳ ἢ εὐδαιμονίᾳ. καὶ οἱ φιλότιμοι φθονερώτεροι τῶν ἀφιλοτίμων. καὶ οἱ δοξόσοφοι· φιλότιμοι γὰρ ἐπὶ σοφίᾳ. καὶ ὅλως οἱ φιλόδοξοι περί τι φθονεροὶ

13 καὶ ante οἱ om. ΘΠ ‖ 14 ἐστι τοιοῦτον οὗ ΘDETr. ‖ 17 δῆλά ἐστιν ΘΠ ‖ 19 ἀναξίους μὲν ὄντας ΘΠTr. ‖ 23 περὶ] ἐπὶ DE ‖ 23 μὴ ἵνα μή τι αὐτῷ probante Vatero coni. Muretus, μὴ ὅτι τι αὐτῷ legisse videtur schol. fol. 37 b. 15 ‖ 26 κατὰ γένη C ‖ καθ' ἡλικίας, κατὰ ἕξεις cum Gaisfordio ex A^c recepi, καθ' ἡλικίαν, καθ' ἕξιν cet. Bekker[8] Spengel cf. 1389 a, 1 ‖ 27 Sic libri omnes, τοῦ μὴ coni. Vict., μικρὸν ἐλλείπει τὸ Muretus, μικρὸν ἐλλείπει τοῦ μὴ edit. Basil. ‖ 28 οἱ post καὶ om. ΘΠ ‖ 33 καὶ οἱ ὅλως ΘBCDAld.

Digitized by Google

περὶ τοῦτο. καὶ μικρόψυχοι· πάντα γὰρ μεγάλα δοκεῖ αὐτοῖς εἶναι. ἐφ' οἷς δὲ φθονοῦσι, τὰ μὲν ἀγαθὰ εἴρηται· 35
ἐφ' οἷς γὰρ φιλοδοξοῦσι καὶ φιλοτιμοῦνται ἔργοις ἢ κτή- 1388a
μασι καὶ ὀρέγονται δόξης, καὶ ὅσα εὐτυχήματά ἐστιν, σχεδὸν περὶ πάντα φθόνος ἐστί, καὶ μάλιστα ὧν αὐτοὶ ἢ ὀρέγονται ἢ οἴονται δεῖν αὐτοὺς ἔχειν, ἢ ὧν τῇ κτήσει μικρῷ ὑπερέχουσιν ἢ μικρῷ ἐλλείπουσιν. φανερὸν δὲ καὶ οἷς 5
φθονοῦσιν· ἅμα γὰρ εἴρηται· τοῖς γὰρ ἐγγὺς καὶ χρόνῳ καὶ τόπῳ καὶ ἡλικίᾳ καὶ δόξῃ φθονοῦσιν. ὅθεν εἴρηται

τὸ συγγενὲς γὰρ καὶ φθονεῖν ἐπίσταται.

καὶ πρὸς οὓς φιλοτιμοῦνται· φιλοτιμοῦνται γὰρ πρὸς τοὺς εἰρημένους, πρὸς δὲ τοὺς μυριοστὸν ἔτος ὄντας ἢ πρὸς τοὺς ἐσομένους ἢ τεθνεῶτας οὐδείς, οὐδὲ πρὸς τοὺς ἐφ' Ἡρα- 10
κλείαις στήλαις. οὐδ' ὧν πολὺ οἴονται παρ' αὐτοῖς ἢ παρὰ τοῖς ἄλλοις λείπεσθαι, οὐδ' ὧν πολὺ ὑπερέχειν, ὡσαύτως καὶ πρὸς τοὺς περὶ τὰ τοιαῦτα. ἐπεὶ δὲ πρὸς τοὺς ἀνταγωνιστὰς καὶ ἀντεραστὰς καὶ ὅλως τοὺς τῶν αὐτῶν ἐφιεμένους φιλοτιμοῦνται, ἀνάγκη μάλιστα τούτοις φθονεῖν, 15
διόπερ εἴρηται

καὶ κεραμεὺς κεραμεῖ.

34 καὶ οἱ μικρόψυχοι ΘΠ Bekker Spengel ‖ αὐτοῖς δοκεῖ μεγάλα ΘΠ ‖ 35 ἐφ' ὅσοις γὰρ ΘΠ(?) Ald. ‖ 1388a, 1 ἢ κτήμασι ex A^c inseruit Gaisford, om. ΘΠTr. ‖ 4 τῇ] αὐτοὶ τῇ ΘΠ Tr. ‖ 7 τὸ συγγενὲς καὶ γάρ A^c ‖ 8 φιλοτιμεῖται QY^bB ‖ φιλοτιμοῦνται μὲν γὰρ ΘΠAld. ‖ 11 ἢ] καὶ A^c ‖ 12 ὡσαύτως καὶ πρὸς τοὺς περὶ τὰ τοιαῦτα ex A^c Spengel, πρὸς τούτους καὶ περὶ τὰ τοιαῦτα cet. Ceterum Spengelii sententia haec superioribus inserta melius legerentur: φιλοτιμοῦνται γὰρ πρὸς τοὺς εἰρημένους, ὡσαύτως καὶ πρὸς τοὺς περὶ τὰ τοιαῦτα, πρὸς δὲ τοὺς μυριοστὸν ἔτος . . ; fort. verba loco, quo nunc leguntur, scribenda sunt: ὡσαύτως καὶ πρὸς τοὺς περὶ τὰ αὐτὰ ⟨σπουδάζοντας⟩, quam coniecturam suadere videntur verba, quae statim sequuntur ‖ 15 τούτοις μάλιστα ΘΠ ‖ 16 ὅθεν εἴρηται ΘΠ ‖ 17 Post κεραμεὺς κεραμεῖ omnes libri praeter A^c locum inserunt, quem infra legimus 24: καὶ τοῖς ταχὺ . . . . τυχόντες φθονοῦσι. Antiquissimi libri auctoritatem et sanam rationem

Digitized by Google

καὶ ὧν ἢ κεκτημένων ἢ κατορθούντων ὄνειδος αὐτοῖς· εἰσὶν δὲ καὶ οὗτοι ἐγγὺς καὶ ὅμοιοι· δῆλον γὰρ ὅτι παρ'
20 αὐτοὺς οὐ τυγχάνουσι τοῦ ἀγαθοῦ, ὥστε τοῦτο λυποῦν ποιεῖ τὸν φθόνον. καὶ τοῖς ἢ ἔχουσι ταῦτα ἢ κεκτημένοις ὅσα αὐτοῖς προσῆκεν ἢ κέκτηντο ποτέ· διὸ πρεσβύτεροί τε νεωτέροις, καὶ οἱ πολλὰ δαπανήσαντες εἰς ταὐτὸ τοῖς ὀλίγα φθονοῦσιν. καὶ τοῖς ταχὺ οἱ μήπω τυχόντες ἢ μὴ τυχόν-
25 τες φθονοῦσιν. δῆλον δὲ καὶ ἐφ' οἷς χαίρουσιν οἱ τοιοῦτοι καὶ ἐπὶ τίσι καὶ πῶς ἔχοντες· ὡς γὰρ ἔχοντες λυποῦνται, οὕτως ἔχοντες ἐπὶ τοῖς ἐναντίοις ἡσθήσονται, ὥστε ἂν αὐτοὶ μὲν παρασκευασθῶσιν οὕτως ἔχειν, οἱ δ' ἐλεεῖσθαι ἢ τυγχάνειν τινὸς ἀγαθοῦ ἀξιούμενοι ὦσιν οἷοι οἱ εἰρημένοι, δῆ-
30 λον ὡς οὐ τεύξονται ἐλέου παρὰ τῶν κυρίων.

11 πῶς δὲ ἔχοντες ζηλοῦσι καὶ τὰ ποῖα καὶ ἐπὶ τίσιν, ἐνθένδ' ἐστὶ δῆλον· εἰ γάρ ἐστιν ζῆλος λύπη τις ἐπὶ φαινομένῃ παρουσίᾳ ἀγαθῶν ἐντίμων καὶ ἐνδεχομένων αὐτῷ λαβεῖν περὶ τοὺς ὁμοίους τῇ φύσει, οὐχ ὅτι ἄλλῳ ἀλλ' ὅτι
35 οὐχὶ καὶ αὐτῷ ἐστιν· διὸ καὶ ἐπιεικής ἐστιν ὁ ζῆλος καὶ ἐπιεικῶν, τὸ δὲ φθονεῖν φαῦλον καὶ φαύλων· ὁ μὲν γὰρ αὐτὸν παρασκευάζει διὰ τὸν ζῆλον τυγχάνειν τῶν ἀγαθῶν, ὁ δὲ τὸν πλησίον μὴ ἔχειν διὰ τὸν φθόνον· ἀνάγκη δὴ

secutus rectum locorum ordinem restituit Spengelius ‖ 18 ἢ post ὧν om. ΘΠ(?) et in A^c superscriptum ‖ 19 καὶ ante ὅμοιοι ex A^c pr. Vict., om. cet. praeter schol., οἱ ἐγγὺς καὶ ὅμοιοι probante Spengelio coni. Vater ‖ παρ' αὐτοῖς C ‖ 22 ἃ αὐτοῖς ΘΠ Tr. ‖ ἐκέκτηντο ΘΠ ‖ γε pro τε A^c ‖ 24 πω in μήπω corr. A^c ‖ μήπω] ἢ μόλις cet. ‖ ἢ οἱ μὴ C ‖ 25 ἐφ' om. Bekker[3] (perperam) ‖ 26 ὡς γὰρ ἔχοντες B (et cod. Graec. Monac. 176) Tr. (cod. m) et in versione Muretus, quos secutus sum, οὐκ ἔχοντες A^c, μὴ ἔχοντες Θ et Π praeter B, ὡς γὰρ λυποῦνται, οὕτως ἐπὶ . . . ἡσθήσονται coni. Spengel ‖ 27 ἐναντίως A^c, om. Tr. ‖ 29 ἀξιοῦντες coni. Bonitz ‖ οἷοι om. A^c et ibi rasura ‖ 31 ἔχοντες ζηλοῦσι ex A^c et Tr. Vict., ἔχουσιν οἱ ζηλοῦντες ΘΠ ‖ 32 ἐστὶ om. Tr. ‖ 35 ἐπιεικές ΘΠ ‖ 38 μὴ ἔχειν] κωλύει Q, om. Y^b Z^b D Ald. ‖ post ἔχειν ras. in A^c ‖ δὴ ex corr. A^c, δὲ Q Z^b D E.

Digitized by Google

ζηλωτικοὺς μὲν εἶναι τοὺς ἀξιοῦντας αὐτοὺς ἀγαθῶν ὧν 1388b
μὴ ἔχουσιν· οὐδεὶς γὰρ ἀξιοῖ τὰ φαινόμενα ἀδύνατα. διὸ
οἱ νέοι καὶ οἱ μεγαλόψυχοι τοιοῦτοι. καὶ οἷς ὑπάρχει
τοιαῦτα ἀγαθὰ ἃ τῶν ἐντίμων ἄξιά ἐστιν ἀνδρῶν· ἔστι
γὰρ ταῦτα πλοῦτος καὶ πολυφιλία καὶ ἀρχαὶ καὶ ὅσα τοι- 5
αῦτα· ὡς γὰρ προσῆκον αὐτοῖς ἀγαθοῖς εἶναι, ὅτι προσῆκε
τοῖς ἀγαθῶς ἔχουσι, ζηλοῦσι τὰ τοιαῦτα τῶν ἀγαθῶν. καὶ
οὓς οἱ ἄλλοι ἀξιοῦσιν. καὶ ὧν πρόγονοι ἢ συγγενεῖς ἢ
οἰκεῖοι ἢ τὸ ἔθνος ἢ ἡ πόλις ἔντιμοι, ζηλωτικοὶ περὶ
ταῦτα· οἰκεῖα γὰρ οἴονται αὐτοῖς εἶναι, καὶ ἄξιοι τούτων. 10
εἰ δ' ἐστὶν ζηλωτὰ τὰ ἔντιμα ἀγαθά, ἀνάγκη τάς τε ἀρε-
τὰς εἶναι τοιαύτας, καὶ ὅσα τοῖς ἄλλοις ὠφέλιμα καὶ εὐ-
εργετικά· τιμῶσι γὰρ τοὺς εὐεργετοῦντας καὶ τοὺς ἀγα-
θούς· καὶ ὅσων ἀγαθῶν ἀπόλαυσις τοῖς πλησίον ἐστίν,
οἷον πλοῦτος καὶ κάλλος μᾶλλον ὑγιείας. φανερὸν δὲ καὶ
οἱ ζηλωτοὶ τίνες· οἱ γὰρ ταῦτα καὶ τὰ τοιαῦτα κεκτημένοι 15
ζηλωτοί. ἔστι δὲ ταῦτα τὰ εἰρημένα, οἷον ἀνδρία σοφία
ἀρχή· οἱ γὰρ ἄρχοντες πολλοὺς δύνανται εὖ ποιεῖν,
στρατηγοί, ῥήτορες, πάντες οἱ τὰ τοιαῦτα δυνάμενοι. καὶ
οἷς πολλοὶ ὅμοιοι βούλονται εἶναι, ἢ πολλοὶ γνώριμοι, ἢ
φίλοι πολλοί. ἢ οὓς πολλοὶ θαυμάζουσιν, ἢ οὓς αὐτοὶ 20

1388b, 2 Post ἔχουσι probante Vatero verba ex definitione repetenda censet Muretus: *ἐνδεχόμενον* (scrib. *ἐνδεχομένων*) *αὐτοῖς λαβεῖν*. Etiam Vict. in marg. exempl.: *καὶ ἐνδεχομένων αὐτῷ ὑπάρχειν* (sic) ‖ 4 *ἔστι δὲ τοιαῦτα* Tr., *δὲ* probat Thurot ‖ 6 Vulgatam omnium librorum lectionem retinuimus cum Spengelio, *ὡς προσῆκον αὐτοῖς ἀγαθοῖς εἶναι, ὅτι προσήκει τοῖς ἔχουσι τὰ τοιαῦτα τῶν ἀγαθῶν* coni. Muretus, *ὡς προσῆκον ἀγαθοῖς εἶναι τοῖς ἀγαθῶς ἔχουσι* vel *ὡς γὰρ προσῆκον ἀγαθοῖς εἶναι τοῖς ἀγαθῶς ἔχουσι ζηλοῦσι* scil. *ἀγαθοὶ εἶναι* coni. Vater, reliqua ex scholio addita censens, ex scholio 38a, 15 Vahlen: *ὡς γὰρ προσῆκον αὐτοῖς ἀγαθοῖς εἶναι, ὅτι, ἃ προσῆκε τοῖς ἀγαθοῖς, ἔχουσι, ζηλοῦσι τὰ τοιαῦτα τῶν ἀγαθῶν*, quod recepit Bekker[3] ‖ 10 „*convenientia*“ (*προσήκειν* vel *προσήκοντα* pro *οἰκεῖα*) Tr. ‖ 16 *τὰ εἰρημένα ταῦτα* BCTr. ‖ 20 *ἢ οὓς αὐτοὶ θαυμάζουσιν* om. Q.

Digitized by Google

θαυμάζουσιν. καὶ ὧν ἔπαινοι καὶ ἐγκώμια λέγονται ἢ ὑπὸ ποιητῶν ἢ λογογράφων. καταφρονοῦσιν δὲ τῶν ἐναντίων· ἐναντίον γὰρ ζήλῳ καταφρόνησίς ἐστι, καὶ τῷ ζηλοῦν τὸ καταφρονεῖν. ἀνάγκη δὲ τοὺς οὕτως ἔχοντας ὥστε ζηλῶσαί τινας
25 ἢ ζηλοῦσθαι, καταφρονητικοὺς εἶναι τούτων τε καὶ ἐπὶ τούτοις ὅσοι τὰ ἐναντία κακὰ ἔχουσι τῶν ἀγαθῶν τῶν ζηλωτῶν. διὸ πολλάκις καταφρονοῦσιν τῶν εὐτυχούντων, ὅταν ἄνευ τῶν ἐντίμων ἀγαθῶν ὑπάρχῃ αὐτοῖς ἡ τύχη.

δι' ὧν μὲν οὖν τὰ πάθη ἐγγίγνεται καὶ διαλύεται, ἐξ
30 ὧν αἱ πίστεις γίγνονται, περὶ αὐτῶν εἴρηται· τὰ δὲ ἤθη
12 ποῖοί τινες κατὰ τὰ πάθη καὶ τὰς ἕξεις καὶ τὰς ἡλικίας καὶ τὰς τύχας, διέλθωμεν μετὰ ταῦτα. λέγω δὲ πάθη μὲν ὀργὴν ἐπιθυμίαν καὶ τὰ τοιαῦτα, περὶ ὧν εἰρήκαμεν πρό-
35 τερον, ἕξεις δὲ ἀρετὰς καὶ κακίας, εἴρηται δὲ περὶ τούτων πρότερον, καὶ ποῖα προαιροῦνται ἕκαστοι, καὶ ποίων πρακτικοί. ἡλικίαι δέ εἰσι νεότης καὶ ἀκμὴ καὶ γῆρας.
1389 a τύχην δὲ λέγω εὐγένειαν καὶ πλοῦτον καὶ δυνάμεις καὶ τἀναντία τούτοις καὶ ὅλως εὐτυχίαν καὶ δυστυχίαν.

οἱ μὲν οὖν νέοι τὰ ἤθη εἰσὶν ἐπιθυμητικοί, καὶ οἷοι ποιεῖν ἃ ἂν ἐπιθυμήσωσι. καὶ τῶν περὶ τὸ σῶμα ἐπι-
5 θυμιῶν μάλιστα ἀκολουθητικοί εἰσι ταῖς περὶ τὰ ἀφροδίσια καὶ ἀκρατεῖς ταύτης. εὐμετάβολοι δὲ καὶ ἀψίκοροι πρὸς τὰς ἐπιθυμίας, καὶ σφόδρα μὲν ἐπιθυμοῦσι ταχέως δὲ παύονται· ὀξεῖαι γὰρ αἱ βουλήσεις καὶ οὐ μεγάλαι, ὥσπερ αἱ τῶν

23 ν in fine ἐναντίον ex corr. A^{c} ‖ τὸ ζηλοῦν τῷ καταφρονεῖν libri omnes, correxit iam Victorius in marg. exempl. cf. 1380 a, 5 ‖ 24 ζηλῶσαί τινας ἢ om. Tr. ‖ 29 καὶ ἐξ ὧν Y^{b}Tr. ‖ 30 περὶ αὐτῶν suspectum videtur Spengelio, alii γίγνονται περὶ αὐτῶν coniungunt ‖ 31 κατά τε corr. Y^{b} et C, καὶ τὰ πάθη QZ^{b}ETr. ‖ 35 εἴρηται καὶ περὶ τούτων ΘDEAld., εἴρηται δὲ καὶ BC ‖ 1389 a, 1 τύχας BCEAld. ‖ δύναμιν coni. Muretus, at cf. 1387 b, 26 ‖ καὶ — καὶ om. ΘΠ ‖ 4 ἃ ἂν ex A^{c} Spengel, ὧν ἂν ΘΠ ‖ 5 ταῖς A^{c}Q Tr., τῆς Y^{b}Z^{b}Π(?), τῇ scripsit Spengel ex coni. Victorii et Bentlei ‖ 7 μὲν αὐτοὶ pr. Y^{b} cf. 1388 a, 4 ‖ ταχύ ΘΠ.

Digitized by Google

καμνόντων δίψαι καὶ πεῖναι. καὶ θυμικοὶ καὶ ὀξύθυμοι καὶ οἷοι ἀκολουθεῖν τῇ ὀργῇ. καὶ ἥττους εἰσὶ τοῦ θυμοῦ· διὰ γὰρ φιλοτιμίαν οὐκ ἀνέχονται ὀλιγωρούμενοι, ἀλλ' ἀγανακτοῦσιν ἂν οἴωνται ἀδικεῖσθαι. καὶ φιλότιμοι μέν εἰσιν, μᾶλλον δὲ φιλόνικοι· ὑπεροχῆς γὰρ ἐπιθυμεῖ ἡ νεότης, ἡ δὲ νίκη ὑπεροχή τις. καὶ ἄμφω ταῦτα μᾶλλον ἢ φιλοχρήματοι· φιλοχρήματοι δὲ ἥκιστα διὰ τὸ μήπω ἐνδείας πεπειρᾶσθαι, ὥσπερ τὸ Πιττακοῦ ἔχει ἀπόφθεγμα εἰς Ἀμφιάραον. καὶ οὐ κακοήθεις ἀλλ' εὐήθεις διὰ τὸ μήπω τεθεωρηκέναι πολλὰς πονηρίας· καὶ εὔπιστοι διὰ τὸ μήπω πολλὰ ἐξηπατῆσθαι. καὶ εὐέλπιδες· ὥσπερ γὰρ οἱ οἰνωμένοι, οὕτω διάθερμοί εἰσιν οἱ νέοι ὑπὸ τῆς φύσεως· ἅμα δὲ καὶ διὰ τὸ μὴ πολλὰ ἀποτετυχηκέναι. καὶ ζῶσι τὰ πλεῖστα ἐλπίδι· ἡ μὲν γὰρ ἐλπὶς τοῦ μέλλοντός ἐστιν ἡ δὲ μνήμη τοῦ παροιχομένου, τοῖς δὲ νέοις τὸ μὲν μέλλον πολὺ τὸ δὲ παρεληλυθὸς βραχύ· τῇ γὰρ πρώτῃ ἡμέρᾳ μεμνῆσθαι μὲν οὐδὲν οἷόν τε, ἐλπίζειν δὲ πάντα. καὶ εὐεξαπάτητοί εἰσι διὰ τὸ εἰρημένον· ἐλπίζουσι γὰρ ῥᾳδίως. καὶ ἀνδρειότεροι· θυμώδεις γὰρ καὶ εὐέλπιδες, ὧν τὸ μὲν μὴ φοβεῖσθαι τὸ δὲ θαρρεῖν ποιεῖ· οὔτε γὰρ ὀργιζόμενος οὐδεὶς φοβεῖται, τό τε ἐλπίζειν ἀγαθόν τι θαρραλέον ἐστίν. καὶ αἰσχυντηλοί· οὐ γάρ πω καλὰ ἕτερα ὑπολαμβάνουσιν, ἀλλὰ πεπαίδευται ὑπὸ τοῦ νόμου μόνον. καὶ μεγαλόψυχοι· οὔτε γὰρ ὑπὸ τοῦ βίου πω τεταπείνωνται, ἀλλὰ τῶν ἀναγκαίων ἄπειροί εἰσιν, καὶ τὸ ἀξιοῦν αὐτὸν μεγάλων μεγαλοψυχία· τοῦτο δ' εὐέλπιδος. καὶ μᾶλλον αἱροῦνται πράττειν τὰ καλὰ τῶν συμφερόντων· τῷ γὰρ ἤθει ζῶσι μᾶλλον ἢ τῷ λογισ-

10 ὀργῇ ex A^c Spengel, ὁρμῇ ΘΠ ‖ 13 μάλιστα δὲ Tr. ‖ φιλόνικοι A^c Q C D Tr. et pr. dedit Vict., φιλόνεικοι Y^b Z^b B E ‖ 21 μὴ A^c et Tr., μήπω ΘΠ ‖ 25 οἷόν τε Bekker, οἴονται libri ‖ 32 οὔπω τεταπείνωνται A^c et rec. Y^b B C Tr. (quod fort. ferri potest, cf. similia 1394 a, 22. 1408 a, 32), ποτε ταπεινοῦνται Q Z^b E Ald., οὔτε — πω corr. D et sic Bekker ‖ 33 μεγάλων αὐτὸν ΘΠ ‖ 35 ἤθει libri omnes, ἔθει Bekker³ Spengel (? cf. 1390 a, 16).

Digitized by Google

μῷ, ἔστι δὲ ὁ μὲν λογισμὸς τοῦ συμφέροντος ἡ δὲ ἀρετὴ τοῦ καλοῦ. καὶ φιλόφιλοι καὶ φιλοίκειοι καὶ φιλέταιροι
1389b μᾶλλον τῶν ἄλλων ἡλικιῶν διὰ τὸ χαίρειν τῷ συζῆν καὶ μήπω πρὸς τὸ συμφέρον κρίνειν μηδέν, ὥστε μηδὲ τοὺς φίλους. καὶ ἅπαντα ἐπὶ τὸ μᾶλλον καὶ σφοδρότερον ἁμαρτάνουσι παρὰ τὸ Χιλώνειον· πάντα γὰρ ἄγαν πράττουσιν·
5 φιλοῦσι γὰρ ἄγαν καὶ μισοῦσιν ἄγαν καὶ τἆλλα πάντα ὁμοίως. καὶ εἰδέναι ἅπαντα οἴονται καὶ διισχυρίζονται· τοῦτο γὰρ αἴτιόν ἐστιν καὶ τοῦ πάντα ἄγαν. καὶ τὰ ἀδικήματα ἀδικοῦσιν εἰς ὕβριν, οὐ κακουργίαν. καὶ ἐλεητικοὶ διὰ τὸ πάντας χρηστοὺς καὶ βελτίους ὑπολαμβάνειν· τῇ
10 γὰρ αὐτῶν ἀκακίᾳ τοὺς πέλας μετροῦσιν, ὥστε ἀνάξια πάσχειν ὑπολαμβάνουσιν αὐτούς. καὶ φιλογέλωτες, διὸ καὶ φιλευτράπελοι· ἡ γὰρ εὐτραπελία πεπαιδευμένη ὕβρις ἐστίν.
13 τὸ μὲν οὖν τῶν νέων τοιοῦτόν ἐστιν ἦθος, οἱ δὲ πρεσβύτεροι καὶ παρηκμακότες σχεδὸν ἐκ τῶν ἐναντίων τούτοις
15 τὰ πλεῖστα ἔχουσιν ἤθη· διὰ γὰρ τὸ πολλὰ ἔτη βεβιωκέναι καὶ πλείω ἐξηπατῆσθαι καὶ ἐξημαρτηκέναι, καὶ τὰ πλείω φαῦλα εἶναι τῶν πραγμάτων, οὔτε διαβεβαιοῦνται οὐδέν, ἧττόν τε ἄγαν ἅπαντα ἢ δεῖ. καὶ οἴονται, ἴσασι δ' οὐδέν, καὶ ἀμφιδοξοῦντες προστιθέασιν ἀεὶ τὸ ἴσως καὶ τάχα,
20 καὶ πάντα λέγουσιν οὕτως, παγίως δ' οὐδέν. καὶ κακοήθεις εἰσίν· ἔστι γὰρ κακοήθεια τὸ ἐπὶ τὸ χεῖρον ὑπολαμ-

36 ἔστι δὲ A^c et Tr., ἔτι δὲ QZ^bE ‖ 37 καὶ φιλόφιλοι καὶ φιλέταιροι ΘΠ, καὶ φιλόφιλοι καὶ φίλοι καὶ φιλέταιροι A^c et Tr., unde collato loco 1251b, 35 pro φίλοι φιλοίκειοι scripsit Vahlen ‖ 1389b, 4 χειλώνειον A^c ‖ 5 φιλοῦσί τε ΘΠ ‖ 6 δ (an οἳ ut in Π praeter C et Ald.?) καὶ εἰδέναι Θ, οἳ delevit Buhle ‖ πάντα ΘΠ ‖ 8 καὶ οὐ κακουργίαν ΘΠ ‖ ἐλεητικοὶ Z^b et pr. Y^b, ἐλεγκτικοί QBD ‖ 12 φιλευτράπελοι ex A^c Spengel, εὐτράπελοι ceteri omnes, cf. 1391a, 22 ‖ ἡ δὲ εὐτραπελία Tr. ‖ 13 τὸ μὲν οὖν — ἦθος om. Tr. ‖ ἠθός ἐστιν ΘΠ ‖ 16 ἡμαρτηκέναι ΘDE ‖ 18 ἧττον δὲ Tr. ‖ 19 ἀμφιδοξοῦντες ex A^c et Tr. Spengel, ἀμφισβητοῦντες ceteri ‖ ἀεὶ om. Y^bBC.

Digitized by Google

βάνειν πάντα. ἔτι δὲ καχύποπτοί εἰσι διὰ τὴν ἀπιστίαν, ἄπιστοι δὲ δι' ἐμπειρίαν. καὶ οὔτε φιλοῦσιν σφόδρα οὔτε μισοῦσι διὰ ταῦτα, ἀλλὰ κατὰ τὴν Βίαντος ὑποθήκην καὶ φιλοῦσιν ὡς μισήσοντες καὶ μισοῦσιν ὡς φιλήσοντες. καὶ 25 μικρόψυχοι διὰ τὸ τεταπεινῶσθαι ὑπὸ τοῦ βίου· οὐδενὸς γὰρ μεγάλου οὐδὲ περιττοῦ, ἀλλὰ τῶν πρὸς τὸν βίον ἐπιθυμοῦσι. καὶ ἀνελεύθεροι· ἓν γάρ τι τῶν ἀναγκαίων ἡ οὐσία, ἅμα δὲ καὶ διὰ τὴν ἐμπειρίαν ἴσασιν ὡς χαλεπὸν τὸ κτήσασθαι καὶ ῥᾴδιον τὸ ἀποβαλεῖν. καὶ δειλοὶ καὶ πάντα 30 προφοβητικοί· ἐναντίως γὰρ διάκεινται τοῖς νέοις· κατεψυγμένοι γάρ εἰσιν, οἱ δὲ θερμοί, ὥστε προωδοπεποίηκε τὸ γῆρας τῇ δειλίᾳ· καὶ γὰρ ὁ φόβος κατάψυξίς ἐστιν. καὶ φιλόζωοι, καὶ μᾶλλον ἐπὶ τῇ τελευταίᾳ ἡμέρᾳ διὰ τὸ τοῦ ἀπόντος εἶναι τὴν ἐπιθυμίαν, καὶ οὗ δὲ ἐνδεεῖς, τούτου 35 μάλιστα ἐπιθυμεῖν. καὶ φίλαυτοι μᾶλλον ἢ δεῖ· μικροψυχία γάρ τις καὶ αὕτη. καὶ πρὸς τὸ συμφέρον ζῶσιν, ἀλλ' οὐ πρὸς τὸ καλόν, μᾶλλον ἢ δεῖ διὰ τὸ φίλαυτοι εἶναι· τὸ μὲν γὰρ συμφέρον αὐτῷ ἀγαθόν ἐστι, τὸ δὲ καλὸν ἁπλῶς. καὶ 1390a ἀναίσχυντοι μᾶλλον ἢ αἰσχυντηλοί· διὰ γὰρ τὸ μὴ φροντίζειν ὁμοίως τοῦ καλοῦ καὶ συμφέροντος ὀλιγωροῦσι τοῦ δοκεῖν. καὶ δυσέλπιδες διὰ τὴν ἐμπειρίαν· τὰ γὰρ πλείω τῶν

22 ἅπαντα ΘΠ ‖ καχύποπτοι ex A^c et Tr. Vict., ταχύποπτοι QE schol., καὶ ὕποπτοι B rec. m., καχυποπτοι D ‖ 24 διὰ ταὐτά iam Victorius ‖ παρὰ τὴν Βίαντος ὑποθήκην scribendum censeo, cf. Mus. Rhen. N. F. XXXIX pag. 504 ‖ 27 περὶ τὸν βίον QZ^bBD ‖ 32 προωδοποίηκε A^c pr., προωδο^πε ποίηκε, πε ead. man. supra lineam addidit, itaque recepi, προωδοποίηκε ΘΠ Ald. ‖ 33 „etenim infrigidatio quaedam" Tr.; non fortuito omittere videtur φόβος, cf. 955a, 18: τὸ γὰρ γῆρας κατάψυξίς τις, κατάψυξίς τις ΘΠ Ald. ‖ 34 καὶ μᾶλλον ex A^c et Tr. Spengel, καὶ μάλιστα ΘΠ schol. ‖ 35 δὲ om. ΘCDE schol. Ald. ‖ καὶ ante οὗ aut delendum aut ante μάλιστα ponendum esse censet Spengel ‖ 36 ἐπιθυμοῦσι ΘΠ Tr. ‖ φίλαυτοι A^cCD Tr., φιλαίτιοι ΘBE Ald. ‖ 1390a, 1 αὐτῶν A^c ‖ 3 καὶ τοῦ συμφέροντος ΘΠ ‖ τὸ δοκεῖν A^c ‖ 4 διά τε τὴν ΘDE ‖ τὰ γὰρ πλεῖστα ΘΠ ‖ τῶν

Digitized by Google

γιγνομένων φαῦλά ἐστιν· ἀποβαίνει γὰρ τὰ πολλὰ ἐπὶ τὸ χεῖρον· καὶ ἔτι διὰ τὴν δειλίαν. καὶ ζῶσι τῇ μνήμῃ μᾶλλον ἢ τῇ ἐλπίδι· τοῦ γὰρ βίου τὸ μὲν λοιπὸν ὀλίγον τὸ δὲ παρεληλυθὸς πολύ, ἔστι δὲ ἡ μὲν ἐλπὶς τοῦ μέλλοντος ἡ δὲ μνήμη τῶν παροιχομένων. ὅ περ αἴτιον καὶ τῆς ἀδολεσχίας αὐτοῖς· διατελοῦσι γὰρ τὰ γενόμενα λέγοντες· ἀναμιμνησκόμενοι γὰρ ἥδονται. καὶ οἱ θυμοὶ ὀξεῖς μὲν ἀσθενεῖς δέ εἰσιν, καὶ ἐπιθυμίαι αἱ μὲν ἐκλελοίπασιν αἱ δὲ ἀσθενεῖς εἰσιν, ὥστε οὔτ' ἐπιθυμητικοὶ οὔτε πρακτικοὶ κατὰ τὰς ἐπιθυμίας, ἀλλὰ κατὰ τὸ κέρδος. διὸ σωφρονικοὶ φαίνονται οἱ τηλικοῦτοι· αἵ τε γὰρ ἐπιθυμίαι ἀνείκασι καὶ δουλεύουσι τῷ κέρδει. καὶ μᾶλλον ζῶσι κατὰ λογισμὸν ἢ κατὰ τὸ ἦθος· ὁ μὲν γὰρ λογισμὸς τοῦ συμφέροντος τὸ δ' ἦθος τῆς ἀρετῆς ἐστιν. καὶ τἀδικήματα ἀδικοῦσιν εἰς κακουργίαν, οὐχ ὕβριν. ἐλεητικοὶ δὲ καὶ οἱ γέροντές εἰσιν, ἀλλ' οὐ διὰ ταὐτὸ τοῖς νέοις· οἱ μὲν γὰρ διὰ φιλανθρωπίαν, οἱ δὲ δι' ἀσθένειαν· πάντα γὰρ οἴονται ἐγγὺς εἶναι αὐτοῖς παθεῖν, τοῦτο δ' ἦν ἐλεητικόν, ὅθεν ὀδυρτικοί εἰσι, καὶ οὐκ εὐτράπελοι οὐδὲ φιλογέλοιοι· ἐναντίον γὰρ τὸ ὀδυρτικὸν τῷ φιλογέλωτι.

τῶν μὲν οὖν νέων καὶ τῶν πρεσβυτέρων τὰ ἤθη τοιαῦτα, ὥστ' ἐπεὶ ἀποδέχονται πάντες τοὺς τῷ σφετέρῳ ἤθει λεγομένους λόγους καὶ τοὺς ὁμοίους, οὐκ ἄδηλον πῶς χρώ-

γιγνομένων A^c^CTr., *τῶν πραγμάτων* ΘBDEAld. ‖ 5 *γὰρ* ex A^c^ et Tr. Spengel, *γοῦν* cet. ‖ 7 *λοιπὸν* ex A^c^ et Tr. Vict., *μέλλον* ΘΠ ‖ 11 *ὀξεῖς μέν εἰσιν, ἀσθενεῖς δὲ* ΘΠ ‖ 12 *αἱ ἐπιθυμίαι* ΘΠ ‖ *εἰσιν* post *ἀσθενεῖς* om. ΘΠ ‖ 13 *οὔτε πρακτικοὶ οὔτ' ἐπιθυμητικοὶ κατὰ τὰς ἐπιθυμίας* A^c^Tr. (quod fort. ferri et in textum recipi potest) ‖ 14 *καὶ σωφρονικοὶ* ΘΠ ‖ *διὸ σωφρονικοὶ* — usque ad 16 *κέρδει* om. C ‖ 18 *εἰς κακουργίαν* A^c^, *εἰς ἀδικίαν* ΘΠ ‖ *οὐκ εἰς ὕβριν* ΘΠ praeter C, qui *ἀλλ' οὐκ εἰς ὕβριν* habet ‖ 19 *ταὐτὰ* A^c^ et Tr. cf. 1381a, 26 (?) ‖ 22 *ἐλεητικοῦ* DE, *ἐλεητικοὶ* Y^b^BC ‖ Et hic ut supra 1389b, 12 *φιλευτράπελοι* restituendum censet Spengel ‖ 23 *φιλόγελοι* A^c^, unde *φιλογέλῳ* dubitanter coni. Spengel.

Digitized by Google

μενοι τοῖς λόγοις τοιοῦτοι φανοῦνται καὶ αὐτοὶ καὶ οἱ λόγοι.
14 οἱ δ' ἀκμάζοντες φανερὸν ὅτι μεταξὺ τούτων τὸ ἦθος ἔσον-
ται ἑκατέρων ἀφαιροῦντες τὴν ὑπερβολήν, καὶ οὔτε σφόδρα 30
θαρροῦντες (θρασύτης γὰρ τὸ τοιοῦτον) οὔτε λίαν φοβούμενοι,
καλῶς δὲ πρὸς ἄμφω ἔχοντες, οὔτε πᾶσι πιστεύοντες οὔτε πᾶ-
σιν ἀπιστοῦντες, ἀλλὰ κατὰ τὸ ἀληθὲς κρίνοντες μᾶλλον, καὶ
οὔτε πρὸς τὸ καλὸν ζῶντες μόνον οὔτε πρὸς τὸ συμφέρον
ἀλλὰ πρὸς ἄμφω, καὶ οὔτε πρὸς φειδὼ οὔτε πρὸς ἀσωτίαν 1390b
ἀλλὰ πρὸς τὸ ἁρμόττον. ὁμοίως δὲ καὶ πρὸς θυμὸν καὶ
πρὸς ἐπιθυμίαν. καὶ σώφρονες μετ' ἀνδρίας καὶ ἀνδρεῖοι
μετὰ σωφροσύνης. ἐν γὰρ τοῖς νέοις καὶ τοῖς γέρουσι διή-
ρηται ταῦτα· εἰσὶν γὰρ οἱ μὲν νέοι ἀνδρεῖοι καὶ ἀκόλαστοι, 5
οἱ δὲ πρεσβύτεροι σώφρονες καὶ δειλοί. ὡς δὲ καθόλου
εἰπεῖν, ὅσα μὲν διήρηται ἡ νεότης καὶ τὸ γῆρας τῶν
ὠφελίμων, ταῦτα ἄμφω ἔχουσιν, ὅσα δὲ ὑπερβάλλουσιν ἢ
ἐλλείπουσιν, τούτων τὸ μέτριον καὶ τὸ ἁρμόττον. ἀκμά-
ζει δὲ τὸ μὲν σῶμα ἀπὸ τῶν τριάκοντα ἐτῶν μέχρι τῶν 10
πέντε καὶ τριάκοντα, ἡ δὲ ψυχὴ περὶ τὰ ἑνὸς δεῖν πεντή-
κοντα.

περὶ μὲν οὖν νεότητος καὶ γήρως καὶ ἀκμῆς, ποίων
15 ἠθῶν ἕκαστόν ἐστιν, εἰρήσθω τοσαῦτα· περὶ δὲ τῶν ἀπὸ
τύχης γιγνομένων ἀγαθῶν, δι' ὅσα αὐτῶν καὶ τὰ ἤθη ποιὰ 15
ἄττα συμβαίνει τοῖς ἀνθρώποις, λέγωμεν ἑφεξῆς. εὐγενείας
μὲν οὖν ἦθός ἐστι τὸ φιλοτιμότερον εἶναι τὸν κεκτημένον
αὐτήν· ἅπαντες γάρ, ὅταν ὑπάρχῃ τι, πρὸς τοῦτο σωρεύειν

28 φαίνονται ΘΠTr. ‖ 31 θρασύτητος DE ‖ 32 ἄλλως A^c ‖ δὲ om. ΘTr. ‖ οὔτε πᾶσι πιστεύοντες om. Z^b DE Ald. ‖ 33 μᾶλλον ex codd. (A^c) et Tr. Vict., μόνον ΘDE ‖ καὶ οὔτε —b, 1 ἄμφω ex codd. (A^c) et Tr. restituit Vict., om. Θ(pr. Y^b)DE ‖ 1390b, 2 τὸ om. Z^b et pr. Y^b DE Ald. ‖ 8 ἄμφω ex codd. (A^c) et Tr. recepit Vict., om. Θ (Y^b pr.) DE ‖ 10 μέχρι καὶ πέντε ΘD ‖ 11 ἑνὸς δεῖ A^c pr., rec. man. supra lineam περὶ τὰ addidit, eadem correxit δεῖν, περὶ τὰ secl. Spengel ‖ 14 ἐστιν ἕκαστον ΘΠschol. ‖ 15 καὶ A^c pr., sed maiusculis litteris correctum δι' ‖ 18 πάντες ΘΠ.

Digitized by Google

εἰώθασιν, ἡ δ' εὐγένεια ἐντιμότης προγόνων ἐστίν. καὶ κατα-
20 φρονητικὸν καὶ τῶν ὁμοίων ἐστὶν τοῖς προγόνοις αὐτῶν,
διότι πόρρω ταὐτὰ μᾶλλον ἢ ἐγγὺς γιγνόμενα ἐντιμότερα καὶ
εὐαλαζόνευτα. ἔστι δὲ εὐγενὲς μὲν κατὰ τὴν τοῦ γένους ἀρε-
τήν, γενναῖον δὲ κατὰ τὸ μὴ ἐξίστασθαι τῆς φύσεως· ὅ περ
ὡς ἐπὶ τὸ πολὺ οὐ συμβαίνει τοῖς εὐγενέσιν, ἀλλ' εἰσὶν οἱ
25 πολλοὶ εὐτελεῖς· φορὰ γάρ τίς ἐστιν ἐν τοῖς γένεσιν ἀνδρῶν
ὥσπερ ἐν τοῖς κατὰ τὰς χώρας γιγνομένοις, καὶ ἐνίοτε ἂν ᾖ
ἀγαθὸν τὸ γένος, ἐγγίνονται διά τινος χρόνου ἄνδρες περιττοί,
κἄπειτα πάλιν ἀναδίδωσιν. ἐξίσταται δὲ τὰ μὲν εὐφυᾶ γένη
εἰς μανικώτερα ἤθη, οἷον οἱ ἀπ' Ἀλκιβιάδου καὶ οἱ ἀπὸ Διο-
30 νυσίου τοῦ προτέρου, τὰ δὲ στάσιμα εἰς ἀβελτερίαν καὶ νωθρό-
τητα, οἷον [οἱ] ἀπὸ Κίμωνος καὶ Περικλέους καὶ Σωκράτους.
16 τῷ δὲ πλούτῳ ἃ ἕπεται ἤθη, ἐπιπολῆς ἐστιν ἰδεῖν ἅπα-
σιν· ὑβρισταὶ γὰρ καὶ ὑπερήφανοι, πάσχοντές τι ὑπὸ τῆς
κτήσεως τοῦ πλούτου· ὥσπερ γὰρ ἔχοντες ἅπαντα τἀγαθὰ
1391a οὕτω διάκεινται· ὁ δὲ πλοῦτος οἷον τιμή τις τῆς ἀξίας
τῶν ἄλλων, διὸ φαίνεται ὤνια ἅπαντα εἶναι αὐτοῦ. καὶ
τρυφεροὶ καὶ σαλάκωνες, τρυφεροὶ μὲν διὰ τὴν τρυφὴν καὶ
τὴν ἔνδειξιν τῆς εὐδαιμονίας, σαλάκωνες δὲ καὶ σόλοικοι διὰ
5 τὸ πάντας εἰωθέναι διατρίβειν περὶ τὸ ἐρώμενον καὶ θαυ-
μαζόμενον ὑπ' αὐτῶν, καὶ τὸ οἴεσθαι ζηλοῦν τοὺς ἄλλους
ἃ καὶ αὐτοί. ἅμα δὲ καὶ εἰκότως τοῦτο πάσχουσιν· πολλοὶ

19 ἐντιμότης τις ΘBCE, τις om. A^{c}DTr. schol. cf. 1389b, 33 ‖ καταφρονητικοί Q et corr. Y^{b}, καταφρονητική Z^{b} ‖ 20 ἐστίν om. ΘΠ ‖ τοῖς ante αὐτῶν add. ΘΠ ‖ 21 διὰ τὸ ταῦτα πόρρω ΘΠ ‖ ἐντιμότερα εἶναι ΘΠAld. ‖ 22 ἔστι γὰρ Tr. ‖ 23 ἐκ τῆς φύσεως ΘΠ schol. ‖ 24 ὡς om. ΘΠ ‖ 25 ἐντελεῖς coni. Madvig ‖ τις om. Θ(pr.Y^{b})DE ‖ καὶ post ἐστιν add. ΘΠ ‖ 26 καὶ om. ΘCDE ‖ 28 ἐξίστανται QZ^{b}BD ‖ εὐφυῆ ΘBDE ‖ 30 ἀβελτερίαν καὶ om. ΘD ‖ 31 οἱ om. A^{c}, secl. Spengel ‖ 33 τι om. ΘBCEAld., cf. 1383a, 27 ‖ 1391a, 1 δὲ] γὰρ QΠ ‖ ἔστι τῆς ἀξίας ΘΠ ‖ 2 ἄλλων διαφαίνεται ὄνια vel οὔνια A^{c}pr., sed ex corr. διὸ et ὤνια ‖ πάντα ὤνια ΘΠ ‖ 3 διά τε τὴν Y^{b}Z^{b}ΠAld. ‖ 5 περὶ τὸ ἐράσμιον C ‖ 6 καὶ τὸ οἴεσθαι ex A^{c}Vict., τῷ οἴεσθαι QZ^{b}DE Bekker^{3} Spengel ‖ 7 ταῦτα ΘΠ schol.

Digitized by Google

γάρ εἰσιν οἱ δεόμενοι τῶν ἐχόντων. ὅθεν καὶ τὸ Σιμωνίδου εἴρηται περὶ τῶν σοφῶν καὶ πλουσίων πρὸς τὴν γυναῖκα τὴν Ἱέρωνος ἐρομένην πότερον γενέσθαι κρεῖττον πλούσιον ἢ σοφόν· πλούσιον εἰπεῖν· τοὺς σοφοὺς γὰρ ἔφη ὁρᾶν ἐπὶ ταῖς τῶν πλουσίων θύραις διατρίβοντας· καὶ τὸ οἴεσθαι ἀξίους εἶναι ἄρχειν· ἔχειν γὰρ οἴονται ὧν ἕνεκεν ἄρχειν ἄξιον. καὶ ὡς ἐν κεφαλαίῳ, ἀνοήτου εὐδαίμονος ἦθος πλούτου ἐστίν. διαφέρει δὲ τοῖς νεωστὶ κεκτημένοις καὶ τοῖς πάλαι τὰ ἤθη τῷ ἅπαντα μᾶλλον καὶ φαυλότερα τὰ κακὰ ἔχειν τοὺς νεοπλούτους· ὥσπερ γὰρ ἀπαιδευσία πλούτου ἐστὶ τὸ νεόπλουτον εἶναι. καὶ ἀδικήματα ἀδικοῦσιν οὐ κακουργικά, ἀλλὰ τὰ μὲν ὑβριστικὰ τὰ δὲ ἀκρατευτικά, οἷον εἰς αἰκίαν καὶ μοιχείαν.

17 ὁμοίως δὲ καὶ περὶ δυνάμεως σχεδὸν τὰ πλεῖστα φανερά ἐστιν ἤθη· τὰ μὲν γὰρ τὰ αὐτὰ ἔχει δύναμις τῷ πλούτῳ τὰ δὲ βελτίω· φιλοτιμότεροι γὰρ καὶ φιλανδρωδέστεροί εἰσιν τὰ ἤθη οἱ δυνάμενοι τῶν πλουσίων διὰ τὸ ἐφίεσθαι ἔργων ὅσα ἐξουσία αὐτοῖς πράττειν διὰ τὴν δύναμιν. καὶ σπουδαστικώτεροι διὰ τὸ ἐν ἐπιμελείᾳ εἶναι, ἀναγκαζόμενοι σκοπεῖν τὰ περὶ τὴν δύναμιν. καὶ σεμνότεροι ἢ βαρύτεροι· ποιεῖ γὰρ σεμνοτέρους τὸ ἀξίωμα, διὸ μετριά-

8 εἰσιν om. ΘΠ ‖ 10 τὴν] τοῦ ΘBCE Ald. ‖ 11 πλούσιον εἰπεῖν om. Θ (pr. Y^b) DE Tr. ‖ τοὺς γὰρ σοφούς ΘΠ ‖ ἔφη ἔστιν ὁρᾶν Tr. ‖ 12 θύραις ἔφη ΘΠ ‖ διατρίβοντας om. ΘDE Ald. ‖ 13 ἕνεκα ἄξιον ἄρχειν ΘΠ ‖ 14 ἦθος πλούτου A^cpr., correxit man. rec. πλοῦτος, cum lectione pr. man. consentit Tr., itaque recepit Spengel, ἤθους ὁ πλοῦτός ἐστιν ΘΠ ‖ 15 τοῖς τε νεωστί $Y^b Z^b$ CB ‖ 16 φαυλότερον A^cpr., sed corr. φαυλότερα ‖ 20 καὶ om. Θ DE ‖ 21 τὰς αὐτὰς ἔχει δυνάμεις A^c pr., correxit rec. man. τὰ αὐτὰ ἔχει δύναμις; ἢ ibi non legitur, itaque delevi ‖ 22 τὰ δὲ καὶ βελτίω Q Y^b Π Ald. ‖ φιλοτιμότεροι ex A^c et Tr. Vict., φιλότιμοι ΘBCE ‖ φιλανδρωδέστεροι ex A^c et Tr. Spengel, cf. 1389b, 11, ἀνδρωδέστεροι ΘΠ, quod probat Vahlen ‖ 23 εἰσιν om. ΘΠ ‖ 24 ἔξουσι A^cpr., alt. manus ἐξουσία emendavit ‖ 25—26 καὶ σπουδαστικώτεροι — τὴν δύναμιν om. C ‖ 26 Post σεμνότεροι ἢ δυ· ι ει ἢ βαρύτεροι A^c ‖ 27 σεμνοτέρους ex A^c et Tr. Spengel, ἐμφανεστέρους ΘΠ schol.

Digitized by Google

ζουσιν· ἔστι δὲ ἡ σεμνότης μαλακὴ καὶ εὐσχήμων βαρύτης. κἂν ἀδικῶσιν, οὐ μικραδικηταί εἰσιν ἀλλὰ μεγαλάδικοι.

30 ἡ δ' εὐτυχία κατὰ μόριά τε τῶν εἰρημένων ἔχει τὰ ἤθη· εἰς γὰρ ταῦτα συντείνουσιν αἱ μέγισται δοκοῦσαι εἶναι εὐτυχίαι· καὶ ἔτι εἰς εὐτεκνίαν καὶ τὰ κατὰ τὸ σῶμα ἀγαθὰ παρασκευάζει ἡ εὐτυχία πλεονεκτεῖν. ὑπερηφανώτεροι μὲν οὖν
1391b καὶ ἀλογιστότεροι διὰ τὴν εὐτυχίαν εἰσίν, ἐν δὲ ἀκολουθεῖ βέλτιστον ἦθος τῇ εὐτυχίᾳ, ὅτι φιλόθεοί εἰσι καὶ ἔχουσιν πρὸς τὸ θεῖόν πως, πιστεύοντες διὰ τὰ γιγνόμενα ἀπὸ τῆς τύχης.

5 περὶ μὲν οὖν τῶν καθ' ἡλικίαν καὶ τύχην ἠθῶν εἴρηται· τὰ γὰρ ἐναντία τῶν εἰρημένων ἐκ τῶν ἐναντίων φα-
18 νερά ἐστιν, οἷον πένητος καὶ ἀτυχοῦς ἦθος καὶ ἀδυνάτου· ἐπεὶ δὲ ἡ τῶν πιθανῶν λόγων χρῆσις πρὸς κρίσιν ἐστί (περὶ ὧν γὰρ ἴσμεν καὶ κεκρίκαμεν, οὐδὲν ἔτι δεῖ λόγου)
10 ἔστι δ' ἐάν τε πρὸς ἕνα τις τῷ λόγῳ χρώμενος προτρέπῃ ἢ

29 μικραδικητικοί ΘΠ ‖ 30 κατὰ μόριά τε τῶν εἰρημένων A^c pr. et Tr. et recepit Bekker, sed deleta est syllaba κα, εὐτυχία τὰ μόρια ἔχει τῶν εἰρημένων τὰ ΘΠ ‖ 31 μέγισται ex A^c et Tr. Vict., om. ΘΠ ‖ 32 τὰ alt. man. supra lineam A^c, om. Θ (Y^bpr.) DEAld. ‖ 33 παρασκευάζει ἡ εὐτυχία πλεονεκτεῖν in versione om. Muretus et secl. Gaisford ‖ 1391b, 2 βέλτιστον ex A^c et Tr. Vict., βέλτιον ΘΠ ‖ 3 γιγνόμενα ἀγαθά ΘΠTr., ἀγαθά om. A^c et secl. Gaisford ‖ ὑπὸ τῆς ΘΠ ‖ 8 Verbis in fine capitis superioris περὶ μὲν οὖν — ἀδυνάτου continuanda esse, quae hic leguntur l. 21: περὶ δὲ τῶν κατὰ τὰς πολιτείας ἠθῶν — — ποιητέον, quae vero in medio posita sunt ἐπεὶ δὲ ἡ τῶν πιθανῶν λόγων χρῆσις — καὶ περὶ ὧν βουλεύονται nihil aliud nisi loci in initio huius libri obvii 1377b, 21—24 ἐπεὶ δ' ἕνεκα κρίσεώς ἐστιν — κατασκευάζειν ampliorem παράφρασιν esse primus perspexit et docuit Spengelius in commentat. academ. Monac.: Ueber die Rhetorik des Aristoteles p. 30—40. Quam sententiam acutissime defensam a Vahlenio in commentat. acad. Vindob. p. 65—76 impugnaverunt cum alii, tum Brandisius Gesch. der griech. Philos. III. 1, 195, Thurotus Etudes 228—236 ‖ 9 δεῖ ex A^cVict., δεῖται ΘΠ ‖ τοῦ λόγου Y^bZ^bDE ‖ 10 πρὸς πολλοὺς ἢ πρὸς ἕνα vel πρὸς πολλοὺς ἄν τε πρὸς ἕνα dubitanter proposuit Spengel ‖ χρώμενος τῷ λόγῳ ΘΠAld.

Digitized by Google

ἀποτρέπῃ, οἷον οἱ νουθετοῦντες ποιοῦσιν ἢ πείθοντες (οὐδὲν γὰρ ἧττον κριτὴς ὁ εἷς· ὃν γὰρ δεῖ πεῖσαι, οὗτός ἐστιν ὡς εἰπεῖν ἁπλῶς κριτής) ἐάν τε πρὸς ἀμφισβητοῦντα ἐάν τε πρὸς ὑπόθεσιν λέγῃ τις, ὁμοίως· τῷ γὰρ λόγῳ ἀνάγκη χρῆσθαι καὶ ἀναιρεῖν τὰ ἐναντία, πρὸς ἃ ὥσπερ ἀμφισβη- 15 τοῦντα τὸν λόγον ποιεῖται. ὡσαύτως δὲ καὶ ἐν τοῖς ἐπιδεικτικοῖς· ὥσπερ γὰρ πρὸς κριτὴν τὸν θεωρὸν ὁ λόγος συνέστηκεν. ὅλως δὲ μόνος ἐστὶν ἁπλῶς κριτὴς ἐν τοῖς πολιτικοῖς ἀγῶσιν ὁ τὰ ζητούμενα κρίνων· τά τε γὰρ ἀμφισβητούμενα ζητεῖται πῶς ἔχει, καὶ περὶ ὧν βουλεύονται. περὶ 20 δὲ τῶν κατὰ τὰς πολιτείας ἠθῶν ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον, ὥστε διωρισμένον ἂν εἴη πῶς τε καὶ διὰ τίνων τοὺς λόγους ἠθικοὺς ποιητέον.

ἐπεὶ δὲ περὶ ἕκαστον μὲν γένος τῶν λόγων ἕτερον ἦν τὸ τέλος, περὶ ἁπάντων δ' αὐτῶν εἰλημμέναι δόξαι καὶ προ- 25 τάσεις εἰσὶν ἐξ ὧν τὰς πίστεις φέρουσιν καὶ συμβουλεύοντες

11 ἢ ἀποτρέπῃ om. Θ (pr. Y^b) D ‖ 12 ἐστὶν εἷς ΘBDE, ἐστὶν et ὁ om. C ‖ ὃν δεῖ πεῖσαι Spengel ex A^c, ubi alt. man. supra lineam addidit γάρ, quod omnes cet. tuentur ‖ 13 ὡς ἁπλῶς εἰπεῖν ΘΠTr. at cf. 1355a, 7 ‖ εἰς ἀμφισβητοῦντα A^c(?) ‖ 18 μόνος ὡς (ὡς om. et Tr.) ἁπλῶς ἐστι κριτὴς ὁ ἐν τοῖς πολιτικοῖς ἀγῶσι τὰ ΘΠTr. ‖ 22 τε om. A^c ‖ 23 τοὺς λόγους τοὺς ἠθικοὺς ποιήσομεν ΘΠAld. ‖ In verbis, quae sequuntur 1391b, 24—1392a, 5 duae inprimis res offenderunt Spengelium: ἔτι δὲ ἐξ ὧν ἠθικοὺς τοὺς λόγους ἐνδέχεται ποιεῖν, καὶ περὶ τούτων διώρισται, quae verba ordinis in his libris temere constituti nec ab Aristotelis manu profecti defendendi causa aliena manu addita ideoque delenda censet; tum, quod gravius puto, lin. 3 ὅπως τὰ λοιπὰ προσθέντες ἀποδῶμεν τὴν ἐξ ἀρχῆς πρόθεσιν. Cum enim τὰ λοιπὰ non habeat, quo referatur, Spengelius hoc verbo Aristotelem disputationem ad πάθη et ἤθη pertinentem respicere statuit, ita ut haec olim ordine inverso a philosopho tractata et edita esse videantur; Aristotelem enim τοῖς εἴδεσι I, 4—15 simul ut par erat τοὺς τόπους II, 18—26 coniunxisse et hac prima parte absoluta secundam et tertiam i. e. πάθη et ἤθη aggressum esse sententia admodum verisimilis Spengelii est ‖ 24 ἕτερόν τι τὸ τέλος ἦν ΘΠAld. ‖ 25 καὶ om. A^c Tr.

Digitized by Google

καὶ ἐπιδεικνύμενοι καὶ ἀμφισβητοῦντες, ἔτι δὲ ἐξ ὧν ἠθικοὺς τοὺς λόγους ἐνδέχεται ποιεῖν, καὶ περὶ τούτων διώρισται, λοιπὸν ἡμῖν διελθεῖν περὶ τῶν κοινῶν· πᾶσι γὰρ
30 ἀναγκαῖον τὸ περὶ τοῦ δυνατοῦ καὶ ἀδυνάτου προσχρῆσθαι ἐν τοῖς λόγοις, καὶ τοὺς μὲν ὡς ἔσται τοὺς δὲ ὡς γέγονε πειρᾶσθαι δεικνύναι. ἔτι δὲ περὶ μεγέθους κοινὸν ἁπάντων ἐστὶ τῶν λόγων· χρῶνται γὰρ πάντες τῷ μειοῦν καὶ αὔξειν καὶ συμβουλεύοντες καὶ ἐπαινοῦντες ἢ ψέγοντες καὶ κατη-
1392a γοροῦντες ἢ ἀπολογούμενοι. τούτων δὲ διορισθέντων περὶ τῶν ἐνθυμημάτων κοινῇ πειραθῶμεν εἰπεῖν, εἴ τι ἔχομεν, καὶ περὶ παραδειγμάτων, ὅπως τὰ λοιπὰ προσθέντες ἀποδῶμεν τὴν ἐξ ἀρχῆς πρόθεσιν. ἔστιν δὲ τῶν κοινῶν τὸ μὲν
5 αὔξειν οἰκειότατον τοῖς ἐπιδεικτικοῖς, ὥσπερ εἴρηται, τὸ δὲ γεγονὸς τοῖς δικανικοῖς (περὶ τούτων γὰρ ἡ κρίσις) τὸ δὲ δυνατὸν καὶ ἐσόμενον τοῖς συμβουλευτικοῖς.

πρῶτον μὲν οὖν περὶ δυνατοῦ καὶ ἀδυνάτου λέγωμεν. 19
ἂν δὴ τὸ ἐναντίον ᾖ δυνατὸν ἢ εἶναι ἢ γενέσθαι, καὶ τὸ
10 ἐναντίον δόξειεν ἂν εἶναι δυνατόν, οἷον εἰ δυνατὸν ἄνθρωπον ὑγιασθῆναι, καὶ νοσῆσαι· ἡ γὰρ αὐτὴ δύναμις τῶν ἐναντίων, ᾗ ἐναντία. καὶ εἰ τὸ ὅμοιον δυνατόν, καὶ τὸ ὅμοιον. καὶ εἰ τὸ χαλεπώτερον δυνατόν, καὶ τὸ ῥᾷον. καὶ εἰ τὸ σπουδαῖον καὶ καλὸν γενέσθαι δυνατόν, καὶ ὅλως δυνατὸν γε-
15 νέσθαι· χαλεπώτερον γὰρ καλὴν οἰκίαν ἢ οἰκίαν εἶναι. καὶ

27 ἐπιδεικνύοντες ΘΠ Ald., ἐπιδεικνύντες C ‖ 29 τὰ περὶ ΘΠ ‖ 32 πάντων ΘΠ ‖ 34 Post συμβουλεύοντες add. A°: καὶ προτρέποντες, om. Tr. (cod. M), secl. Spengel, del. Bekker[3], συμβουλεύοντες καὶ προτρέποντες καὶ ἀποτρέποντες ΘΠ ‖ 1392a, 1 περί τε ἐνθυμήματων ΘΠ, περί τε τῶν C ‖ 2 εἴ τι ἔχομεν ex A° et Tr. Vict., om. ΘΠ ‖ 3 ἀποτελέσωμεν ΘΠ Ald. ‖ 6 γένος A° ‖ περὶ τούτων γὰρ ἡ κρίσις in versione om. Muretus ‖ 8 περὶ δυνατῶν καὶ ἀδυνάτων ΘΠ Tr. cf. 1392b, 13 ‖ 10 ἂν δόξειεν ΘBCE ‖ ὑγιασθῆναι ἄνθρωπον ΘΠ ‖ 11 καὶ νοσῆσαι δυνατόν BC ‖ 12 ἡ ἐναντία Muretus ‖ alt. ὅμοιον ex A° et Tr. Vict., ἀνόμοιον QE ‖ 13 εἰ σπουδαῖον ἢ καλόν ΘΠ ‖ 14 γενέσθαι δυνατόν ΘΠ ‖ 15 οἰκίαν εἶναι ex A° et Tr. Vict., οἰκίαν γενέσθαι ΘΠ.

Digitized by Google

οὗ ἡ ἀρχὴ δύναται γενέσθαι, καὶ τὸ τέλος· οὐδὲν γὰρ γίγνεται οὐδ' ἄρχεται γίγνεσθαι τῶν ἀδυνάτων, οἷον τὸ σύμμετρον τὴν διάμετρον εἶναι οὔτ' ἂν ἄρξαιτο γίγνεσθαι οὔτε γίγνεται. καὶ οὗ τὸ τέλος, καὶ ἡ ἀρχὴ δυνατή· ἅπαντα γὰρ ἐξ ἀρχῆς γίγνεται. καὶ εἰ τὸ ὕστερον τῇ οὐσίᾳ ἢ τῇ γενέσει δυνατὸν γενέσθαι, καὶ τὸ πρότερον, οἷον εἰ ἄνδρα γενέσθαι δυνατόν, καὶ παῖδα· (πρότερον γὰρ ἐκεῖνο γίγνεται), καὶ εἰ παῖδα, καὶ ἄνδρα· (καὶ ἀρχὴ γὰρ ἐκείνη). καὶ ὧν ἢ ἔρως ἢ ἐπιθυμία φύσει ἐστίν· οὐδεὶς γὰρ ἀδυνάτων ἐρᾷ οὐδὲ ἐπιθυμεῖ ὡς ἐπὶ τὸ πολύ. καὶ ὧν ἐπιστῆμαί εἰσι καὶ τέχναι, δυνατὰ ταῦτα καὶ ἔστι καὶ γίγνεται. καὶ ὅσων ἡ ἀρχὴ τῆς γενέσεως ἐν τούτοις ἐστὶν ἃ ἡμεῖς ἀναγκάσαιμεν ἂν ἢ πείσαιμεν· ταῦτα δ' ἐστὶν ὧν κρείττους ἢ κύριοι ἢ φίλοι. καὶ ὧν τὰ μέρη δυνατά, καὶ τὸ ὅλον, καὶ ὧν τὸ ὅλον δυνατόν, καὶ τὰ μέρη ὡς ἐπὶ τὸ πολύ· εἰ γὰρ πρόσχισμα καὶ κεφαλὶς καὶ χιτὼν δύναται γενέσθαι, καὶ ὑποδήματα δυνατὸν γενέσθαι, καὶ εἰ ὑποδήματα, καὶ πρόσχισμα καὶ κεφαλίς, καὶ εἰ τὸ γένος ὅλον τῶν δυνατῶν γενέσθαι, καὶ τὸ εἶδος, καὶ εἰ τὸ εἶδος, καὶ τό γένος, οἷον εἰ πλοῖον γενέσθαι δυνατόν, καὶ τριήρη, καὶ εἰ τριήρη, καὶ πλοῖον. καὶ εἰ θάτερον τῶν πρὸς ἄλληλα πεφυκότων, καὶ θάτερον, οἷον εἰ διπλάσιον, καὶ

16 δυνατὴ ΘBEAld. ‖ 18 ἄρξειτο A^c ‖ 20 ὕστερον ex A^c et Tr. Vict., ἕτερον Y^b Z^b BD, δεύτερον QE ‖ 22 κἀκεῖνο A^c(?) ‖ 23 καὶ ante ἀρχή om. ΘΠ ‖ ἢ ante ἔρως om. ΘΠTr. ‖ 24 τῶν ante ἀδυνάτων om. A^c, itaque delevi, τῶν ἀδυν. cet. ‖ 25 δυνατὰ ταῦτα καὶ ἔστι καὶ γίγνεται ex A^c Spengel, δυνατὸν ταῦτα καὶ εἶναι καὶ γενέσθαι ΘΠTr. Ald. ‖ 27 καὶ ἡμεῖς ΘBC ‖ καὶ πείσαιμεν ΘΠ ‖ 29 ὅλον] ὅλον δυνατόν ΘΠ, cf. 1392a, 11, δυνατόν ex A^c et Tr. delevit Vict. ‖ 30 εἴ τε γάρ ΘΠ ‖ πρόσχισμα ex codd. (A^c) Vict., antea πρόσχημα, ut in E ‖ 31 γενέσθαι δύναται ΠAld., cf. supra 16 ‖ „indumentum" Tr., unde alii ὑπενδύματα ‖ 32 προσχίσματα vel προσχήματα A^c ‖ Post κεφαλὶς addunt QZ^b DE χιτὼν, delevit Spengel, et hic et supra in versione om. Muretus ‖ 1392b, 1 καὶ εἰ τὸ γένος δυνατὸν γενέσθαι cod. p. Vict. ‖ ὅλον omissum in versione a Mureto secl. Gaisford ‖ καὶ εἰ τὸ εἶδος om. A^c.

Digitized by Google

5 ἥμισυ, καὶ εἰ ἥμισυ, διπλάσιον. καὶ εἰ ἄνευ τέχνης καὶ παρασκευῆς δύνατὸν γίγνεσθαι, μᾶλλον διὰ τέχνης καὶ ἐπιμελείας δυνατόν, ὅθεν καὶ Ἀγάθωνι εἴρηται

καὶ μὴν τὰ μέν γε τῇ τέχνῃ πράσσει, τὰ δὲ
ἡμῖν ἀνάγκῃ καὶ τύχῃ προσγίγνεται.

10 καὶ εἰ τοῖς χείροσι καὶ ἥττοσι καὶ ἀφρονεστέροις δυνατόν, καὶ τοῖς ἐναντίοις μᾶλλον, ὥσπερ καὶ Ἰσοκράτης ἔφη δεινὸν εἶναι εἰ ὁ μὲν Εὔθυνος ἔμαθεν, αὐτὸς δὲ μὴ δυνήσεται εὑρεῖν. περὶ δὲ ἀδυνάτου δῆλον ὅτι ἐκ τῶν ἐναντίων τοῖς εἰρημένοις ὑπάρχει.

15 εἰ δὲ γέγονεν, ἐκ τῶνδε σκεπτέον. πρῶτον μὲν γάρ, εἰ τὸ ἧττον γίγνεσθαι πεφυκὸς γέγονεν, γεγονὸς ἂν εἴη καὶ τὸ μᾶλλον. καὶ εἰ τὸ ὕστερον εἰωθὸς γίγνεσθαι γέγονεν, καὶ τὸ πρότερον γέγονεν, οἷον εἰ ἐπιλέλησται, καὶ ἔμαθέ ποτε τοῦτο. καὶ εἰ ἐδύνατο καὶ εἰ ἐβούλετο, πέπραχε· πάντες γάρ,

20 ὅταν δυνάμενοι βουληθῶσι, πράττουσιν· ἐμποδὼν γὰρ οὐδέν. ἔτι εἰ ἐβούλετο καὶ μηδὲν τῶν ἔξω ἐκώλυεν, καὶ εἰ δυνατὸν καὶ ὠργίζετο, καὶ εἰ ἐδύνατο καὶ ἐπεθύμει· ὡς γὰρ ἐπὶ τὸ

5 καὶ διπλάσιον ΘΠTr., καὶ om. A^c; itaque delevi, cf. infra 31 et 1393a, 8 ‖ ἢ παρασκευῆς ΘΠ ‖ 6 γενέσθαι τι pro γίγνεσθαι ΘΠ ‖ 8 τῇ τύχῃι πράσσει A^c, τῇ τύχῃ πράσσειν ΘΠ Ald. (πράσσει rectum videtur, cf. 1397a, 19). In hoc versu libri omnes cum Tr. exhibent τύχῃι praeter QEm schol., qui τέχνῃ scribunt. Priori versui recte τέχνῃ intulerunt Isingr., Camot., Majoragius, Grotius, Dobreeus, χρὴ τέχνῃ Porson ad Med. 1090 ‖ 9 τὰ δ' ἡμῖν A^cC ‖ ἀνάγκῃ καὶ τύχῃ A^c ‖ 10 καὶ τὸ τοῖς χείροσι ΘΠ ‖ ἢ ἥττοσι ἢ ΘΠ ‖ 12 Εὐθύνους schol., Εὔθυμος Θ Ald. De re cf. Usener Mus. Rhen. XXV p. 603 ‖ 13 ἀδυνάτων ΘΠ Tr. cf. 1392a, 8 ‖ 15 Post γέγονεν add. ἢ μὴ γέγονεν ΘΠTr. Ald., secl. Gaisford, del. Spengel ‖ γὰρ om. ΘBC ‖ 16 πεφυκὸς γίγνεσθαι Y^bBC ‖ καὶ τὸ μᾶλλον πεφυκὸς γεγονὸς ἂν εἴη. καὶ ΘΠTr. ‖ 19 καὶ εἰ ἐβούλετο A^c, quod recepi, cf. et varietat. ad 1374b, 34, εἰ om. cet. ‖ πέπραγε ΘΠAld., cf. 1367b, 32 ‖ 21 ἔτι] καὶ ΘDE ‖ δυνατὸν ex A^c et Tr. Vict., ἐδύνατο ΘCDE ‖ καὶ εἰ ἐδύνατο καὶ ὠργίζετο καὶ εἰ ἐδύνατο om. Z^b. Ceterum totum locum arctissime coniungens cum superiore sic refingere conatus est Spengelius: ἔτι εἰ μηδὲν τῶν ἔξω ἐκώ-

Digitized by Google

πολύ, ὧν ὀρέγονται, ἂν δύνωνται, ποιοῦσιν, οἱ μὲν φαῦλοι δι' ἀκρασίαν, οἱ δ' ἐπιεικεῖς ὅτι τῶν ἐπιεικῶν ἐπιθυμοῦσιν. καὶ εἰ ἔμελλε γίγνεσθαι καὶ ποιεῖν· εἰκὸς γὰρ τὸν μέλλοντα καὶ 25 ποιῆσαι. καὶ εἰ γέγονεν ὅσα ἢ πεφύκει πρὸ ἐκείνου ἢ ἕνεκα ἐκείνου, οἷον εἰ ἤστραψε, καὶ ἐβρόντησεν, καὶ εἰ ἐπείρασε, καὶ ἔπραξεν. καὶ εἰ ὅσα ὕστερον πεφύκει γίγνεσθαι ἢ οὗ ἕνεκα γίγνεται γέγονε, καὶ τὸ πρότερον καὶ τὸ τούτου ἕνεκα γέγονεν, οἷον εἰ ἐβρόντησε, καὶ ἤστραψεν, καὶ εἰ ἔπραξεν, 30 ἐπείρασεν. ἔστι δὲ τούτων ἁπάντων τὰ μὲν ἐξ ἀνάγκης τὰ δ' ὡς ἐπὶ τὸ πολὺ οὕτως ἔχοντα. περὶ δὲ τοῦ μὴ γεγονέναι φανερὸν ὅτι ἐκ τῶν ἐναντίων τοῖς εἰρημένοις.

καὶ περὶ τοῦ ἐσομένου ἐκ τῶν αὐτῶν δῆλον· τό τε γὰρ 1393 a ἐν δυνάμει καὶ ἐν βουλήσει ὂν ἔσται, καὶ τὰ ἐν ἐπιθυμίᾳ καὶ ὀργῇ καὶ λογισμῷ μετὰ δυνάμεως ὄντα, ταῦτα καὶ ἐν ὁρμῇ τοῦ ποιεῖν ἢ μελλήσει ἔσται· ὡς γὰρ ἐπὶ τὸ πολὺ γίγνεται μᾶλλον τὰ μέλλοντα ἢ τὰ μὴ μέλλοντα. καὶ εἰ προ- 5 γέγονε ὅσα πρότερον πεφύκει γίγνεσθαι, οἷον εἰ συννεφεῖ, εἰκὸς ὗσαι. καὶ εἰ τὸ ἕνεκα τούτου γέγονε, καὶ τοῦτο εἰκὸς γενέσθαι, οἷον εἰ θεμέλιος, καὶ οἰκία.

λυεν καὶ ὠργίζετο, καὶ εἰ ἐδύνατο καὶ ἐπεθύμει, inclusis et deletis tamquam falsis additamentis ἐβούλετο καὶ et καὶ εἰ δυνατόν ‖ 23 καὶ ποιοῦσιν ΘΠ, καὶ om. A^c et Tr., cf. supra 5 et infra 31 ‖ 25 γίγνεσθαι καὶ secl. Spengel (bene defendit Vater, Vahlen Poet. p. 153) ‖ 26 προγέγονεν ΘΠ Ald., cf. 1393 a, 5 ‖ ἢ ante πεφύκει om. ΘΠ Tr. ‖ 28 πέφυκε ΘΠ Ald., cf. 1393 a, 6 ‖ 29 Sic locum ex codd. (A^c) restituit Vict., καὶ εἰ τὸ πρότερον καὶ τούτου ἕνεκα πρότερον τούτου γέγονεν ΘΠ Tr. ‖ 31 καὶ ἐπείρασεν ΘΠ, cf. supra 5 et 23 ‖ 33 ὅτι om. ΘΠ Ald. ‖ 1393 a, 1 ἐσομένου μὲν Tr. ‖ 2 ἐν βουλήσει ex codd. (A^c) et Tr. Vict., ἐν βουλῇ ΘDE ‖ καὶ τὸ ἐν ἐπιθυμίᾳ . . . . . ὄν ΘBCD ‖ 3 καὶ λογισμῷ omissum in D secl. Spengel, cf. 1392 b, 21 ‖ ταῦτα A^c, quod sensu caret, διὰ ταῦτα ΘΠ Tr., quod est ineptissimum ‖ καὶ εἰ ἐν ὁρμῇ ΘBC, διὰ ταῦτα καὶ τὸ ἐν ὁρμῇ Veneta ‖ 4 μελλήσει in litura rec. man. A^c ‖ 5 Post μᾶλλον addidit τὰ μέλλοντα rec. man. supra lineam A^c ‖ „futura, quam non" (τὰ μέλλοντα ἢ μὴ vel τὰ μὴ?) Tr. ‖ 6 πέφυκε ΘΠ, cf. 1392 b, 28 ‖ 7 γέγονε] γεγονὸς ΘE Ald. ‖ 8 οἷον] καὶ C ‖ καὶ ante οἰκία om. ΘΠ Ald., cf. 1392 b, 5.

Digitized by Google

περὶ δὲ μεγέθους καὶ μικρότητος τῶν πραγμάτων καὶ μεί-
10 ζονός τε καὶ ἐλάττονος καὶ ὅλως μεγάλων καὶ μικρῶν ἐκ τῶν
προειρημένων ἡμῖν ἐστιν φανερόν. εἴρηται γὰρ ἐν τοῖς συμ-
βουλευτικοῖς περί τε μεγέθους ἀγαθῶν καὶ περὶ τοῦ μείζονος
ἁπλῶς καὶ ἐλάττονος, ὥστε ἐπεὶ καθ' ἕκαστον τῶν λόγων τὸ
προκείμενον τέλος ἀγαθόν ἐστιν, οἷον τὸ συμφέρον καὶ τὸ κα-
15 λὸν καὶ τὸ δίκαιον, φανερὸν ὅτι δι' ἐκείνων ληπτέον τὰς αὐξή-
σεις πᾶσιν. τὸ δὲ παρὰ ταῦτα ἔτι ζητεῖν περὶ μεγέθους ἁπλῶς
καὶ ὑπεροχῆς κενολογεῖν ἐστιν· κυριώτερα γάρ ἐστιν πρὸς
τὴν χρείαν τῶν καθόλου τὰ καθ' ἕκαστα τῶν πραγμάτων.

περὶ μὲν οὖν δυνατοῦ καὶ ἀδυνάτου, καὶ πότερον γέ-
20 γονεν ἢ οὐ γέγονεν καὶ ἔσται ἢ οὐκ ἔσται, ἔτι δὲ περὶ
μεγέθους καὶ μικρότητος τῶν πραγμάτων εἰρήσθω ταῦτα· λοι- 20
πὸν δὲ περὶ τῶν κοινῶν πίστεων ἅπασιν εἰπεῖν, ἐπεί περ εἴ-
ρηται περὶ τῶν ἰδίων. εἰσὶ δ' αἱ κοιναὶ πίστεις δύο τῷ γένει,
25 παράδειγμα καὶ ἐνθύμημα· ἡ γὰρ γνώμη μέρος ἐνθυμήματος
ἐστίν. πρῶτον μὲν οὖν περὶ παραδείγματος λέγωμεν· ὅμοιον
γὰρ ἐπαγωγῇ τὸ παράδειγμα, ἡ δ' ἐπαγωγὴ ἀρχή.

παραδειγμάτων δὲ εἴδη δύο· ἓν μὲν γάρ ἐστιν παρα-
δείγματος εἶδος τὸ λέγειν πράγματα προγεγενημένα, ἓν δὲ τὸ
30 αὐτὸν ποιεῖν. τούτου δὲ ἓν μὲν παραβολὴ ἓν δὲ λόγοι, οἷον

9 καὶ ante μείζονος om. ΘΠ ‖ 11 ἔσται C ‖ 13 ἐπὶ τὸ καθ' ἕκαστον τῶν λόγων τῶν προκειμένων A^c ‖ 14 οἷον εἰ ΘΠ, εἰ del. Vict. ‖ 15 τὸ ante δίκαιον om. ΘΠ ‖ 16 ἔτι ex A^c Gaisford, τι ΘΠ Ald. ‖ 17 ἐστιν ante πρὸς om. Tr. ‖ 18 καθ' ἕκα στον Θ DE ‖ 21 In fine versus maiusculis litteris exaratum in A^c : περὶ τῶν κοινῶν πίστεων, quod librarii, non auctoris esse iam vidit Gaisfordius. Cum Aristoteles satis aperte 1391b, 29 pronuntiaverit: λοιπὸν ἡμῖν διελθεῖν περὶ τῶν κοινῶν et rem ibi propositam in capite sequenti (cap. XIX) aggressus sit et absolverit, verba λοιπὸν δὲ περὶ τῶν κοινῶν πίστεων ἅπασιν εἰπεῖν vel maxime offenderunt Spengelium. Aut aliquid discriminis inter κοινὰ et κοιναὶ πίστεις statuendum esse censet aut scribendum: λοιπὸν δὲ περὶ τῶν ἄλλων κοινῶν πίστεων ἅπασιν εἰπεῖν, παραδείγματος καὶ ἐνθυμήματος· ἡ γὰρ γνώμη .... ‖ 26 μὲν om. ΘC ‖ 27 (An ἀρχὴ τοῦ καθόλου, ut 1139b, 28?) ‖ 28 δύο ἐστίν ΘΠ Tr.

Digitized by Google

οἱ Αἰσώπειοι καὶ Λιβυκοί. ἔστιν δὲ τὸ μὲν πράγματα λέγειν τοιόνδε τι, ὥσπερ εἴ τις λέγοι ὅτι δεῖ πρὸς βασιλέα παρασκευάζεσθαι καὶ μὴ ἐᾶν Αἴγυπτον χειρώσασθαι· καὶ γὰρ πρότερον Δαρεῖος οὐ πρότερον διέβη πρὶν Αἴγυπτον ἔλαβεν, λα- 1393 b
βὼν δὲ διέβη, καὶ πάλιν Ξέρξης οὐ πρότερον ἐπεχείρησεν πρὶν ἔλαβεν, λαβὼν δὲ διέβη, ὥστε καὶ οὗτος ἐὰν λάβῃ, διαβήσεται, διὸ οὐκ ἐπιτρεπτέον. παραβολὴ δὲ τὰ Σωκρατικά 5
οἷον εἴ τις λέγοι ὅτι οὐ δεῖ κληρωτοὺς ἄρχειν. ὅμοιον γὰρ ὥσπερ ἂν εἴ τις τοὺς ἀθλητὰς κληροίη μὴ οἳ δύνανται ἀγωνίζεσθαι ἀλλ' οἳ ἂν λάχωσιν, ἢ τῶν πλωτήρων ὅν τινα δεῖ κυβερνᾶν κληρώσειεν, ὡς οὐ δέον τὸν ἐπιστάμενον ἀλλὰ τὸν λαχόντα. λόγος δέ, οἷος ὁ Στησιχόρου περὶ Φαλάριδος καὶ Αἰσώπου ὑπὲρ τοῦ δημαγωγοῦ. Στησίχορος μὲν γὰρ ἑλομέ- 10
νων στρατηγὸν αὐτοκράτορα τῶν Ἱμεραίων Φάλαριν καὶ μελλόντων φυλακὴν διδόναι τοῦ σώματος, τἆλλα διαλεχθεὶς εἶπεν αὐτοῖς λόγον ὡς ἵππος κατεῖχε λειμῶνα μόνος, ἐλθόντος δ'

31 αἰσώπει||||οι sic A^c ‖ λιβυκοὶ ex codd. (λιμυκοὶ A^c) Vict., Λιβύης QE, Λιβύες Y^bZ^b ‖ παραδείγματα λέγειν A^c, unde πράγματα correxit Spengel, ἔστι δὲ τὸ μὲν παράδειγμα τοιόνδε τι ΘΠ Tr. Ald. ‖ 33 πρότερον ante Δαρεῖος ex A^c et Tr. Vict., om. ΘΠ, delet Ussing ‖ 1393 b, 1 λαβεῖν ΘΠ ‖ 2 καὶ πάλιν Ξέρξης — 3 διέβη om. ΘD (E?) Ald. ‖ 3 οὗτος ἐὰν ex A^c et Tr. Vict., νῦν ἄν ΘBCD ‖ λάβοι Y^bZ^bB omisso διαβήσεται, quod om. etiam C ‖ 4 δὲ καὶ ΘD Ald., τὰ Σωκρατικὰ ex margine inculcatum delendum censeo et om. Tr. (cod. M.), cf. cod. eundem ad 1396 a, 21 et Mus. Rhen. N. F. XXXIX p. 505 ‖ 5 ὅτι post λέγοι ex A^c et Tr. Vict., om. ΘΠ ‖ τοὺς κληρωτοὺς ΘBDE ‖ 6 ἂν om. ΘΠ ‖ οἳ μὴ δύνανται ἀγωνίζεσθαι A^c Tr. Transposito μὴ recte retinuit indicativum Spengelius, cf. var. ad 1397 b, 1,

μὴ οἳ ἂν δύνωνται ΘΠ Ald. ‖ 7 ὅτινα sic A^c, ν addidit ead. man. ‖ 8 Sic locum dedit Spengelius transpositis participiis in A^c, ubi οὐ δέον τὸν λαχόντα, ἀλλὰ τὸν ἐπιστάμενον, ὡς δέον τὸν λαχόντα, ἀλλὰ μὴ ἐπιστάμενον ΘΠ Tr. Ald. ‖ δέον δὲ (omisso ὡς?) QZ^bDE(?) ‖ 9 δὲ post λόγος om. ΘΠ ‖ 9 ὁ ante Στησιχόρου rec. man. addidisse videtur A^c ‖ πρὸς Φάλαριν ΘΠ Tr. ‖ 10 δημαγωγοῦ ex codd. (A^c) et Tr. Vict., δημηγόρου QZ^b et pr. Y^bD.

Digitized by Google

ἐλάφου καὶ διαφθείροντος τὴν νομὴν βουλόμενος τιμωρή-
15 σασθαι τὸν ἔλαφον ἠρώτα τινὰ ἄνθρωπον εἰ δύναιτ' ἂν
μετ' αὐτοῦ τιμωρήσασθαι τὸν ἔλαφον, ὁ δ' ἔφησεν, ἐὰν λάβῃ
χαλινὸν καὶ αὐτὸς ἀναβῇ ἐπ' αὐτὸν ἔχων ἀκόντια· συνομο-
λογήσαντος δὲ καὶ ἀναβάντος ἀντὶ τοῦ τιμωρήσασθαι αὐτὸς
ἐδούλευσε τῷ ἀνθρώπῳ. οὕτω δὲ καὶ ὑμεῖς, ἔφη, ὁρᾶτε μὴ
20 βουλόμενοι τοὺς πολεμίους τιμωρήσασθαι τὸ αὐτὸ πάθητε τῷ
ἵππῳ· τὸν μὲν γὰρ χαλινὸν ἔχετε ἤδη, ἑλόμενοι στρατηγὸν
αὐτοκράτορα· ἐὰν δὲ φυλακὴν δῶτε καὶ ἀναβῆναι ἐάσητε,
δουλεύσετε ἤδη Φαλάριδι. Αἴσωπος δὲ ἐν Σάμῳ δημηγορῶν
κρινομένου δημαγωγοῦ περὶ θανάτου ἔφη ἀλώπεκα διαβαί-
25 νουσαν ποταμὸν ἀπωσθῆναι εἰς φάραγγα, οὐ δυναμένην δὲ
ἐκβῆναι πολὺν χρόνον κακοπαθεῖν καὶ κυνοραϊστὰς πολλοὺς
ἔχεσθαι αὐτῆς, ἐχῖνον δὲ πλανώμενον, ὡς εἶδεν αὐτήν, κατ-
οικτείραντα ἐρωτᾶν εἰ ἀφέλοι αὐτῆς τοὺς κυνοραϊστάς, τὴν
δὲ οὐκ ἐᾶν· ἐρομένου δὲ διὰ τί, ὅτι οὗτοι μὲν φάναι ἤδη
30 μου πλήρεις εἰσὶ καὶ ὀλίγον ἕλκουσιν αἷμα, ἐὰν δὲ τούτους
ἀφέληται, ἕτεροι ἐλθόντες πεινῶντες ἐκπιοῦνταί μου τὸ λοιπὸν

14 διαφθείροντος ex A^c Vict., διαφθείραντος QZ^bDE ‖ 15 τινὰ ἄνθρωπον ex A^c et Tr. Vict., τὸν ἄνθρωπον ΘΠ Ald., omisso articulo ἄνθρωπον probat Spengel ‖ ἂν om. ΘΠ ‖ 16 μετ' αὐτὸν A^c pr., rec. man. correxit αὐτοῦ ‖ τιμωρήσασθαι ex A^c et Tr. Spengel, κολάσαι ΘΠ Ald. ‖ ὁ δέ φησιν ΘDE, ὁ δή φησιν C ‖ λάβῃς Y^bZ^bDE ‖ 17 „habens lanceam" (ἀκόντιον) Tr. ‖ συνωμολογήσατο Q ‖ 19 ἐδούλευσεν ἤδη ΘΠ Tr., ἤδη om. Spengel ‖ οὕτω δὲ A^c pr., rec. man. δ' οὐ ‖ ὁρᾶτε φησὶ μὴ τοὺς πολεμίους βουλόμενοι τιμωρήσασθαι ταὐτὰ ΘΠ ‖ 21 τὸ μὲν A^c ‖ ἤδη ἔχετε ΘΠ, ἤδη delet Ussing ‖ 22 καὶ φυλακὴν ΘΠ ‖ 23 δουλεύετε QZ^bΠ ‖ ἤδη delendum censet Spengel, ut supra 19 (vix recte) ‖ 23 Sic locum scripsi assentiente Tr., δημηγορῶν κρινομένω δημαγωγῶ A^c, συνηγορῶν δημαγωγῶ κρινομένῳ ΘDE Ald. ‖ τῷ κρινομένῳ BC; cf. Mus. Rhen. N. F. XXXIX pag. 505 ‖ 29 φάναι (φάναι μὲν Z^b), ὅτι οὗτοι μὲν πλήρεις μου ἤδη ΘΠ Tr. ‖ 31 ἀφέληται ex A^c recepi; nam sensu universali dictum pro τις ἀφέληται aptissimum est. Conferas quaeso locum plane similem Eurip. Orest. 314, 5 et ibi scholium apud Klotzium, Mus. Rhen. N. F. XXXIX pag. 506, ἀφέλῃ ΘΠ Tr., ἀφέλῃς Spengel.

Digitized by Google

αἷμα. ἀτὰρ καὶ ὑμᾶς, ἄνδρες Σάμιοι, οὗτος μὲν οὐδὲν ἔτι βλάψει (πλούσιος γάρ ἐστιν), ἐὰν δὲ τοῦτον ἀποκτείνητε, ἕτεροι ἥξουσι πένητες, οἳ ὑμῖν ἀναλώσουσι τὰ κοινὰ κλέπ- 1394 a
τοντες. εἰσὶ δ' οἱ λόγοι δημηγορικοί, καὶ ἔχουσιν ἀγαθὸν τοῦτο, ὅτι πράγματα μὲν εὑρεῖν ὅμοια γεγενημένα χαλεπόν, λόγους δὲ ῥᾷον· ποιῆσαι γὰρ δεῖ ὥσπερ καὶ παραβολάς, ἂν τις δύνηται τὸ ὅμοιον ὁρᾶν, ὅ περ ῥᾷόν ἐστιν ἐκ φιλο- 5
σοφίας. ῥᾷον μὲν οὖν πορίσασθαι τὰ διὰ τῶν λόγων, χρησιμώτερα δὲ πρὸς τὸ βουλεύσασθαι τὰ διὰ τῶν πραγμάτων· ὅμοια γὰρ ὡς ἐπὶ τὸ πολὺ τὰ μέλλοντα τοῖς γεγονόσιν.

δεῖ δὲ χρῆσθαι τοῖς παραδείγμασι οὐκ ἔχοντα μὲν ἐνθυμήματα ὡς ἀποδείξεσιν· (ἡ γὰρ πίστις διὰ τούτων), ἔχοντα 10
δὲ ὡς μαρτυρίοις, ἐπιλόγῳ χρώμενον τοῖς ἐνθυμήμασιν· προτιθέμενα μὲν γὰρ ἔοικεν ἐπαγωγῇ, τοῖς δὲ ῥητορικοῖς οὐκ οἰκεῖον ἐπαγωγὴ πλὴν ἐν ὀλίγοις, ἐπιλεγόμενα δὲ μαρτυρίοις, ὁ δὲ μάρτυς πανταχοῦ πιθανός. διὸ καὶ προτιθέντι μὲν ἀνάγκη πολλὰ λέγειν, ἐπιλέγοντι δὲ καὶ ἓν ἱκανόν· μάρ- 15
τυς γὰρ χρηστὸς καὶ εἷς χρήσιμος.

πόσα μὲν οὖν εἴδη παραδειγμάτων, καὶ πῶς αὐτοῖς καὶ

32 ἀτὰρ οὖν καὶ ΘΠ Ald. (ἀτὰρ οὖν om. D) ‖ „*ita et vos*" Tr. ‖ ἔφη, ὦ ἄνδρες ΘΠ Ald., ἔφη ὦ om. A^c et Tr., delevit Spengel ‖ 33 βλάψει A^c et Tr. Bekker, βλάπτει ΘΠ Ald. ‖ τοῦτον om. Tr. ‖ 1394 a, 1 „*vos absorbebunt reliqua furantes*" Tr. (ὑμᾶς (?) ἀναλώσουσι τὰ λοιπὰ κλέπτοντες) ‖ 5 ῥᾷον i. e. ῥᾷον A^c et libri omnes, „*facile*" Tr. (cod. m.), ῥᾴδιον Bekker³ Spengel ‖ 6 ῥᾷον A^c C schol. Spengel, ῥᾴω ΘBDE Tr. (Nonne post λόγων exspectaveris ⟨καὶ παραβολῶν⟩?) ‖ 9 οὐκ ex A^c C cum Gaisfordio recepi, μὴ cet. ‖ 10 ἡ γὰρ πίστις διὰ τούτων ex codd. (A^c) et Tr. pr. dedit Vict., om. Θ (pr. Y^b) DE ‖ 11 ἐπι λόγωι (sic) χρώμενον τοῖς ἐνθυμήμασι A^c pr., rec. man. supra lineam ante τοῖς ἐνθυμήμασι addidit ἐπὶ, ἐπιλόγοις χρώμενον ἐπὶ τοῖς ἐνθυμήμασι ΘΠ Ald., quod probat Madvig ‖ 12 ἐπαγωγῇ ex A^c Vict., ἐπαγωγαῖς ΘΠ Tr. ‖ τῆς δὲ ῥητορικῆς C, quod probat Spengel (sed certe falsum, cf. 1402 a, 8) ‖ 13 ἐν ex codd. (A^c) et Tr. Vict., om. QDE ‖ ἐπιλεγόμενον Z^b DE Ald. ‖ 14 διότι ΘΠ ‖ 16 χρηστὸς A^c, πιστὸς ΘΠ Tr. ‖ pro χρήσιμος ἀπόχρη coni. Spengel (recte improbavit Vahlen; quod attinet ad verborum sonum cf. 1406 a, 19).

Digitized by Google

πότε χρηστέον, εἴρηται· περὶ δὲ γνωμολογίας, ῥηθέντος τί 21
20 ἐστιν γνώμη, μάλιστ' ἂν γένοιτο φανερὸν περὶ ποίων τε καὶ πότε καὶ τίσιν ἁρμόττει χρῆσθαι τῷ γνωμολογεῖν ἐν τοῖς λόγοις. ἔστι δ' ἡ γνώμη ἀπόφανσις, οὐ μέντοι οὔτε περὶ τῶν καθ' ἕκαστον, οἷον ποιός τις Ἰφικράτης, ἀλλὰ καθόλου· καὶ οὐ περὶ πάντων, οἷον ὅτι τὸ εὐθὺ τῷ καμπύλῳ ἐναντίον,
25 ἀλλὰ περὶ ὅσων αἱ πράξεις εἰσί, καὶ αἱρετὰ ἢ φευκτά ἐστι πρὸς τὸ πράττειν, ὥστ' ἐπεὶ τὰ ἐνθυμήματα ὁ περὶ τοιούτων συλλογισμός ἐστιν, σχεδὸν τὰ συμπεράσματα τῶν ἐνθυμημάτων καὶ αἱ ἀρχαὶ ἀφαιρεθέντος τοῦ συλλογισμοῦ γνῶμαί εἰσιν, οἷον

χρὴ δ' οὔ ποθ' ὅς τις ἀρτίφρων πέφυκ' ἀνήρ,
30 παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς.

τοῦτο μὲν οὖν γνώμη· προστεθείσης δὲ τῆς αἰτίας καὶ τοῦ διὰ τί ἐνθύμημά ἐστιν τὸ ἅπαν, οἷον

χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας,
φθόνον παρ' ἀστῶν ἀλφάνουσι δυσμενῆ.

1394b καὶ τὸ

οὐκ ἔστιν ὅς τις πάντ' ἀνὴρ εὐδαιμονεῖ·

καὶ τὸ

οὐκ ἔστιν ἀνδρῶν ὅς τις ἔστ' ἐλεύθερος
5 γνώμη, πρὸς δὲ τῷ ἐχομένῳ ἐνθύμημα,

22 ἔστι δὲ γνώμη ΘΠ Ald., cf. variet. 1382a, 21 et 1387b, 22, ἔστω δή γν. coni. Spengel ‖ ἀπόφασις Y^bZ^bDE Ald., cf. 1395b, 6 ‖ μὲν post ἀπόφανσις addunt BCD ‖ οὐ μέντοι ~~οὔτε~~ περὶ τῶν sic A^c, οὔτε exhibet etiam Tr. (om. cod. m.) et bene defenditur a Vahlenio loco simili 1355b, 8; itaque recepi, cf. ad 1389a, 32, om. cet. ‖ 23 „*Isocrates* vel *Socrates*" Tr. ‖ καὶ οὐ] οὔτε ΘΠ Tr. Ald. ‖ 24 περὶ πάντων καθόλου ΘΠ Tr., καθόλου om. A^c Spengel ‖ 25 ἃ ante αἱρετὰ addit Kayser ‖ 26 πράσσειν ΘΠ ‖ περὶ τοιούτων A^c Tr., τούτων ΘCDE ‖ 27 ἐστὶ σχεδόν, τὰ συμπεράσματα Vict. Bekker[3] ‖ τά τε συμπεράσματα ΘΠ ‖ 32 ἔσται ΘDE ‖ 34 πρὸς ἀνδρῶν ΘD Ald., πρὸς ἀστῶν BCE ‖ ἀλφάνουσι ex codd. (A^c) Vict., ἀμφανοῦσι Θ, ἀμφάνουσι BDE Ald. ‖ 1394b, 1 τὸ om. ΘΠ ‖ 5 γνώμη — ἐνθύμημα om. ΘDE Ald. ‖ ἐνθύμημά τι Tr., cf. variet. ad 1395b, 23.

Digitized by Google

ἢ χρημάτων γὰρ δοῦλός ἐστιν ἢ τύχης.
εἰ δή ἐστιν γνώμη τὸ εἰρημένον, ἀνάγκη τέτταρα εἴδη εἶναι γνώμης· ἢ γὰρ μετ' ἐπιλόγου ἔσται ἢ ἄνευ ἐπιλόγου. ἀποδείξεως μὲν οὖν δεόμεναί εἰσιν ὅσαι παράδοξόν τι λέγουσιν ἢ ἀμφισβητούμενον· ὅσαι δὲ μηδὲν παράδοξον, ἄνευ ἐπι- 10
λόγου. τούτων δ' ἀνάγκη τὰς μὲν διὰ τὸ προεγνῶσθαι μηδὲν δεῖσθαι ἐπιλόγου, οἷον

ἀνδρὶ δ' ὑγιαίνειν ἄριστόν ἐστιν, ὥς γ' ἡμῖν δοκεῖ
(φαίνεται μὲν γὰρ τοῖς πολλοῖς οὕτω), τὰς δ' ἅμα λεγομένας δήλας εἶναι ἐπιβλέψασιν, οἷον 15

οὐδεὶς ἐραστὴς ὅς τις οὐκ ἀεὶ φιλεῖ.

τῶν δὲ μετ' ἐπιλόγου αἱ μὲν ἐνθυμήματος μέρος εἰσίν, ὥσπερ

χρὴ δ' οὔ ποθ' ὅς τις ἀρτίφρων,

αἱ δ' ἐνθυμηματικαὶ μέν, οὐκ ἐνθυμήματος δὲ μέρος· αἵ περ καὶ μάλιστ' εὐδοκιμοῦσιν. εἰσὶν δ' αὗται ἐν ὅσαις ἐμ- 20
φαίνεται τοῦ λεγομένου τὸ αἴτιον, οἷον ἐν τῷ

ἀθάνατον ὀργὴν μὴ φύλασσε θνητὸς ὤν·

τὸ μὲν γὰρ φάναι μὴ δεῖν φυλάττειν γνώμη, τὸ δὲ προσκείμενον θνητὸν ὄντα τὸ διὰ τί. ὁμοίως δὲ καὶ

θνατὰ χρὴ τὸν θνατόν, οὐκ ἀθάνατα τὸν θνατὸν φρονεῖν. 25

φανερὸν οὖν ἐκ τῶν εἰρημένων πόσα τε εἴδη γνώμης,

7 *εἶναι γνώμης εἴδη* ΘΠ Ald. ‖ *δύο* pro *τέτταρα* praefert Spengel ‖ 9 *εἰσιν*] *εἰσιν αἱ μετὰ ἐπιλόγου* ΘΠ, *αἱ μετὰ ἐπιλόγου* ex A^c et Tr. del. Vict. ‖ *ὅσαι παράδοξον*—10 *ἀμφισβητούμενον* om. Q Z^b D Ald. ‖ 13 *ἀνδρὶ δὲ* A^c ‖ *μὲν ἄριστον* A^c Tr. ‖ Epicharmi esse ratus pro *ἡμῖν ἐμὶν* correxit Meineke ‖ 14 *μὲν* ex A^c et Tr. Vict., om. ΘΠ ‖ 16 *ἐρασθεὶς ὅστις οὐχὶ καὶ φιλεῖ* A^c ‖ 17 *ὥσπερ*] *οἷον* Tr. ‖ 18 *πέφυκ' ἀνὴρ* addunt ΘΠ Ald. ‖ 19 *μὲν* om. Y^b B C ‖ 21 *ἐν τῷδε* ΘΠ ‖ 22 *φύλαττε* ΘΠ ‖ 23 *τὸ μὲν γὰρ φάναι μὴ δεῖν φυλάττειν γνώμη* ex A^c Spengel, *μὴ φάναι* ΘB(?)DE(?) ‖ *δεῖν ἀεὶ φυλάττειν τὴν ὀργὴν* ΘΠ Ald., *ἀεὶ* et in Tr. omissum iam expunxit Vict. ‖ 24 *τὸ θνητὸν* ΘBCE ‖ post *διὰ τί* addunt *λέγει* ΘΠ Ald., om. A^c Tr. Spengel ‖ *ὅμοιον δὲ καὶ τὸ* ΘΠ, *τὸ* om. A^c et Tr., itaque delevi ‖ 25 Atticas formas *θνητὰ* . . . . *θνητὸν* solus exhibet A^c et sic dedit Spengel, *θνατὰ* et *θνατὸν* cet. ‖ alt. *τὸν* om. ΘΠ Ald.

Digitized by Google

καὶ περὶ ποῖον ἕκαστον ἁρμόττει· περὶ μὲν γὰρ τῶν ἀμφισβητουμένων ἢ παραδόξων μὴ ἄνευ ἐπιλόγου, ἀλλ' ἢ προθέντα τὸν ἐπίλογον γνώμῃ χρῆσθαι τῷ συμπεράσματι,
30 οἷον εἴ τις εἴποι, ἐγὼ μὲν οὖν, ἐπειδὴ οὔτε φθονεῖσθαι δεῖ οὔτ' ἀργὸν εἶναι, οὔ φημι χρῆναι παιδεύεσθαι, ἢ τοῦτο προειπόντα ἐπειπεῖν τὰ ἔμπροσθεν, περὶ δὲ τῶν μὴ παραδόξων ἀδήλων δὲ προστιθέντα τὸ διότι στρογγυλώτατα. ἁρμόττει δ' ἐν τοῖς τοιούτοις καὶ τὰ Λακωνικὰ ἀποφθέγματα καὶ τὰ αἰνιγματώδη, οἷον εἴ τις λέγει ὅ περ Στησί-
1395a χορος ἐν Λοκροῖς εἶπεν, ὅτι οὐ δεῖ ὑβριστὰς εἶναι, ὅπως μὴ οἱ τέττιγες χαμόθεν ᾄδωσιν. ἁρμόττει δὲ γνωμολογεῖν ἡλικίᾳ μὲν πρεσβυτέρων, περὶ δὲ τούτων ὧν ἔμπειρός τις ἐστίν, ὡς τὸ μὲν μὴ τηλικοῦτον ὄντα γνωμολογεῖν ἀπρεπὲς ὥσπερ καὶ τὸ μυθολογεῖν, περὶ δὲ ὧν ἄπειρος, ἠλίθιον καὶ
5 ἀπαίδευτον. σημεῖον δὲ ἱκανόν· οἱ γὰρ ἀγροῖκοι μάλιστα γνωμοτύποι εἰσὶ καὶ ῥᾳδίως ἀποφαίνονται. καθόλου δὲ μὴ ὄντος καθόλου εἰπεῖν μάλιστα ἁρμόττει ἐν σχετλιασμῷ καὶ δεινώσει, καὶ ἐν τούτοις ἢ ἀρχόμενον ἢ ἀποδείξαντα. χρῆσθαι δὲ δεῖ καὶ ταῖς τεθρυλημέναις καὶ κοιναῖς γνώμαις,
10 ἐὰν ὦσι χρήσιμοι· διὰ τὸ γὰρ εἶναι κοινά, ὡς ὁμολογούντων πάντων, ὀρθῶς ἔχειν δοκοῦσιν, οἷον παρακαλοῦντι ἐπὶ τὸ κινδυνεύειν μὴ θυσαμένους

27 περὶ ποίων tacite ex suo Tr. cod. Vict. ‖ μὲν om. ΘΠ ‖ 29 προθέντα, non προσθέντα, ut est apud Gaisfordium et Bekkerum, A^c, προσθέντα QZ^b ‖ 31 χρὴ ΘΠ Tr. Ald. ‖ 32 ἔτι εἰπεῖν A^c ‖ 33 προστιθέντα A^c pr.; sed. corr. προσθέντα, quod verum puto, προτιθέντα BC ‖ διότι (antea τὸ διὰ τί) pr. ex codd. Vict. ‖ στρογγυλώτατον Y^bZ^bBC ‖ 35 τὰ ante αἰνιγματώδη om. ΘBDE ‖ 1395a, 2 χαμᾶθεν Cobet ‖ 3 πρεσβυτέρων A^c Spengel, πρεσβύτερον B Tr. edd. vett., πρεσβυτέρῳ Q, πρεσβυτέροις Y^bZ^bDE ‖ 4 ἐστίν om. ΘΠ ‖ 5 περὶ δὲ] τὸ δὲ περὶ ΘΠ ‖ 7 Post ἀποφαίνονται ⟨καθόλου⟩ addit Vahlen ‖ 8 μάλιστα om. QZ^bDE ‖ 10 τεθρυλλημέναις ΘΠ schol. ‖ 11 χρήσιμαι C ‖ διὰ γὰρ τὸ εἶναι ΘΠ ‖ κοινά A^c (nescio an recte, cf. 1355b, 36 sqq. et Mus. Rhen. N. F. XXXIX pag. 506), κοιναί cet. ‖ 12 ἀπάντων ΘΠ ‖ ἐπὶ τὸ] εἰς τὸ ΘΠ.

Digitized by Google

εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης,
καὶ ἐπὶ τὸ ἥττους ὄντας
ξυνὸς Ἐνυάλιος,
καὶ ἐπὶ τὸ ἀναιρεῖν τῶν ἐχθρῶν τὰ τέκνα καὶ μηδὲν ἀδικοῦντα
νήπιος ὃς πατέρα κτείνας παῖδας καταλείπει.

ἔτι ἔνιαι τῶν παροιμιῶν καὶ γνῶμαί εἰσιν, οἷον παροιμία, Ἀττικὸς πάροικος. δεῖ δὲ τὰς γνώμας λέγειν καὶ παρὰ τὰ δεδημοσιευμένα (λέγω δὲ δεδημοσιευμένα οἷον τὸ γνῶθι σαυτὸν καὶ μηδὲν ἄγαν), ὅταν ᾖ τὸ ἦθος φαίνεσθαι μέλλῃ βέλτιον, ᾖ παθητικῶς εἰρημένη ᾖ. ἔστι δὲ παθητικὴ μὲν οἷον εἴ τις ὀργιζόμενος φαίη ψεῦδος εἶναι ὡς δεῖ γιγνώσκειν αὐτόν· οὗτος γοῦν εἰ ἐγίγνωσκεν ἑαυτόν, οὐκ ἄν ποτε στρατηγεῖν ἠξίωσε. τὸ δὲ ἦθος βέλτιον, ὅτι οὐ δεῖ, ὥσπερ φασίν, φιλεῖν ὡς μισήσοντας ἀλλὰ μᾶλλον μισεῖν ὡς φιλήσοντας. δεῖ δὲ τῇ λέξει τὴν προαίρεσιν συνδηλοῦν, εἰ δὲ μή, τὴν αἰτίαν ἐπιλέγειν, οἷον οὕτως εἰπόντα, ὅτι δεῖ δὲ φιλεῖν οὐχ ὥσπερ φασίν, ἀλλ' ὡς ἀεὶ φιλήσοντα· ἐπιβούλου γὰρ θάτερον, ᾗ ὧδε, οὐκ ἀρέσκει δέ μοι τὸ λεγόμενον· δεῖ γὰρ τὸν ἀληθινὸν φίλον ὡς φι-

16 alt. καὶ om. ΘΠ ‖ 18 κτείνων A^c ‖ καταλείποι QZ^b Π, cf. supra I, 15 ‖ 19 παροιμία A^c CTr. Vict., μαρτυρίαι ΘBDE; correctum videtur ex 1376 a, 4 ‖ 20 Aut τὰς γνώμας delendum aut δεῖ δὲ λέγειν καὶ παρὰ τὰς δεδημοσιευμένας γνώμας, λέγω δὲ δεδημοσιευμένας scribendum censet Spengel; sufficit fort. articulum ante γνώμας delere ‖ πάντα τὰ A^c, παρὰ τὰ ΘΠTr. ‖ 22 καὶ τὸ μηδὲν ΘΠ ‖ μέλλῃ φαίνεσθαι BCY^b, φαίνεσθαι μέλλοι Z^b DEAld. ‖ 23 εἰρημένη omisso ᾖ A^c, εἰρημένον ἐστὶν ΘBDE, εἰρημένον ᾖ C ‖ παθητικῶς μὲν ΘΠTr., παθητική A^c Bekker ‖ οἷον om. ΘΠAld. ‖ 24 καὶ φαίη Θ (pr. Y^b) DE ‖ 25 οὖν ΘBC, om. D, μὲν οὖν E, γὰρ Tr. ‖ 26 ὡς μισήσοντα ΘΠTr. schol. ‖ 27 φιλήσαντας A^c, φιλήσαντα Z^b, φιλήσοντα QY^b ΠTr. Ald. ‖ λέξει ex codd. (A^c) Vict., ξέξει QZ^b D, „cum ipso dicere" (αὐτῇ τῇ λέξει?) Tr. ‖ 28 συνδηλοῦν A^c CE, δηλοῦν ΘBD ‖ 29 ᾗ οὕτως ΘΠ ‖ δὲ om. ΘΠTr. schol. ‖ 30 ἀρκέσει Z^b et pr. Y^b D ‖ οὐκ ἀρέσκει γάρ Tr. ‖ 31 τὸν γ' ἀληθινόν ΘΠAld. ‖ „tamquam amaturum semper et semper amare" (φιλήσοντα ἀεὶ καὶ ἀεὶ φιλεῖν) Tr. (cod. M) (egregia varietas).

Digitized by Google

λήσοντα ἀεὶ φιλεῖν. καὶ οὐδὲ τὸ μηδὲν ἄγαν· δεῖ γὰρ τούς γε κακοὺς ἄγαν μισεῖν.

1395 b ἔχουσι δ' εἰς τοὺς λόγους βοήθειαν μεγάλην μίαν μὲν διὰ τὴν φορτικότητα τῶν ἀκροατῶν· χαίρουσι γὰρ ἐάν τις καθόλου λέγων ἐπιτύχῃ τῶν δοξῶν ἃς ἐκεῖνοι κατὰ μέρος ἔχουσιν. ὃ δὲ λέγω, δῆλον ἔσται ὧδε, ἅμα δὲ καὶ πῶς δεῖ αὐτὰς θηρεύειν. ἡ μὲν γὰρ γνώμη, ὥσπερ εἴρηται, ἀπόφανσις καθόλου ἐστίν, χαίρουσι δὲ καθόλου λεγομένου ὃ κατὰ μέρος προϋπολαμβάνοντες τυγχάνουσι· οἷον εἴ τις γείτοσι τύχοι κεχρημένος ἢ τέκνοις φαύλοις, ἀποδέξαιτ' ἂν τοῦ εἰπόντος οὐδὲν γειτονίας χαλεπώτερον ἢ ὅτι οὐδὲν ἠλιθιώτερον τεκνοποιίας, ὥστε δεῖ στοχάζεσθαι πῶς τυγχάνουσι ποῖα προϋπολαμβάνοντες, εἶθ' οὕτως περὶ τούτων καθόλου λέγειν. ταύτην τε δὴ ἔχει μίαν χρῆσιν τὸ γνωμολογεῖν, καὶ ἑτέραν κρείττω· ἠθικοὺς γὰρ ποιεῖ τοὺς λόγους. ἦθος δὲ ἔχουσιν οἱ λόγοι ἐν ὅσοις δήλη ἡ προαίρεσις. αἱ δὲ γνῶμαι πᾶσαι τοῦτο ποιοῦσιν διὰ τὸ ἀποφαίνεσθαι τὸν τὴν γνώμην λέγοντα καθόλου περὶ τῶν προαιρέσεων, ὥστε, ἂν χρησταὶ ὦσιν αἱ γνῶμαι, καὶ χρηστοήθη φαίνεσθαι ποιοῦσι τὸν λέγοντα.

περὶ μὲν οὖν γνώμης, καὶ τί ἐστι καὶ πόσα εἴδη ταύ-

32 τούς τε κακούς A^c ‖ 1395 b, 1 μὲν corr. Y^b, μὲν δὴ ΘBDE ‖ 4 δὴ Y^b Z^b BE ‖ 5 αὐτὰς ex A^c et Tr. Vict., αὐτούς Q Z^b DE ‖ 6 καθόλου ἀπόφασις ΘD, καθόλου ἀπόφανσις BCE cf. 1394 a, 22 ‖ λεγομένου ex codd. (A^c) et Tr. Vict., λεγομένων Q, λεγόμενον DE ‖ 7 δ A^c (an λεγομένων δ?) ‖ προϋπολαμβάνοντες ex A^c et Tr. Vict., ὑπολαμβάνοντες ΘΠ ‖ 8 τι A^c pr., rec. man. supra addidit σ ‖ τύχῃ ΘBDE(?) Ald. ‖ 9 Post εἰπόντος addunt ὅτι ΘBCD, om. A^c Tr. Vict. ‖ γειτονείας A^c Q ‖ 11 ποῖα τυγχάνουσι omisso πῶς ΘΠ Ald. ‖ οὕτως εἶτα Q Z^b DE Ald. ‖ 12 Sic Bekker, ταύτην δὲ δὴ ἔχειν μίαν χρῆσιν τὸ A^c, sed rec. man. pro δὴ emendavit δεῖ, ταύτην τε (δὲ BD) δεῖ μίαν χρῆσιν ἔχειν ΘΠ ‖ 13 τῷ γνωμολογεῖν Θ (pr. Y^b) E Ald. ‖ ποιοῦσι C ‖ 14 οἱ ante λόγοι om. ΘΠ ‖ ἐν οἷς ΘBDE ‖ 15 αἱ γὰρ γνῶμαι Θ (pr. Y^b) BDE ‖ 16 προαιρετῶν Θ (pr. Y^b) DE Tr. ‖ 18 ταύτης A^c Spengel, αὐτῆς cet. Ald.

Digitized by Google

της καὶ πῶς χρηστέον αὐτῇ καὶ τίνα ὠφέλειαν ἔχει, εἰρήσθω ταῦτα· περὶ δ' ἐνθυμημάτων καθόλου τε εἴπωμεν, 20
22 *τίνα τρόπον δεῖ ζητεῖν, καὶ μετὰ ταῦτα τοὺς τόπους· ἄλλο γὰρ εἶδος ἑκάτερον τούτων ἐστίν. ὅτι μὲν οὖν τὸ ἐνθύμημα συλλογισμός ἐστιν, εἴρηται πρότερον, καὶ πῶς συλλογισμός, καὶ τί διαφέρει τῶν διαλεκτικῶν· οὔτε γὰρ πόρρωθεν οὔτε πάντα δεῖ λαμβάνοντας συνάγειν· τὸ μὲν γὰρ* 25
ἀσαφὲς διὰ τὸ μῆκος, τὸ δὲ ἀδολεσχία διὰ τὸ φανερὰ λέγειν. τοῦτο γὰρ αἴτιον καὶ τοῦ πιθανωτέρους εἶναι τοὺς ἀπαιδεύτους τῶν πεπαιδευμένων ἐν τοῖς ὄχλοις, ὥσπερ φασὶν οἱ ποιηταὶ τοὺς ἀπαιδεύτους παρ' ὄχλῳ μουσικωτέρους λέγειν· οἱ μὲν γὰρ τὰ κοινὰ καὶ καθόλου λέγουσιν, οἱ δ' 30
ἐξ ὧν ἴσασι, καὶ τὰ ἐγγύς· ὥστ' οὐκ ἐξ ἁπάντων τῶν δοκούντων ἀλλ' ἐκ τῶν ὡρισμένων λεκτέον, οἷον ἢ τοῖς κρίνουσιν ἢ οὓς ἀποδέχονται, καὶ τοῦτο δὴ ὅτι οὕτως 1396a
φαίνεται, δῆλον εἶναι ἅπασιν ἢ τοῖς πλείστοις, καὶ μὴ μόνον συνάγειν ἐκ τῶν ἀναγκαίων, ἀλλὰ καὶ ἐκ τῶν ὡς ἐπὶ τὸ πολύ.

πρῶτον μὲν οὖν δεῖ λαβεῖν ὅτι περὶ οὗ δεῖ λέγειν καὶ συλλογίζεσθαι εἴτε πολιτικῷ συλλογισμῷ εἴθ' ὁποιῳοῦν, 5
ἀναγκαῖον καὶ τὰ τούτῳ ἔχειν ὑπάρχοντα, ἢ πάντα ἢ ἔνια· μηδὲν γὰρ ἔχων ἐξ οὐδενὸς ἂν ἔχοις συνάγειν. λέγω δ' οἷον πῶς ἂν δυναίμεθα συμβουλεύειν Ἀθηναίοις εἰ πολε-

19 *πῶς χρηστέον αὐτῇ* A^{c}Tr., *πῶς*] *πότε* ΘBCAld., *αὐταῖς* *ΘΠ* ‖ *τίνας ὠφελείας* Tr. ‖ 20 *ταῦτα* Spengel ex Tr. et A^c pr., sed rec. man. emendavit *τοσαῦτα*, quod habent *ΘΠ*Ald. ‖ 22 *ἑκάτερον* A^{c}Spengel, *ἑκατέρου* cet. ‖ 23 *συλλογισμός τις ΘΠ* Tr., *τις* om. A^c Spengel, cf. 1356b, 3 et 1400b, 37 ‖ 25 *λαμβάνοντα ΘΠ* ‖ 27 *καὶ τὸ* Z^{b}BE ‖ 29 *οἱ ποιηταί φασιν ΘΠ* ‖ *μουσικωτέρους* ex codd. (A^c) Vict., *μουσικωτέρως* Θ (pr. Y^b) Tr., *μουσικώτερον* E ‖ 30 *τὰ καθόλου* ΘBDE ‖ 33 *κρίνουσιν* A^c, *κρινοῦσιν* Θ(?) ‖ 1396a, 1 *δὴ* CTr.A^c Spengel, sed emendavit in A^c rec. man. *δὲ*, quod habent ceteri omnes ‖ 2 *ἢ πᾶσιν ΘΠ* ‖ 6 *κατὰ τούτου ἔχειν τὰ ὑπάρχοντα ΘΠ*Tr.Ald. ‖ 8 *ξυμβουλεύειν* A^c.

Digitized by Google

μητέον [ἢ μὴ πολεμητέον] μὴ ἔχοντες τίς ἡ δύναμις αὐτῶν,
10 πότερον ναυτικὴ ἢ πεζικὴ ἢ ἄμφω, καὶ αὕτη πόση, καὶ πρόσοδοι τίνες ἢ φίλοι καὶ ἐχθροί, ἔτι δὲ τίνας πολέμους πεπολεμήκασι καὶ πῶς, καὶ τἆλλα τὰ τοιαῦτα· ἢ ἐπαινεῖν, εἰ μὴ ἔχοιμεν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ἢ τὴν ἐν Μαραθῶνι μάχην ἢ τὰ ὑπὲρ τῶν Ἡρακλειδῶν πραχθέντα ἢ
15 ἄλλο τι τῶν τοιούτων. ἐκ γὰρ τῶν ὑπαρχόντων ἢ δοκούντων ὑπάρχειν καλῶν ἐπαινοῦσι πάντες. ὁμοίως δὲ καὶ ψέγουσιν ἐκ τῶν ἐναντίων, σκοποῦντες τί ὑπάρχει τοιοῦτον αὐτοῖς ἢ δοκεῖ ὑπάρχειν, οἷον ὅτι τοὺς Ἕλληνας κατεδουλώσαντο, καὶ τοὺς πρὸς τὸν βάρβαρον ἀριστεύσαντας καὶ
20 συμμαχεσαμένους ἠνδραποδίσαντο, Αἰγινήτας καὶ Ποτιδαιάτας καὶ ὅσα ἄλλα τοιαῦτα, καὶ εἴ τι ἄλλο τοιοῦτον ἁμάρτημα ὑπάρχει αὐτοῖς. ὡς δ' αὕτως καὶ οἱ κατηγοροῦντες καὶ οἱ ἀπολογούμενοι ἐκ τῶν ὑπαρχόντων σκοποῦμενοι κατηγοροῦσι καὶ ἀπολογοῦνται. οὐδὲν δὲ διαφέρει περὶ
25 Ἀθηναίων ἢ Λακεδαιμονίων ἢ ἀνθρώπου ἢ θεοῦ τὸ αὐτὸ τοῦτο δρᾶν· καὶ γὰρ συμβουλεύοντα τῷ Ἀχιλλεῖ καὶ ἐπαινοῦντα καὶ ψέγοντα καὶ κατηγοροῦντα καὶ ἀπολογούμενον ὑπὲρ αὐτοῦ τὰ ὑπάρχοντα ἢ δοκοῦντα ὑπάρχειν ληπτέον, ἵν' ἐκ τούτων λέγωμεν ἐπαινοῦντες ἢ ψέγοντες εἴ τι καλὸν

9 ἢ μὴ πολεμητέον om. A^cTr., secl. Gaisford, tuetur Spengel, cf. infra 32 et 1376 a, 14. 1401 b, 5, cf. Mus. Rhen. N. F. XXXIX pag. 507 ‖ ἡ om. ΘΠ Ald. ‖ 10 πεζὴ proposuit Spengel ‖ 11 ἔτι δέ] εἴτε τίνας A^c, unde εἶτα τίνας dubitantur coni. Spengel ‖ 12 καὶ ἐπαινεῖν ΘΠTr. ‖ 13 ἢ μὴ A^c pr., rec. man. emendavit εἰ ‖ 14 πραχθέντα A^c rec. man., λεχθέντα A^c pr. et λεχθέντα tuetur Spengel ‖ 15 ἄλλο τι τῶν τοιούτων ex A^c et Tr. Vict., ἢ τῶν ἄλλων τινῶν τοιούτων ΘΠ ‖ 18 ὑπάρχειν om. ΘΠ Ald. ‖ 19 Sic A^c Spengel, συμμαχεσαμένους καὶ ἀριστεύσαντας ΘΠTr. Ald. ‖ 21 ἁμάρτημα τοιοῦτον ΘBCE. Totum membrum καὶ εἴ τι . . ὑπάρχει αὐτοῖς om. Tr. (cod. M), alterum καὶ delendum censet Spengel (vix recte) ‖ 25 περὶ Λακεδαιμονίων καὶ Ἀθηναίων A^cTr. ‖ ἀνθρώπους ἢ θεοὺς A^c pr., rec. man. delevit ς et accentum θεοῦ correxit ‖ 27 καὶ κατηγοροῦντα om. A^cQ ‖ 29 καλὸν ὑπάρχει, ἢ αἰσχρόν ΘΠ.

Digitized by Google

ἢ αἰσχρὸν ὑπάρχει, κατηγοροῦντες δ' ἢ ἀπολογούμενοι εἴ 30
τι δίκαιον ἢ ἄδικον, συμβουλεύοντες δ' εἴ τι συμφέρον ἢ
βλαβερόν. ὁμοίως δὲ τούτοις καὶ περὶ πράγματος ὁτουοῦν,
οἷον περὶ δικαιοσύνης, εἰ ἀγαθὸν [ἢ μὴ ἀγαθὸν] ἐκ τῶν
ὑπαρχόντων τῇ δικαιοσύνῃ καὶ τῷ ἀγαθῷ, ὥστ' ἐπειδὴ
καὶ πάντες οὕτω φαίνονται ἀποδεικνύντες, ἐάν τε ἀκριβέ-
στερον ἐάν τε μαλακώτερον συλλογίζωνται· (οὐ γὰρ ἐξ ἁπάν- 1396b
των λαμβάνουσιν ἀλλ' ἐκ τῶν περὶ ἕκαστον ὑπαρχόντων),
καὶ διὰ τοῦ λόγου δῆλον ὅτι ἀδύνατον ἄλλως δεικνύναι,
φανερὸν ὅτι ἀναγκαῖον, ὥσπερ ἐν τοῖς τοπικοῖς, πρῶτον
περὶ ἕκαστον ἔχειν ἐξειλεγμένα περὶ τῶν ἐνδεχομένων καὶ 5
τῶν ἐπικαιροτάτων, περὶ δὲ τῶν ἐξ ὑπογυίου γιγνομένων
ζητεῖν τὸν αὐτὸν τρόπον, ἀποβλέποντα μὴ εἰς ἀόριστα ἀλλ'
εἰς τὰ ὑπάρχοντα περὶ ὧν ὁ λόγος, καὶ περιγράφοντας ὅτι
πλεῖστα καὶ ἐγγύτατα τοῦ πράγματος· ὅσῳ μὲν γὰρ ἂν
πλείω ἔχῃ τῶν ὑπαρχόντων, τοσούτῳ ῥᾷον δεικνύναι, ὅσῳ 10
δ' ἐγγύτερον, τοσούτῳ οἰκειότερα καὶ ἧττον κοινά. λέγω
δὲ κοινὰ μὲν τὸ ἐπαινεῖν τὸν Ἀχιλλέα ὅτι ἄνθρωπος καὶ
ὅτι τῶν ἡμιθέων καὶ ὅτι ἐπὶ τὸ Ἴλιον ἐστρατεύσατο· ταῦτα
γὰρ καὶ ἄλλοις ὑπάρχει πολλοῖς, ὥστε οὐδὲν μᾶλλον ὁ τοι-

31 *δίκαιον ὑπάρχει ἢ ΘΠ*, *ὑπάρχει* om. A^c Tr. Vict. ‖ *εἰ συμφέρον εἰ* A^c pr., sed rec. man. emendavit *ἢ*, ead. man. addidit *τι* supra lineam, quod vix abesse potest ‖ post *συμφέρον* addunt *ὑπάρχει* Y^b C B ‖ 33 *ἢ μὴ ἀγαθὸν* om. A^c Tr, secl. Gaisford, tuetur Spengel, cf. supra 9 ‖ 34 *ἢ τῷ ἀγαθῷ* Θ B D E ‖ *ὥστ'* ex codd. (A^c) addidit Vict., om. *ΘΠ* Tr. ‖ 35 *οἱ πάντες* A^c (*ἅπαντες*? Spengel) ‖ 1396b, 3 *καὶ διὰ τοῦ λόγου· δῆλον γὰρ ὅτι ΘΠ* Tr. ‖ 4 *φανερὸν οὖν* D Ald. ‖ 5 *περὶ ἕκαστον* in versione om. Muretus; *περὶ* ante *ἐνδεχομένων* melius abesse censet Spengel ‖ 8 *ἀλλ' εἰς τὰ ὑπάρχοντα* A^c Tr., *ἀλλὰ τὰ ὑπάρχοντα ΘΠ* Ald. ‖ *περιγράφοντας* A^c B D Bekker, *περιγράφοντα* cet. Spengel ‖ *ὅτι πλεῖστα καὶ ἐγγύτατα* A^c Vict., *τὰ πλεῖστα καὶ ἐγγυτάτω ΘΠ* ‖ 10 *ἔχῃ* ex A^c et Tr. Spengel, *ἔχηται ΘΠ* Ald. ‖ *ῥᾴδιον ΘΠ* ‖ 11 *ἐγγυτέρω* Y^b B ‖ *καὶ ἧττον κοινά* A^c pr., sed rec. man. verba delevit et ante *τοσούτῳ* superscr.: *ἐγγύτερον ἢ ἧττον κοινά τοσούτῳ οἰκειότερα* ‖ *τοσοῦτον* E Z^b ‖ *λέγομεν δὲ κοινὰ τὸ ΘΠ* Ald. ‖ 13 *εἰς τὸ Ἴλιον ΘΠ*, cf. variet. ad 1395a, 13.

Digitized by Google

15 οὗτος τὸν Ἀχιλλέα ἐπαινεῖ ἢ Διομήδην· ἴδια δὲ ἃ μηδενὶ ἄλλῳ συμβέβηκεν ἢ τῷ Ἀχιλλεῖ, οἷον τὸ ἀποκτεῖναι τὸν Ἕκτορα τὸν ἄριστον τῶν Τρώων καὶ τὸν Κύκνον, ὃς ἐκώλυσεν ἅπαντας ἀποβαίνειν ἄτρωτος ὤν, καὶ ὅτι νεώτατος καὶ οὐκ ἔνορκος ὢν ἐστράτευσεν, καὶ ὅσα ἄλλα τοιαῦτα.

20 εἷς μὲν οὖν τρόπος τῆς ἐκλογῆς πρῶτος οὗτος ὁ τοπικός, τὰ δὲ στοιχεῖα τῶν ἐνθυμημάτων λέγωμεν· στοιχεῖον δὲ λέγω καὶ τόπον ἐνθυμήματος τὸ αὐτό. πρῶτον δὲ εἴπωμεν περὶ ὧν ἀναγκαῖον εἰπεῖν πρῶτον. ἔστιν γὰρ τῶν ἐνθυμημάτων εἴδη δύο· τὰ μὲν γὰρ δεικτικά ἐστιν

25 ὅτι ἔστιν ἢ οὐκ ἔστιν, τὰ δ' ἐλεγκτικά, καὶ διαφέρει ὥσπερ ἐν τοῖς διαλεκτικοῖς ἔλεγχος καὶ συλλογισμός. ἔστι δὲ τὸ μὲν δεικτικὸν ἐνθύμημα τὸ ἐξ ὁμολογουμένων συνάγειν, τὸ δὲ ἐλεγκτικὸν τὰ ἀνομολογούμενα συνάγειν. σχεδὸν μὲν οὖν ἡμῖν περὶ ἕκαστον τῶν εἰδῶν τῶν χρησίμων καὶ

30 ἀναγκαίων ἔχονται οἱ τόποι· ἐξειλεγμέναι γὰρ αἱ προτάσεις περὶ ἑκαστόν εἰσιν, ὥστε ἐξ ὧν δεῖ φέρειν τὰ ἐνθυμήματα τόπων περὶ ἀγαθοῦ ἢ κακοῦ ἢ καλοῦ ἢ αἰσχροῦ ἢ δικαίου

15 τὸν ante Ἀχιλλέα om. ΘΠ ‖ διομήδη A^c D, cf. 1398 b, 31 ‖ 17 ἐκώλυεν ΘΠ ‖ 20 τόπος A^c D, quod probavit Vict., τρόπος ex ceteris receperunt Bekker Spengel alii ‖ καὶ πρῶτος οὗτος ΘΠ Tr., καὶ om. A^c Spengel ‖ τοπικὸς] τόπος Q ‖ εἷς μὲν οὖν τῆς ἐκλογῆς καὶ πρῶτος οὗτος ὁ τρόπος coni. Muretus, εἷς μὲν οὖν τρόπος πρῶτος οὗτος, τὰ δὲ στοιχεῖα coni. Spengel ‖ 22 τὸν αὐτὸν A^c pr., rec. man. emendavit τὸ αὐτό ‖ 24 δύο εἴδη ΘΠ ‖ 27 Ante ἐξ deletae duae litterae A^c ‖ 28 τὸ τὰ ΘΠ ‖ 29 ἕκαστον Tr. Vict. alii, ἑκάστων A^c C, ἕκαστα ceteri ‖ 30 περὶ ἕκαστον αἱ προτάσεις ΘΠ Ald. ‖ 32 ἀγαθοῦ ἢ αἰσχροῦ ἢ κακοῦ ἢ δικαίου A^c ‖ Totum locum tamquam luculentissimum testem ordinis in his libris recte servati et ipsius sententiae cap. XVIII prolatae plane contrarium assentiente Vahlenio sic refingere conatus est Spengel: ἐξειλεγμέναι . . ἕκαστον (εἰσὶν?), ἐξ ὧν δεῖ φέρειν τὰ ἐνθυμήματα τόπων περὶ ἀγαθοῦ . . ἢ ἀδίκου. ἔτι δὲ ἄλλον τρόπον, vel si particula ὥστε sana est ἕκαστον, ὥστε ἐξ ὧν . . . ἀδίκου ἡμῖν ὑπάρχουσι sive addito sive neglecto εἰλημμένοι. Cf. comment. acad. p. 37; Vahlen, comment. acad. p. 75.

Digitized by Google

ἢ ἀδίκου, καὶ περὶ τῶν ἠθῶν καὶ παθημάτων καὶ ἕξεων ὡσαύτως εἰλημμένοι ἡμῖν ὑπάρχουσι πρότερον οἱ τόποι. ἔτι δὲ ἄλλον τρόπον καθόλου περὶ ἁπάντων λάβωμεν, καὶ 1397a λέγωμεν παρασημαινόμενοι τοὺς ἐλεγκτικοὺς καὶ τοὺς ἀποδεικτικοὺς καὶ τοὺς τῶν φαινομένων ἐνθυμημάτων, οὐκ ὄντων δὲ ἐνθυμημάτων, ἐπεί περ οὐδὲ συλλογισμῶν. δηλωθέντων δὲ τούτων περὶ τῶν λύσεων καὶ ἐνστάσεων διορί- 5 σωμεν, πόθεν δεῖ πρὸς τὰ ἐνθυμήματα φέρειν.

(I) ἔστι δὲ εἷς μὲν τόπος τῶν δεικτικῶν ἐκ τῶν ἐναν- 23 τίων· δεῖ γὰρ σκοπεῖν εἰ τῷ ἐναντίῳ τὸ ἐναντίον ὑπάρχει, ἀναιροῦντα μὲν εἰ μὴ ὑπάρχει, κατασκευάζοντα δὲ εἰ ὑπάρχει, οἷον ὅτι τὸ σωφρονεῖν ἀγαθόν· τὸ γὰρ ἀκολασταί- 10 νειν βλαβερόν. ἢ ὡς ἐν τῷ Μεσσηνιακῷ· εἰ γὰρ ὁ πόλεμος αἴτιος τῶν παρόντων κακῶν, μετὰ τῆς εἰρήνης δεῖ ἐπανορθώσασθαι.

εἴ περ γὰρ οὐδὲ τοῖς κακῶς δεδρακόσιν
ἀκουσίως δίκαιον εἰς ὀργὴν πεσεῖν,

33 ἠθῶν καὶ παθημάτων] ἰδικῶν παθημάτων ΘΠ Ald., εἰδικῶν παθ. defendit Muretus ‖ ἕξεων] ἐξ ὧν ΘBDE Ald. ‖ 34 εἰλημμένοι corr. rec. man. A° ‖ 1397a, 1 πάντων ΘΠ ‖ 2 τούς τε ἐλεγκτικούς ΘBC ‖ ἀποδεικτικούς ex codd. (A°) Vict., δεικτικούς DE ‖ 3 ὄντων δ' οὐκ ἐνθυμημάτων ΘΠ ‖ 6 πρὸς ex codd. (A°) et Tr. addidit Vict., om. ΘCDE ‖ Cap. XXIII. Non pauca sunt, quae in hac perdifficili κοινῶν ἐνθυμημάτων tractatione scrupulum iniciant. Hunc vel illum locum ex Aristotelis consilio vix recte insertum esse iam monuit Spengelius commentar. p. 289. Praeterea me offendit maxime, quod ab Aristotele alii τόποι exemplis egregiis ab oratoribus vel poetis vel aliunde petitis satis superque declarantur, alii aut omnino non aut brevissime illustrantur. Nec tamen multa lacunarum vestigia hodie apparent in codd. Cf. adnot. 1398b, 17. 1400a, 3. 1400b, 24 ‖ 8 ὑπάρχει om. ΘΠ ‖ 9 ἀναιροῦντα et κατασκευάζοντα ex codd. (A°) Vict., ἀναιροῦντι et κατασκευάζοντι DE ‖ 11 ἢ om. QE, ὡς om. Y^bZ^bBCD Tr. ‖ μεσηνιακῷ Θ ‖ ἃ γὰρ A° ‖ 13 ἐπεὶ γὰρ Elmsley ad. Med. 87 ‖ πεπραχόσιν A°pr., sed emendavit rec. man. δεδρακόσιν ‖ 14 πεσεῖν A°, πίπτειν ΘΠ, unde πίτνειν Vict. et Elmsley.

Digitized by Google

15 οὐδ' ἂν ἀναγκασθείς τις εὖ δράσῃ τινά,
προσῆκον εἶναι τῷδ' ὀφείλεσθαι χάριν.
ἀλλ' εἴ περ ἔστιν ἐν βροτοῖς ψευδηγορεῖν
πιθανά, νομίζειν χρή σε καὶ τοὐναντίον,
ἄπιστ' ἀληθῆ πολλὰ συμβαίνειν βροτοῖς.

20 (II) ἄλλος ἐκ τῶν ὁμοίων πτώσεων· ὁμοίως γὰρ δεῖ ὑπάρχειν ἢ μὴ ὑπάρχειν, οἷον ὅτι τὸ δίκαιον οὐ πᾶν ἀγαθόν· καὶ γὰρ ἂν τὸ δικαίως, νῦν δ' οὐχ αἱρετὸν τὸ δικαίως ἀποθανεῖν.

(III) ἄλλος ἐκ τῶν πρὸς ἄλληλα· εἰ γὰρ θατέρῳ ὑπάρχει τὸ καλῶς ἢ δικαίως ποιῆσαι, θατέρῳ τὸ πεπονθέναι, καὶ 25 εἰ κελεῦσαι, καὶ τὸ πεποιηκέναι, οἷον ὡς ὁ τελώνης Διομέδων περὶ τῶν τελῶν, εἰ γὰρ μηδ' ὑμῖν αἰσχρὸν τὸ πωλεῖν, οὐδ' ἡμῖν τὸ ὠνεῖσθαι. καὶ εἰ τῷ πεπονθότι τὸ καλῶς ἢ δικαίως ὑπάρχει, καὶ τῷ ποιήσαντι. ἔστι δ' ἐν τούτῳ παραλογίσασθαι· εἰ γὰρ δικαίως ἔπαθέν τι, [δικαίως 30 πέπονθεν,] ἀλλ' ἴσως οὐχ ὑπὸ σοῦ. διὸ δεῖ σκοπεῖν χωρὶς
1397 b εἰ ἄξιος ὁ παθὼν παθεῖν καὶ ὁ ποιήσας ποιῆσαι, εἶτα χρῆσθαι ὁποτέρως ἁρμόττει· ἐνίοτε γὰρ διαφωνεῖ τὸ τοιοῦτον καὶ οὐδὲν κωλύει, ὥσπερ ἐν τῷ Ἀλκμαίωνι τῷ Θεοδέκτου

15 οὐδ' εἰ γ' ἀναγκασθείς — δράσει ΘΠ ‖ 16 εἶναι A^c Spengel, ἐστι ΘΠTr. ‖ τῷδε A^c ‖ 17 ψευδήγερον A^c pr., rec. man. correxit ψευδηγορεῖν, quod etiam in C exstat ex corr. et primus dedit Vict., ψευδολογεῖν ΘBDE ‖ 18 πιθανόν ΘΠ ‖ χρή γε ΘΠ ‖ 19 συμβαίνει A^c (quod vix ineptum videtur cf. 1392 b, 8) ‖ 22 alt. τὸ om. ΘΠ ‖ 24 καὶ τὸ δικαίως ΘΠ ‖ 25 οἷον om. Q ‖ 26 περὶ τῶν τελωνῶν QBE Ald. ‖ 27 μηδ' ἡμῖν A^c ‖ 28 ἢ] καὶ ΘΠ ‖ ὑπάρχοι Y^b B ‖ καὶ πείσαντι ἢ ποιήσαντι A^c pr., rec. man. emendavit ex πείσαντι ποιήσαντι nec tamen verba, quae sequuntur ἢ ποιήσαντι delevit ‖ Post καὶ τῷ ποιήσαντι: καὶ εἰ τῷ ποιήσαντι, καὶ τῷ πεπονθότι ΘΠTr. Ald., quae optimo iure expunxit Spengel ‖ ἔστι δὲ τοῦτο A^c et Dionys., tuetur Spengel ‖ 29 δικαίως πέπονθεν eiecit Sauppe ‖ εἰ δικαίως ἔπαθεν ἄν, καὶ δικαίως ὑπὸ τούτου πέπονθεν Dionys. ‖ εἰ γὰρ δικαίως ἀπέθανεν, δικαίως πέπονθεν ΘΠTr. Ald. ‖ 30 χωρίς om. Y^b ‖ 1397 b, 2 χρήσασθαι ΘΠ ‖ ἂν ἁρμόττῃ ΘBE, ἂν ἁρμόττοι C, cf. variet. 1393 b, 6. 1397 b, 17 ‖ 3 Post κωλύει ras. supra lineam A^c ‖ ὥσπερ

Digitized by Google

μητέρα δὲ τὴν σὴν οὔ τις ἐστύγει βροτῶν;
φησὶ δ' ἀποκρινόμενος
ἀλλὰ διαλαβόντα χρὴ σκοπεῖν· 5
ἐρομένης δὲ τῆς Ἀλφεσιβοίας πῶς, ὑπολαβών φησιν
τὴν μὲν θανεῖν ἔκριναν, ἐμὲ δὲ μὴ κτανεῖν.
καὶ ἡ περὶ Δημοσθένους δίκη καὶ τῶν ἀποκτεινάντων Νικάνορα· ἐπεὶ γὰρ δικαίως ἐκρίθησαν ἀποκτεῖναι, δικαίως ἔδοξεν ἀποθανεῖν. καὶ περὶ τοῦ Θήβησιν ἀποθανόντος, περὶ οὗ κελεύει κρίνεσθαι εἰ δίκαιος ἦν ἀποθανεῖν, ὡς οὐκ 10 ἄδικον ὂν τὸ ἀποκτεῖναι τὸν δικαίως ἀποθανόντα.

(IV) ἄλλος ἐκ τοῦ μᾶλλον καὶ ἧττον, οἷον εἰ μηδ' οἱ θεοὶ πάντα ἴσασιν, σχολῇ οἵ γε ἄνθρωποι· τοῦτο γάρ ἐστιν, εἰ

ὁ rec. Y^b B C ‖ ἐν om. Θ (pr. Y^b) Π(?) Tr. ‖ ἀλκμέονι A^c ‖ 4—7 Poetae verba om. Dionysius ‖ οὗτος A^c pr., sed emendavit rec. man. οὔτις ‖ φησὶ δεῖ A^c pr., rec. man. δὲ ‖ 5 διαλαβόντας ΘBDE ‖ χρὴ om. ΘΠ Ald. ‖ ἀλλὰ διαλαβόντα τί ἐστι τὸ συμβαῖνον σκοπεῖν C ex scholio, ni fallor ‖ 6 τῆς Ἀλφεσιβοίας πρὸς οὓς Θ(pr. Y^b) D Ald. ‖ ὑπολαβών φησι om. Tr. ‖ 7 καὶ οἷον ἡ Δημοσθένους ΘΠ Tr. ‖ Νικόδημον pro Νικάνορα proposuit Sauppe ‖ 8 ἐπειδὴ γὰρ ΘBC ‖ 10 κελεύει κρίνεσθαι A^c Tr. Gaisford, ἐκέλευσε κρῖναι ΘΠ ‖ 11 ὂν τὸ om. ΘΠ ‖ Ceterum verba 7—11 suo loco mota, quamquam Dionysius eundem ordinem servavit, sic transponenda censuit Sauppe: εἰ γὰρ θατέρῳ ὑπάρχει τὸ καλῶς ἢ δικαίως ποιῆσαι, θατέρῳ τὸ πεπονθέναι, καὶ εἰ κελεῦσαι, καὶ τὸ πεποιηκέναι, οἷον ὡς ὁ τελώνης ..... τὸ ὠνεῖσθαι καὶ ἡ περὶ Δημοσθένους δίκη ..... ἔδοξεν ἀποθανεῖν, καὶ εἰ τῷ πεπονθότι τὸ καλῶς ἢ δικαίως ὑπάρχει, καὶ τῷ ποιήσαντι, οἷον περὶ τοῦ Θήβησιν ἀποθανόντος ..... ἀποθανόντα. ἔστι δὲ ἐν τούτῳ παραλογίσασθαι ... κτανεῖν (at haec duo exempla, quae arctissime cohaereant, minime possunt divelli). Spengelius contra: εἰ γὰρ θατέρῳ ὑπάρχει τὸ καλῶς ἢ δικαίως ποιῆσαι ..... πεπονθέναι ‖ καὶ εἰ τῷ πεπονθότι τὸ καλῶς ἢ δικαίως ὑπάρχει, καὶ τῷ ποιήσαντι ‖ καὶ εἰ κελεῦσαι ... ὠνεῖσθαι ‖ καὶ ἡ περὶ Δημοσθένους ... ἀποθανόντα. ἔστι δὲ τοῦτο ... κτανεῖν (at in hac transpositione unum me offendit; nam si talem ordinem servasset Aristot., vix verba proxime antecedentia τὸ καλῶς ἢ δικαίως alteri et statim adiuncto membro addidisset) ‖ 13 πάντα ex A^c Tr. Vict., πάντες ΘBCD ‖ σχολῇ οἵ γ' ἄνθρωποι codd. omnes, quos secutus sum, σχολῇ γε δ' ἄνθρωποι Bekker[3], Spengel ‖

Digitized by Google

ᾧ μᾶλλον ἂν ὑπάρχοι μὴ ὑπάρχει, δῆλον ὅτι οὐδ' ᾧ ἧττον.
15 τὸ δ' ὅτι τοὺς πλησίον τύπτει ὅς γε καὶ τὸν πατέρα [τύπτει, ἐκ τοῦ εἰ τὸ ἧττον ὑπάρχει, καὶ τὸ μᾶλλον ὑπάρχει, καθ' ὁπότερον ἂν δέῃ δεῖξαι,] τύπτει ⟨ἐκ τοῦ⟩ ὅτι εἰ τὸ ἧττον ὑπάρχει, καὶ τὸ μᾶλλον ὑπάρχει· τοὺς γὰρ πατέρας ἧττον τύπτουσιν ἢ τοὺς πλησίον. ἢ δὴ οὕτως ἢ εἰ ᾧ μᾶλλον ὑπάρχει, μὴ ὑπάρχει, ἢ ᾧ ἧττον εἰ ὑπάρχει, ὁπότε-

„quanto minus" (πόσῳ ἧττον οἱ ἄνθρωποι) Tr. ‖ 14 ἂν ὑπάρχῃ QB, μὴ ὑπάρχῃ A°B ‖ 15 Verba, quae sequuntur, sic leguntur ΘΠ Tr. Ald.: τὸ δ' ὅτι τοὺς πλησίον τύπτει, ὅς γε (γε om. Tr.) καὶ τὸν πατέρα ἐκ τοῦ εἰ τὸ ἧττον ὑπάρχει καὶ τὸ μᾶλλον ὑπάρχει, καθ' ὁπότερον ἂν δέῃ, δεῖξαι, εἶθ' ὅτι ὑπάρχει εἶθ' ὅτι οὔ· ἔτι εἰ μήτε μᾶλλον μήτε ἧττον. A° vero haec nobis verba exhibet, quae ut in codice leguntur, descripsi: τὸ δ' ὅτι τοὺς πλησίον τύπτει, ὅς γε καὶ τὸν πατέρα τύπτει ἐκ τοῦ ~~κατα~~ εἰ τὸ ἧττον ὑπάρχει, καὶ τὸ μᾶλλον ὑπάρχει (et εἰ et τὸ rec. man.) καθ' ὁπότερον ἂν δέῃ δεῖξαι τύπτει ὅτι εἰ τὸ ἧττον ὑπάρχει καὶ τὸ μᾶλλον ὑπάρχει τοὺς γὰρ πατέρας ἧττον τύπτουσιν ἢ τοὺς πλησίον ἢ δὴ οὕτως ἢ εἰ ᾧ μᾶλλον ὑπάρχει, μὴ ὑπάρχει ἢ ᾧ ἧττον εἰ ὑπάρχει, ὁποτέρον δεῖ δεῖξαι, εἶθ' ὅτι ὑπάρχει εἶθ' ὅτι οὔ. Is, qui verba diductis litteris expressa partim linea perducta partim eradendo delevit, totum locum sic legi vult: τὸ δ' ὅτι τοὺς πλησίον τύπτει, ὅς γε καὶ τὸν πατέρα τύπτει, ἐκ τοῦ εἰ τὸ ἧττον ὑπάρχει, καὶ τὸ μᾶλλον ὑπάρχει, καθ' ὁπότερον ἂν δέῃ, δεῖξαι ἢ δὴ οὕτως ἢ εἰ ᾧ μᾶλλον ὑπάρχει εἶθ' ὅτι ὑπάρχει εἶθ' ὅτι οὔ, unde rectum sensum elicere vix contigerit. Primum Spengelii acumen eiusdem sententiae duplicem formam perspexit et illustravit hoc modo:

τὸ δ' ὅτι τοὺς πλησίον τύπτει, ὅς γε καὶ τὸν πατέρα

τύπτει ἐκ τοῦ κατὰ τὸ ἧττον ὑπάρχει, καὶ μᾶλλον ὑπάρχει. καθ' ὁπότερον ἂν δέῃ, δεῖξαι	τύπτει, ὅτι εἰ τὸ ἧττον ὑπάρχει, καὶ τὸ μᾶλλον ὑπάρχει· τοὺς γὰρ πατέρας ἧττον τύπτουσιν ἢ τοὺς πλησίον. ἢ δὴ οὕτως ἢ εἰ ᾧ μᾶλλον ὑπάρχει, μὴ ὑπάρχει, ἢ ᾧ ἧττον ⟨ὑπάρχει⟩ εἰ ὑπάρχει, ὁπότερον δεῖ δεῖξαι,

εἶθ' ὅτι ὑπάρχει εἶθ' ὅτι οὔ

et ipse quidem longiorem sententiae formam, quae A° solus nobis servavit, ut veram demonstravit et amplexus est, Bekkerus[3] vero, Copeus alii breviorem in deterioribus conservatam probaverunt.

Digitized by Google

ρον δεῖ δεῖξαι, εἴθ' ὅτι ὑπάρχει εἴθ' ὅτι οὔ. ἔτι εἰ μήτε μᾶλλον μήτε ἧττον· ὅθεν εἴρηται

καὶ σὸς μὲν οἰκτρὸς παῖδας ἀπολέσας πατήρ·

Οἰνεὺς δ' ἄρ' οὐχὶ [τὸν Ἑλλάδος] κλεινὸν ἀπολέσας γόνον; 20

καὶ ὅτι, εἰ μηδὲ Θησεὺς ἠδίκησεν, οὐδ' Ἀλέξανδρος, καὶ εἰ μὴ οἱ Τυνδαρίδαι, οὐδ' Ἀλέξανδρος, καὶ εἰ Πάτροκλον Ἕκτωρ, καὶ Ἀχιλλέα Ἀλέξανδρος. καὶ εἰ μηδ' ἄλλοι τεχνῖται φαῦλοι, οὐδ' οἱ φιλόσοφοι. καὶ εἰ μηδ' οἱ στρατηγοὶ φαῦλοι ὅτι θανατοῦνται πολλάκις, οὐδ' οἱ σοφισταί. καὶ 25 ὅτι εἰ δεῖ τὸν ἰδιώτην τῆς ὑμετέρας δόξης ἐπιμελεῖσθαι, καὶ ὑμᾶς τῆς τῶν Ἑλλήνων.

(V) ἄλλος ἐκ τοῦ τὸν χρόνον σκοπεῖν, οἷον ὡς Ἰφικράτης ἐν τῇ πρὸς Ἁρμόδιον, ὅτι εἰ πρὶν ποιῆσαι ἠξίουν τῆς εἰκόνος τυχεῖν ἐὰν ποιήσω, ἔδοτε ἄν· ποιήσαντι δ' ἄρ' οὐ δώσετε; μὴ τοίνυν μέλλοντες μὲν ὑπισχνεῖσθε, παθόντες δ' ἀφαιρεῖσθε. 30 καὶ πάλιν πρὸς τὸ Θηβαίους διεῖναι Φίλιππον εἰς τὴν Ἀττικήν, ὅτι εἰ πρὶν βοηθῆσαι εἰς Φωκεῖς ἠξίου, ὑπέσχοντο ἄν· 1398a ἄτοπον οὖν εἰ διότι προεῖτο καὶ ἐπίστευσεν μὴ διήσουσιν.

19 παῖδας A^c pr., sed rec. man. eradendo emendavit παῖδ' ἀπολέσας ‖ „et tuus quidem hostis" (ἐχθρός?) Tr. ‖ 20 „meus ergo" (ἐμὸς δ' ἄρ') Tr. ‖ τὸν Ἑλλάδος delevit vir doctus in ed. Morel. apud Gaisford. ‖ κλεινότατον ΘΠ schol. Ald. ‖ 21 μὴ, δὲ Θησεὺς A^c, μὴ ΘBCE schol. ‖ 21 καὶ εἰ μὴ — 22 Ἀλέξανδρος om. ΘDE Ald. ‖ 22 μὴ ex A^c et Tr. cum Gaisfordio recepi, μηδ' BC Bekker^3 Spengel, cf. variet. ad 1392b, 5 et 32 ‖ καὶ εἰ Πάτροκλον — 23 Ἀλέξανδρος om. DE ‖ 23 καὶ εἰ ἀχιλλέα A^c pr., sed εἰ delevit man. rec. (cf. 1392b, 19?) ‖ οἱ ἄλλοι ΘΠ ‖ 25 θανατοῦνται A^c Spengel; quod vulgo receptum ἡττῶνται C ex corr. Tr. schol. ad h. l., θανοῦνται Y^bZ^bBD, ἀποθανοῦνται QE, ἡττακοῦνται p. apud Vict. ‖ 27 ἐκ τοῦ ex A^c Tr. Vict., εἰς τὸν ΘΠ ‖ οἷον om. ΘΠ, cf. 1397a, 26 ‖ 28 ἠξίουν A^c Vict., ἠξίου ΘΠ Tr. ‖ 29 ποιήσῃ ΘΠ A^c pr., rec. man. ibi emendavit ω, i. e. ποιήσω; cf. et variet. ad 1393b, 16 sqq. ‖ 30 ὑπισχνεῖσθαι et 31 ἀφαιρεῖσθαι A^c pr., corr. man. rec. ὑπισχνεῖσθε et ἀφαιρεῖσθε ‖ 31 πρὸς τὸ ex A^c Vict., πρὸς τοὺς ΘE ‖ δεῖ εἶναι A^c pr., rec. man. correxit διιέναι vel potius διεῖναι ‖ Φίλιππον διιέναι πρὸς τὴν ΘΠ Ald. ‖ 1398a, 2 μὴ διοίσουσιν QY^bE ‖ οὐ διδοῦσιν rec. Y^bB.

Digitized by Google

(VI) ἄλλος ἐκ τῶν εἰρημένων καθ' αὐτοὺς πρὸς τὸν εἰπόντα· διαφέρει δὲ ὁ τρόπος, οἷον ἐν τῷ Τεύκρῳ· ᾧ ἐχρήσατο Ἰφικράτης πρὸς Ἀριστοφῶντα, ἐπερόμενος εἰ προδοίη ἂν τὰς ναῦς ἐπὶ χρήμασιν· οὐ φάσκοντος δέ, εἶτα εἶπεν σὺ μὲν ὢν Ἀριστοφῶν οὐκ ἂν προδοίης, ἐγὼ δ' ὢν Ἰφικράτης; δεῖ δὲ ὑπάρχειν μᾶλλον ἂν δοκοῦντα ἀδικῆσαι ἐκεῖνον· εἰ δὲ μή, γελοῖον ἂν φανείη, εἰ πρὸς Ἀριστείδην κατηγοροῦντα τοῦτό τις ἂν εἴπειεν, ἀλλὰ πρὸς ἀπιστίαν τοῦ κατηγόρου· ὅλως γὰρ βούλεται ὁ κατηγορῶν βελτίων εἶναι τοῦ φεύγοντος· τοῦτ' οὖν ἐξελέγχειν ἀεί. καθόλου δὲ ἄτοπός ἐστιν, ὅταν τις ἐπιτιμᾷ ἄλλοις ἃ αὐτὸς ποιεῖ ἢ ποιήσειεν ἄν, ἢ προτρέπῃ ποιεῖν ἃ αὐτὸς μὴ ποιεῖ μηδὲ ποιήσειεν ἄν.

(VII) ἄλλος ἐξ ὁρισμοῦ, οἷον τί τὸ δαιμόνιον ἐστίν;

3 ἐκ τῶν ἠρημένων πρὸς τὸν εἰπόντα satis infeliciter coni. Spengel, καθ' αὐτῶν anonymus in ed. Morel. apud Gaisford., κατ' αὐτοὺς equidem malim cum Spengelio ‖ 4 ὁ τόπος interpretatur Vict., vertit Muretus, οὗτος ὁ τρόπος schol. ad h. l., qui memorabilem huius loci interpretationem excogitavit. Idem verba διαφέρει δὲ οὗτος ὁ τρόπος post Iphicratis responsum legit, ubi pergit δεῖ γὰρ ὑπάρχειν ...., et οἷον ἐν τῷ Τεύκρῳ post ἀλλὰ πρὸς ἀπιστίαν τοῦ κατηγόρου invenisse videtur ‖ Post Τεύκρῳ καὶ inserendum putavit Anonymus apud Gaisford., quod probavit Ussing. Certe melius esset: ᾧ ἐχρήσατο καὶ Ἰφικράτης ‖ ᾧ ex A^c Vict., om. ΘBDE ‖ 5 πρὸς τὸν ΘBE | τὸν Ἀντιφῶντα C cum schol. ad h. l. ‖ 6 εἶπεν om. ΘΠ Ald. ‖ 7 Ἀριστοφῶν ὤν ΘΠ ‖ οὐ προδοίης A^c (quod fort. ferri potest ex superioribus subaudita particula ἄν) ‖ 8 ἀδικήσειν ΘBCD ‖ 9 εἰ δ' οὐ ΘΠ schol. ‖ φανείη· καὶ πρὸς Ἀριστείδην .... τοῦτ' οὔτις ἂν εἴπειεν coni. Ussing (at οὐδεὶς vel οὐθεὶς dixisset Aristoteles) ‖ 10 εἴποιεν ΘΠ ‖ 12 καὶ τοῦτο οὖν C, τοῦτον οὖν Tr. ‖ ἐξελέγχειν ἂν B ‖ ἀεὶ om. ΘDETr. ‖ ἀεὶ δεῖ C et schol. Pro ἀεὶ δεῖ Muretus, Rassow, Vahlen, ἀλλὰ πρὸς ἀπιστίαν τοῦ κατηγόρου (ὅλως γὰρ βούλεται ὁ κατηγορῶν βελτίων εἶναι τοῦ φεύγοντος) τοῦτ' ἐξελέγχειν δεῖ Thurot ‖ 13 ἄτοπος ex A^c Vict., οὗτος ὁ τόπος QTr., ὁ τόπος οὗτος Y^b Z^b DE(?), δὲ οὗτος ἄτοπος C ‖ μὴ ποιεῖ ἢ μὴ ποιήσειεν ἄν ΘΠ Tr. Ald. ‖ 14 προτρέποι A^c C, προτρέπει Y^b Z^b ‖ ἢ μὴ ποιήσειεν ἄν ΘΠ Ald. ‖ 15 τί A^c pr., rec. man. correxit ὅτι.

Digitized by Google

ἄρ' οὐ θεὸς ἢ θεοῦ ἔργον; καίτοι ὅς τις οἴεται θεοῦ ἔργον εἶναι, τοῦτον ἀνάγκη οἴεσθαι καὶ θεοὺς εἶναι. καὶ ὡς ὁ Ἰφικράτης, ὅτι γενναιότατος ὁ βέλτιστος· καὶ γὰρ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι οὐδὲν πρότερον ὑπῆρχεν γενναῖον πρὶν γενναῖόν τι πρᾶξαι. καὶ ὅτι συγγενέστερος αὐτός· τὰ γοῦν ἔργα συγγενέστερά ἐστι τὰ ἐμὰ τοῖς Ἁρμοδίου καὶ Ἀριστογείτονος ἢ τὰ σά. καὶ ὡς ἐν τῷ Ἀλεξάνδρῳ, ὅτι πάντες ἂν ὁμολογήσειαν τοὺς μὴ κοσμίους οὐχ ἑνὸς σώματος ἀγαπᾶν ἀπόλαυσιν. καὶ δι' ὃ Σωκράτης οὐκ ἔφη βαδίζειν ὡς Ἀρχέλαον· ὕβριν γὰρ ἔφη εἶναι τὸ μὴ δύνασθαι ἀμύνασθαι ὁμοίως καὶ εὖ παθόντας ὥσπερ καὶ κακῶς. πάντες γὰρ οὗτοι ὁρισάμενοι καὶ λαβόντες τὸ τί ἐστι, συλλογίζονται περὶ ὧν λέγουσιν.

(VIII) ἄλλος ἐκ τοῦ ποσαχῶς, οἷον ἐν τοῖς τοπικοῖς περὶ τοῦ ὀρθῶς.

(IX) ἄλλος ἐκ διαιρέσεως, οἷον εἰ πάντες τριῶν ἕνεκεν ἀδικοῦσιν· ἢ τοῦδε γὰρ ἕνεκα ἢ τοῦδε ἢ τοῦδε· καὶ διὰ μὲν τὰ δύο ἀδύνατον, διὰ δὲ τὸ τρίτον οὐδ' αὐτοί φασιν.

(X) ἄλλος ἐξ ἐπαγωγῆς, οἷον ἐκ τῆς Πεπαρηθίας, ὅτι περὶ τῶν τέκνων αἱ γυναῖκες πανταχοῦ διορίζουσι τἀληθές· τοῦτο 1398b μὲν γὰρ Ἀθήνησι Μαντίᾳ τῷ ῥήτορι ἀμφισβητοῦντι πρὸς τὸν

16 ἄρα A^c pr., rec. man. correxit ἄρ ἢ (?), ἄρ' οὐ coni. Spengel, quod recepi, ὅτι τὸ δαιμόνιον οὐδέν ἐστιν ἀλλ' ἢ θεὸς ἢ θεοῦ ἔργον ΘΠ Tr. Ald. ‖ 17 ὁ om. ΘΠ cf. 1399a, 33 ‖ 21 τῶν Ἁρμοδίου ΘΠ ‖ „et quod generosior ipse (γενναιότερος αὐτὸς). opera enim generosiora sunt (γενναιότερα) quae mea, quam quae (ἢ τὰ vel τῶν?) Harmodii et Aristogitonis aut quam quae tua" Tr (?) ‖ 22 ὁμολογήσαιμεν ΘΠ ‖ 24 ὡς ex A^c Vict., εἰς E ‖ 26 εὖ παθόντας A^c C Spengel, εὖ παθόντα ΘBDE Tr. Ald., utrumque καὶ om. ΘΠ Ald. ‖ 27 τὸ om. ΘBCD ‖ 28 περὶ τοῦ ὀρθῶς in versione om. Muretus, περὶ τούτου ὀρθῶς εἴρηται Robortelli et Riccobonus, περὶ τοῦ εἰ ὀρθῶς Brandis. En Copei acumen, qui interpretatur: οἷον ἐν τοῖς τοπικοῖς (λέλεκται vel διώρισται) περὶ τοῦ ὀρθῶς (scl. χρῆσθαι αὐτῷ). Totum locum om. Q ‖ 33 ἐκ τῆς ἐπαγωγῆς ΘΠ Ald.

Digitized by Google

υἱὸν ἀπέφηνεν ἡ μήτηρ, τοῦτο δὲ Θήβησιν Ἰσμηνίου καὶ Στίλβωνος ἀμφισβητούντων ἡ Δωδωνὶς ἀπέδειξεν Ἰσμηνίου τὸν
5 υἱόν, καὶ διὰ τοῦτο Θετταλίσκον Ἰσμηνίου ἐνόμιζον. καὶ πάλιν ἐκ τοῦ νόμου τοῦ Θεοδέκτου, εἰ τοῖς κακῶς ἐπιμεληθεῖσι τῶν ἀλλοτρίων ἵππων οὐ παραδιδόασι τοὺς οἰκείους, οὐδὲ τοῖς ἀνατρέψασι τὰς ἀλλοτρίας ναῦς· οὐκοῦν εἰ ὁμοίως ἐφ' ἁπάντων, καὶ τοῖς κακῶς φυλάξασι τὴν ἀλλοτρίαν οὐ
10 χρηστέον ἐστὶν εἰς τὴν οἰκείαν σωτηρίαν. καὶ ὡς Ἀλκιδάμας, ὅτι πάντες τοὺς σοφοὺς τιμῶσιν· Πάριοι γοῦν Ἀρχίλοχον καίπερ βλάσφημον ὄντα τετιμήκασι, καὶ Χῖοι Ὅμηρον οὐκ ὄντα πολίτην, καὶ Μυτιληναῖοι Σαπφῶ καίπερ γυναῖκα οὖσαν, καὶ Λακεδαιμόνιοι Χίλωνα καὶ τῶν
15 γερόντων ἐποίησαν ἥκιστα φιλόλογοι ὄντες, καὶ Ἰταλιῶται Πυθαγόραν, καὶ Λαμψακηνοὶ Ἀναξαγόραν ξένον ὄντα ἔθαψαν καὶ τιμῶσι ἔτι καὶ νῦν... ὅτι Ἀθηναῖοι τοῖς Σόλωνος νόμοις χρησάμενοι εὐδαιμόνησαν καὶ Λακεδαιμόνιοι τοῖς Λυκούργου, καὶ Θήβησιν ἅμα οἱ προστάται φιλόσοφοι ἐγένοντο καὶ εὐδαιμόνησεν ἡ πόλις.

20 (XI) ἄλλος ἐκ κρίσεως περὶ τοῦ αὐτοῦ ἢ ὁμοίου ἢ ἐναντίου, μάλιστα μὲν εἰ πάντες καὶ ἀεί, εἰ δὲ μή, ἀλλ' οἵ γε πλεῖστοι, ἢ

1398b, 3 ἡ μήτηρ ἀπέφηνεν ΘΠ ‖ 4 δαδμονίς A^c (? ‖ 6 εἰ] ὅτι ΘΠ ‖ 8 ἀναστρέψασι Y^b Z^b A^c pr., sed in A^c σ delevit man. rec. ‖ Post ναῦς τὰς οἰκείας legit schol. et inserendum putavit Anonymus Litt. Centralblatt 1854 p. 12 ‖ 9 ἐφ' om. A^c pr., sed supra lineam addidit man. rec. ‖ 10 ἐστὶν om. ΘBCE | οἰκίαν A^c pr., emendavit man. rec. εἶαν ‖ ἄλκιδαμος A^c ‖ 11 Post τιμῶσι addunt περὶ ὁτουοῦν ΘBCE Tr., quem librariorum lapsum acutissime explanavit Vict. ‖ 12 βλάσφημον ὄντα ex A^c et Tr. Vict., βλασφημήσαντα ΘΠ ‖ 13 πολιτικὸν A^c pr., emendavit man. rec. πολίτην ‖ Μιτυληναῖοι ΘΠ ‖ 14 οὖσαν γυναῖκα ΘΠ ‖ χείλωνα A^c ‖ καὶ τῶν γερόντων recte ex A^c Spengel, καὶ om. ΘΠ Ald. ‖ 17 Lacunam indicavit Vahlen, νῦν ὅτι A^c pr., pro ὅτι correxit man. rec. καὶ, quod habent ΘΠ Tr. Ald. ‖ 18 χρησάμενοι νόμοις ΘΠ ‖ 19 ἐγένοντο ex A^c et Tr. Vict., ἐλέγοντο ΘΠ ‖ 21 ἄλλοιγε A^c pr., emendavit rec. man. ἀλλ' οἵ γε, ἀλλ' ἢ οἱ πλεῖστοι ΘΠ Tr. Ald.

Digitized by Google

σοφοὶ ἢ πάντες ἢ οἱ πλεῖστοι, ἢ ἀγαθοί, καὶ αὐτοὶ οἱ κρίνοντες, ἢ οὓς ἀποδέχονται οἱ κρίνοντες, ἢ οἷς μὴ οἷόν τε ἐναντίον κρίνειν, οἷον τοῖς κυρίοις, ἢ οἷς μὴ καλὸν ἐναντία κρίνειν, οἷον θεοῖς ἢ πατρὶ ἢ διδασκάλοις, ὥσπερ τὸ εἰς 25 Μιξιδημίδην εἶπεν Αὐτοκλῆς, εἰ ταῖς μὲν σεμναῖς θεαῖς καλῶς εἶχεν ἐν Ἄρειῳ πάγῳ δοῦναι τὰ δίκαια, Μιξιδημίδῃ δ' οὔ. ἢ ὥσπερ Σαπφώ, ὅτι τὸ ἀποθνήσκειν κακόν· οἱ θεοὶ γὰρ οὕτω κεκρίκασιν· ἀπέθνησκον γὰρ ἄν. ἢ ὥσπερ Ἀρίστιππος πρὸς Πλάτωνα ἐπαγγελτικώτερόν τι εἰπόντα, ὡς 20 ᾤετο· ἀλλὰ μὴν ὅ γ' ἑταῖρος ἡμῶν, ἔφη, οὐθὲν τοιοῦτον, λέγων τὸν Σωκράτην. καὶ Ἡγήσιππος ἐν Δελφοῖς ἠρώτα τὸν θεόν, πρότερον κεχρημένος Ὀλυμπίασιν, εἰ αὐτῷ τὰ αὐτὰ δοκεῖ ἅ περ τῷ πατρί, ὡς αἰσχρὸν ὂν τἀναντία εἰπεῖν. καὶ 1399a περὶ τῆς Ἑλένης ὡς Ἰσοκράτης ἔγραψεν ὅτι σπουδαία, εἴπερ Θησεὺς ἔκρινεν· καὶ περὶ Ἀλεξάνδρου, ὃν αἱ θεαὶ προέκριναν, καὶ περὶ Εὐαγόρου, ὅτι σπουδαῖος, ὥσπερ Ἰσοκράτης φησίν· Κόνων γοῦν δυστυχήσας, πάντας τοὺς ἄλλους 5 παραλιπών, ὡς Εὐαγόραν ἦλθεν.

(XII) ἄλλος ἐκ τῶν μερῶν, ὥσπερ ἐν τοῖς τοπικοῖς, ποία κίνησις ἡ ψυχή· ἥδε γὰρ ἢ ἥδε. παράδειγμα ἐκ τοῦ Σω-

22 ἢ σοφοὶ ἢ πάντες ἢ οἱ πλεῖστοι om. A^c ‖ καὶ αὐτοὶ οἱ κρίνοντες A^c Spengel, ἢ εἰ αὐτοὶ οἱ κρίνοντες Y^b Tr., ἢ εἰ οἱ κρίνοντες QZ^b ‖ 23 οἱ κρίνοντες ex A^c et Tr. Vict., om. ΘΠ, cf. 1395b, 33 ‖ οἴονται A^c, cf. var. ad 1389a, 25, οἷον τὸ ΘB, οἷόν τε τό C ‖ 24 ἢ ante οἷς om. A^c ‖ ἐναντία A^c Tr., τὸ ἐναντίον ΘB, τὰ ἐναντία CDE ‖ 25 διδασκάλῳ Π Tr. Ald. ‖ 26 et 27 μιξιδημίδα Q ‖ 26 εἰ] ἐν QY^b ‖ μὲν om. Π Tr. ‖ 27 καλῶς ex A^c et Tr. iam Vict., ἱκανῶς εἶχεν ΘΠ ‖ τὰ δίκαια A^c Spengel, δίκην ΘΠ Tr. Ald. ‖ 28 οὐ] οὔπω ΘΠ Tr. ‖ 29 ἢ ὡς ΘΠ ‖ 30 τι εἰπόντα om. Θ (pr. Y^b) DE Tr. (?) ‖ 32 σωκράτη A^c D, cf. 1396b, 15 ‖ Ἡγησίπολις doctus Graecus in Tr. (cod. M.) (cf. Xen. Hell. IV, 7, 2), Ἀγησίπολις Muretus, Bekker^s ‖ ἠρώτα A^c Spengel, ἐπηρώτα ΘΠ ‖ 33 κεχρημένος πρότερον ΘΠ ‖ 1399a, 1 καὶ τῷ πατρὶ Tr. ‖ 2 σωκράτης A^c pr., rec. man. emendavit ἰσοκράτης ‖ εἰ Θησεύς ΘΠ ‖ 3 οἱ θεοὶ ΘBD E Tr. Ald. ‖ 4 Verba ὅτι σπουδαῖος post Ἀλεξάνδρου ponenda censet Thurot. An σπουδαῖοι? ‖ 6 ἢ οἷα κίνησις A^c, cf. ad 1400b, 19.

Digitized by Google

κράτους τοῦ Θεοδέκτου· εἰς ποῖον ἱερὸν ἠσέβηκεν; τίνας θεῶν οὐ τετίμηκεν ὧν ἡ πόλις νομίζει;

10 (XIII) ἄλλος, ἐπειδὴ ἐπὶ τῶν πλείστων συμβαίνει ὥστε ἕπεσθαί τι τῷ αὐτῷ ἀγαθὸν καὶ κακόν, ἐκ τοῦ ἀκολουθοῦντος προτρέπειν ἢ ἀποτρέπειν καὶ κατηγορεῖν ἢ ἀπολογεῖσθαι καὶ ἐπαινεῖν ἢ ψέγειν, οἷον τῇ παιδεύσει τὸ φθονεῖσθαι ἀκολουθεῖ κακόν, τὸ δὲ σοφὸν εἶναι ἀγαθόν· οὐ τοίνυν δεῖ παιδεύεσθαι, φθονεῖσθαι γὰρ οὐ δεῖ· δεῖ μὲν
15 οὖν παιδεύεσθαι, σοφὸν γὰρ εἶναι δεῖ. ὁ τόπος οὗτός ἐστιν ἡ Καλλίππου τέχνη προσλαβοῦσα τὸ δυνατὸν καὶ τἆλλα, ὡς εἴρηται.

(XIV) ἄλλος, ὅταν περὶ δυοῖν καὶ ἀντικειμένοιν ἢ προτρέπειν ἢ ἀποτρέπειν δέῃ, καὶ τῷ πρότερον εἰρημένῳ τρόπῳ
20 ἐπ' ἀμφοῖν χρῆσθαι. διαφέρει δέ, ὅτι ἐκεῖ μὲν τὰ τυχόντα ἀντιτίθεται, ἐνταῦθα δὲ τἀναντία. οἷον ἱέρεια οὐκ εἶα τὸν υἱὸν δημηγορεῖν· ἐὰν μὲν γάρ, ἔφη, τὰ δίκαια λέγῃς, οἱ ἄνθρωποι σε μισήσουσιν, ἐὰν δὲ τὰ ἄδικα, οἱ θεοί. δεῖ μὲν οὖν δημηγορεῖν· ἐὰν μὲν γὰρ τὰ δίκαια λέγῃς, οἱ θεοί σε
25 φιλήσουσιν, ἐὰν δὲ τὰ ἄδικα, οἱ ἄνθρωποι. τοῦτο δ' ἐστὶ ταὐτὸ τῷ λεγομένῳ τὸ ἕλος πρίασθαι καὶ τοὺς ἅλας· καὶ ἡ βλαίσωσις τοῦτο ἐστίν, ὅταν δυοῖν ἐναντίοιν ἑκατέρῳ ἀγαθὸν καὶ κακὸν ἕπηται, ἐναντία ἑκάτερα ἑκατέροις.

11 τῷ αὐτῷ Bekker, τῷ αὐτοῖς A^c, „ipsis aliquod" Tr., τι αὐτῷ ΘΠ Ald. ‖ 14 παιδεύσεσθαι A^c ‖ 15 „oportet et (etiam m.) erudiri" Tr. ‖ εἶναι δεῖ] εἶναι εἰ A^c, δεῖ om. et Tr. ‖ ὁ τόπος οὗτος ex A^c et Tr. Vict., οὗτος ὁ λόγος ΘΠ ‖ 16 καὶ τὸ ΘB CE ‖ καὶ τἆλλα, ὅσ' εἴρηται coni. Spengel ‖ 18 ἢ om. ΘB DE Ald. ‖ 19 καὶ delendum censet Spengel ‖ τρόπῳ codd. omnes, „loco" (τόπῳ) Tr. ‖ 22 ἔφησε ΘDE ‖ 23 Hunc verborum ordinem pr. ex A^c et Tr. Vict., ἐὰν μὲν γὰρ τὰ ἄδικα λέγῃς, οἱ ἄνθρωποί σε φιλήσουσιν, ἐὰν δὲ τὰ δίκαια, οἱ θεοί ΘΠ ‖ δεῖ μὲν οὖν — ἄνθρωποι om. Z^b Ald. ‖ 25 τοῦτο A^c, τουτί Θ(?)DE ‖ 26 ἕλος A^c Z^b BC, ἕλκος D, ἔλαιον QY^b E Tr. ‖ τὰς ἅλας A^c ‖ 28 ἑκάτερα om. A^c Q, „contraria utrumque utrique" (ἑκάτερον ἑκατέρῳ) Tr.

Digitized by Google

(XV) ἄλλος, ἐπειδὴ οὐ ταὐτὰ φανερῶς ἐπαινοῦσι καὶ ἀφανῶς, ἀλλὰ φανερῶς μὲν τὰ δίκαια καὶ τὰ καλὰ ἐπαι- 30
νοῦσι μάλιστα, ἰδίᾳ δὲ τὰ συμφέροντα μᾶλλον βούλονται, ἐκ τούτων πειρᾶσθαι συνάγειν θάτερον· τῶν γὰρ παραδόξων οὗτος ὁ τόπος κυριώτατός ἐστιν.

(XVI) ἄλλος ἐκ τοῦ ἀνάλογον ταῦτα συμβαίνειν, οἷον ὁ Ἰφικράτης τὸν υἱὸν αὐτοῦ νεώτερον ὄντα τῆς ἡλικίας, ὅτι μέγας ἦν, λειτουργεῖν ἀναγκαζόντων, εἶπεν ὅτι εἰ τοὺς μεγά- 35
λους τῶν παίδων ἄνδρας νομίζουσι, τοὺς μικροὺς τῶν ἀν-
δρῶν παῖδας εἶναι ψηφιοῦνται. καὶ Θεοδέκτης ἐν τῷ νόμῳ, 1399 b
ὅτι πολίτας μὲν ποιεῖσθε τοὺς μισθοφόρους, οἷον Στρά-
βακα καὶ Χαρίδημον, διὰ τὴν ἐπιείκειαν· φυγάδας δ' οὐ
ποιήσετε τοὺς ἐν τοῖς μισθοφόροις ἀνήκεστα διαπεπραγμένους;

(XVII) ἄλλος ἐκ τοῦ τὸ συμβαῖνον ἐὰν ᾖ ταὐτόν, ὅτι 5
καὶ ἐξ ὧν συμβαίνει ταὐτά· οἷον Ξενοφάνης ἔλεγεν ὅτι
ὁμοίως ἀσεβοῦσιν οἱ γενέσθαι φάσκοντες τοὺς θεοὺς τοῖς
ἀποθανεῖν λέγουσιν· ἀμφοτέρως γὰρ συμβαίνει μὴ εἶναι τοὺς
θεούς ποτε. καὶ ὅλως δὲ τὸ συμβαῖνον ἐξ ἑκάστου λαμβά-
νειν ὡς τὸ αὐτὸ ἀεί· μέλλετε δὲ κρίνειν οὐ περὶ Ἰσοκρά- 10
τους ἀλλὰ περὶ ἐπιτηδεύματος, εἰ χρὴ φιλοσοφεῖν. καὶ ὅτι
τὸ διδόναι γῆν καὶ ὕδωρ δουλεύειν [ἐστίν], καὶ τὸ μετέχειν
τῆς κοινῆς εἰρήνης ποιεῖν τὸ προσταττόμενον. ληπτέον δ'
ὁπότερον ἂν ᾖ χρήσιμον.

29 ἐπαινοῦσι φανερῶς ΘΠ ‖ φανερῶς — 30 τὰ καλὰ om. Q ‖ 31 ἰδίᾳ τε A^c Tr. (m.) ‖ 32 τρόπος A^c (?). Post κυριώτατος verba, quae infra leguntur 1399 b, 13 ληπτέον — χρήσιμον in versione collocat Muretus ‖ 33 ταῦτα ex A^c et Tr. Vict., om. Π, τὰ αὐτὰ vertit Muretus ‖ 34 τῆς ἡλικίας ex A^c Vict., τῇ ἡλικίᾳ Π ‖ 36 νομιοῦσι ΘΠ ‖ 1399 b, 1 ὁ Θεοδέκτης ΘΠ ‖ 2 ποιεῖσθαι A^c ‖ 4 πεπραγμένους ΘBCE Ald. ‖ 7—9 τοῖς ἀποθανεῖν — ποτε om. Q ‖ 8 ποτε τοὺς θεούς ΘΠ ‖ 9 ἐξ ἑκάστου A^c ed. Isingr. Gaisford Spengel, ἑκατέρου ΘΠ Tr. ‖ 10 Ἰσοκράτους (cf. 1399 a, 2) pro omnium codd lectione Σωκράτους scripsit Spengel, laudato loco περὶ ἀντιδόσεως § 173 ‖ 11 εἰ δεῖ C ‖ 12 ἐστίν om. A^c, secl. Spengel ‖ 13 ἂν ὁπότερον ΘΠ Ald.

Digitized by Google

(XVIII) ἄλλος ἐκ τοῦ μὴ ταὐτὸ ἀεὶ αἱρεῖσθαι ὕστερον
15 ἢ πρότερον, ἀλλ' ἀνάπαλιν, οἷον τόδε τὸ ἐνθύμημα, εἰ φεύγοντες μὲν ἐμαχόμεθα ὅπως κατέλθωμεν, κατελθόντες δὲ φευξόμεθα ὅπως μὴ μαχώμεθα· ὁτὲ μὲν γὰρ τὸ μένειν ἀντὶ τοῦ μάχεσθαι ᾑροῦντο, ὁτὲ δὲ τὸ μὴ μάχεσθαι ἀντὶ τοῦ μὴ μένειν.

(XIX) ἄλλος τὸ οὗ ἕνεκ' ἂν εἴη ἢ γένοιτο, τούτου
20 ἕνεκα φάναι εἶναι ἢ γεγενῆσθαι, οἷον εἰ δοίη ἄν τις τινὶ ἵν' ἀφελόμενος λυπήσῃ, ὅθεν καὶ τοῦτ' εἴρηται,

πολλοῖς ὁ δαίμων οὐ κατ' εὔνοιαν φέρων
μεγάλα δίδωσιν εὐτυχήματ', ἀλλ' ἵνα
τὰς συμφορὰς λάβωσιν ἐπιφανεστέρας.

25 καὶ τὸ ἐκ τοῦ Μελεάγρου τοῦ Ἀντιφῶντος,

οὐχ ἵνα κτάνωσι θῆρ', ὅπως δὲ μάρτυρες
ἀρετῆς γένωνται Μελεάγρῳ πρὸς Ἑλλάδα.

καὶ τὸ ἐκ τοῦ Ἄλαντος τοῦ Θεοδέκτου, ὅτι ὁ Διομήδης προείλετο Ὀδυσσέα οὐ τιμῶν, ἀλλ' ἵνα ἥττων ᾖ ὁ ἀκολουθῶν·
30 ἐνδέχεται γὰρ τούτου ἕνεκα ποιῆσαι.

(XX) ἄλλος κοινὸς καὶ τοῖς ἀμφισβητοῦσιν καὶ τοῖς συμβουλεύουσι, σκοπεῖν τὰ προτρέποντα καὶ ἀποτρέποντα, καὶ ὧν ἕνεκα καὶ πράττουσι καὶ φεύγουσιν· ταῦτα γάρ ἐστιν ἃ

14 Post ταὐτὸ addunt τοὺς αὐτοὺς Θ Π Tr. Ald., om. A^c Spengel ‖ 15 Ex Dionys. de Lysia (cap. 31—33) p. 399 Bekk. δεινὸν vel ex schol. Hermog. ἄτοπον (et sic etiam schol. ad h. l.) ante εἰ inserendum censet Spengel (at cf. 1398 b, 26, ubi sch. ad. l. item ἄτοπον praebet) ‖ 17 ἐναντίον τοῦ μάχεσθαι A^c. Partim Mureti versionem secutus totum locum sic transponendum putat Spengel: ὁτὲ μὲν γὰρ τὸ μένειν ἀντὶ τοῦ μὴ μάχεσθαι ᾑροῦντο, ὁτὲ δὲ τὸ μὴ μάχεσθαι ἀντὶ τοῦ μένειν vel etiam: ὁτὲ μὲν γὰρ τὸ μὴ μένειν ἀντὶ τοῦ μάχεσθαι ᾑροῦντο, ὁτὲ δὲ τὸ μάχεσθαι ἀντὶ τοῦ μὴ μένειν (quod vix necessarium) ‖ 19 Veram huius loci lectionem solus exhibet C ex corr., nam in cod. ἂν εἴη — ἢ γένοιτο (cf. et schol. 45 b, 14), et sic Muretus Spengel, ceteri omnes εἴη, εἰ μὴ γένοιτο ‖ 23 εὐτυχήματα A^c ‖ ἀλλ' om. DE ‖ 26 οὐχ ὡς coni. Gaisford, κάνωσι Meineke, θῆρα A^c ‖ 33 ἃ om. A^c.

Digitized by Google

ἐὰν μὲν ὑπάρχῃ δεῖ πράττειν, ⟨ἐὰν δὲ μὴ ὑπάρχῃ, μὴ πράττειν,⟩ οἷον εἰ δυνατὸν καὶ ῥᾴδιον καὶ ὠφέλιμον ἢ 35
αὐτῷ ἢ φίλοις, ἢ βλαβερὸν ἐχθροῖς, κἂν ᾖ ἐπιζήμιον, εἰ ἐλάττων ἡ ζημία τοῦ πράγματος. καὶ προτρέπουσι δ' ἐκ τούτων καὶ ἀποτρέπουσιν ἐκ τῶν ἐναντίων. ἐκ δὲ τῶν 1400a
αὐτῶν τούτων καὶ κατηγοροῦσι καὶ ἀπολογοῦνται· ἐκ μὲν τῶν ἀποτρεπόντων ἀπολογοῦνται, ἐκ δὲ τῶν προτρεπόντων κατηγοροῦσιν. ἔστι δ' ὁ τόπος οὗτος ὅλη τέχνη ἥ τε Παμφίλου καὶ ἡ Καλλίππου. 5

(XXI) ἄλλος ἐκ τῶν δοκούντων μὲν γίγνεσθαι ἀπίστων δέ, ὅτι οὐκ ἂν ἔδοξαν, εἰ μὴ ἦν ἢ ἐγγὺς ἦν. καὶ ὅτι μᾶλλον· ἢ γὰρ τὰ ὄντα ἢ τὰ εἰκότα ὑπολαμβάνουσιν· εἰ οὖν ἄπιστον καὶ μὴ εἰκός, ἀληθὲς ἂν εἴη· οὐ γὰρ διά γε τὸ εἰκὸς καὶ πιθανὸν δοκεῖ οὕτως. οἷον Ἀνδροκλῆς ἔλεγεν ὁ 10
Πιτθεὺς κατηγορῶν τοῦ νόμου, ἐπεὶ ἐθορύβησαν αὐτῷ εἰπόντι, δέονται οἱ νόμοι νόμου τοῦ διορθώσοντος, καὶ γὰρ οἱ ἰχθύες ἁλός, καίτοι οὐκ εἰκὸς οὐδὲ πιθανὸν ἐν ἅλμῃ τρεφομένους δεῖσθαι ἁλός, καὶ τὰ στέμφυλα ἐλαίου· καίτοι ἄπιστον, ἐξ ὧν ἔλαιον γίγνεται, ταῦτα δεῖσθαι ἐλαίου.

(XXII) ἄλλος ἐλεγκτικός, τὸ τὰ ἀνομολογούμενα σκοπεῖν, 15
εἴ τι ἀνομολογούμενον ἐκ πάντων καὶ χρόνων καὶ πράξεων καὶ λόγων; χωρὶς μὲν ἐπὶ τοῦ ἀμφισβητοῦντος, οἷον καὶ φησὶ

34 Verba ἐὰν δὲ μὴ ὑπάρχῃ, μὴ πράττειν solus C et marg. Y^b exhibent, om. ceteri. Inseruerunt Bekker[3] Spengel et vix abesse possunt. Eodem modo alterum membrum intercidisse videtur 1402b, 28 ‖ 36 Felicissimam Victorii coniecturam commendatam etiam a Spengelio, qui εἰ ante ἐλάττων addidit, recepi, libri omnes καὶ ἐπιζήμιον ἢ ‖ 37 προτρέπουσι et 1400a, 1 ἀποτρέπουσι dedit Spengel Bekker[3], καὶ προτρέποντα — ἀποτρέποντα coni. Vahlen, προτρέπονται — ἀποτρέπονται libri omnes, καὶ προτρέπουσι — ἐναντίων delet Kayser ‖ 4 κατηγοροῦσι· ἀπολογοῦνται μὲν A^c, ut fort. h. l. lacuna statuenda sit ‖ 10 καὶ δοκεῖ οὕτως Tr. ‖ 11 του νόμου coni. Kayser ‖ 12 διορθώσαντος A^cQZ^bB ‖ 15 ἂν · ὁμολογούμενα A^c. Post σκοπεῖν in libris omnibus sequuntur χωρὶς μὲν ἐπὶ τοῦ ἀμφισβητοῦντος, verum ordinem tacite restituit Morelius.

Digitized by Google

μὲν φιλεῖν ὑμᾶς, συνώμοσεν δὲ τοῖς τριάκοντα, χωρὶς δ' ἐπ' αὐτοῦ, καὶ φησὶ μὲν εἶναί με φιλόδικον, οὐκ ἔχει δὲ ἀπο-
20 δεῖξαι δεδικασμένον οὐδεμίαν δίκην, χωρὶς δ' ἐπ' αὐτοῦ καὶ τοῦ ἀμφισβητοῦντος, καὶ οὗτος μὲν οὐ δεδάνεικε πώποτε οὐδέν, ἐγὼ δὲ καὶ πολλοὺς λέλυμαι ὑμῶν.

(XXIII) ἄλλος τοῖς προδιαβεβλημένοις καὶ ἀνθρώποις καὶ πράγμασιν, ἢ δοκοῦσι, τὸ λέγειν τὴν αἰτίαν τοῦ παρα-
25 δόξου· ἔστιν γάρ τι δι' ὃ φαίνεται. οἷον ὑποβεβλημένης τινὸς τὸν αὐτῆς υἱὸν διὰ τὸ ἀσπάζεσθαι ἐδόκει συνεῖναι τῷ μειρακίῳ, λεχθέντος δὲ τοῦ αἰτίου ἐλύθη ἡ διαβολή· καὶ οἷον ἐν τῷ Αἴαντι τῷ Θεοδέκτου Ὀδυσσεὺς λέγει πρὸς τὸν Αἴαντα, διότι ἀνδρειότερος ὢν τοῦ Αἴαντος οὐ δοκεῖ.

30 (XXIV) ἄλλος ἀπὸ τοῦ αἰτίου, ἄν τε ὑπάρχῃ, ὅτι ἔστι, κἂν μὴ ὑπάρχῃ, ὅτι οὐκ ἔστιν· ἅμα γὰρ τὸ αἴτιον καὶ οὗ αἴτιον, καὶ ἄνευ αἰτίου οὐθέν ἐστιν, οἷον Λεωδάμας ἀπολογούμενος ἔλεγε, κατηγορήσαντος Θρασυβούλου ὅτι ἦν στηλίτης γεγονὼς ἐν τῇ ἀκροπόλει, ἀλλ' ἐκκόψαι ἐπὶ τῶν τριά-
35 κοντα· οὐκ ἐνδέχεσθαι ἔφη· μᾶλλον γὰρ ἂν πιστεύειν αὐτῷ τοὺς τριάκοντα ἐγγεγραμμένης τῆς ἔχθρας πρὸς τὸν δῆμον.

(XXV) ἄλλος, εἰ ἐνεδέχετο βέλτιον ἄλλως ἢ ἐνδέχεται ὧν ἢ συμβουλεύει ἢ πράττει ἢ πέπραχε σκοπεῖν· φανερὸν γὰρ ὅτι,
1400b εἰ μὴ οὕτως ἔχει, οὐ πέπραχεν· οὐδεὶς γὰρ ἑκὼν τὰ φαῦλα καὶ γιγνώσκων προαιρεῖται. ἔστιν δὲ τοῦτο ψεῦδος· πολ-

19 μὲν om. ΘΠAld. ‖ με om. A^c ‖ 14 et 20 ἐφ' αὐτοῦ C ‖ 21 δεδάνικεν A^cE ‖ 22 πολλὰ Y^bZ^bB, πολλάς EAld. ‖ 23 προδιαβεβλημένοις ex A^c et Tr. Vict., διαβεβλημένοις ΘBCD ‖ 24 μὴ δοκοῦσι A^c et schol. ad h. l., quod recepit et defendit Vict. (cf. variet. 1399b, 19) ‖ 25 Sic ex A^cVict., διαβεβλημένης τινὸς πρὸς τὸν ΘΠTr. ‖ 28 θεοδέκτω A^cY^bZ^bB ‖ λέγει om. Tr. ‖ 30 ἂν δὲ A^c ‖ 37 ἄλλως pr. in ed. Vict., om. ΘBCD ‖ ἢι ἐνδέχεται A^c ‖ 38 πέπρακεν A^c. Verba ὧν ἢ συμβουλεύει — σκοπεῖν in versione om. Muretus ‖ 1400b, 1 μὴ delent Georg. Trapez. Muretus, μὲν coni. Spengel ‖ 2 ἔστι γὰρ ΘΠAld.

Digitized by Google

λάκις γὰρ ὕστερον γίγνεται δῆλον πῶς ἦν πρᾶξαι βέλτιον, πρότερον δὲ ἄδηλον.

(XXVI) *ἄλλος, ὅταν τι ἐναντίον μέλλῃ πράττεσθαι τοῖς πεπραγμένοις, ἅμα σκοπεῖν, οἷον Ξενοφάνης Ἐλεάταις ἐρω-* 5 *τῶσιν εἰ θύωσι τῇ Λευκοθέᾳ καὶ θρηνῶσιν ἢ μή, συνεβούλευεν, εἰ μὲν θεὸν ὑπολαμβάνουσιν, μὴ θρηνεῖν, εἰ δ' ἄνθρωπον, μὴ θύειν.*

(XXVII) *ἄλλος τόπος τὸ ἐκ τῶν ἁμαρτηθέντων κατηγορεῖν ἢ ἀπολογεῖσθαι, οἷον ἐν τῇ Καρκίνου Μηδείᾳ οἱ μὲν* 10 *κατηγοροῦσιν ὅτι τοὺς παῖδας ἀπέκτεινεν, οὐ φαίνεσθαι γοῦν αὐτούς. ἥμαρτε γὰρ ἡ Μήδεια περὶ τὴν ἀποστολὴν τῶν παίδων· ἡ δ' ἀπολογεῖται ὅτι οὐκ ἂν τοὺς παῖδας ἀλλὰ τὸν Ἰάσονα ἂν ἀπέκτεινεν· τοῦτο γὰρ ἥμαρτεν ἂν μὴ ποιήσασα, εἴπερ καὶ θάτερον ἐποίησεν. ἔστι δ' ὁ τόπος οὗτος τοῦ* 15 *ἐνθυμήματος καὶ τὸ εἶδος ὅλη ἡ πρότερον Θεοδώρου τέχνη.*

(XXVIII) *ἄλλος ἀπὸ τοῦ ὀνόματος, οἷον ὡς ὁ Σοφοκλῆς*

σαφῶς σιδήρῳ καὶ φοροῦσα τοὔνομα,

καὶ ὡς ἐν τοῖς τῶν θεῶν ἐπαίνοις εἰώθασι λέγειν, καὶ ὡς Κόνων Θρασύβουλον θρασύβουλον ἐκάλει, καὶ Ἡρόδικος Θρασύμαχον ἀεὶ θρασύμαχος εἶ, καὶ Πῶλον ἀεὶ σὺ πῶλος 20

3 *πολλάκις γὰρ τοῦτο γίνεται ὕστερον ΘΠ*, *τοῦτο* om. A^c Tr. Vict. ‖ Non desunt in A^c verba *πῶς — ἄδηλον*, ut falso adnotavit Bekker ‖ 4 *πότερον* A^c ‖ 5 *ἅμα* cum *πράττεσθαι* coniungit schol. ‖ 6 *θύωσι — θρηνῶσιν* ex A^c Vict., *θύουσι — θρηνοῦσι ΘΠ* ‖ 9 *τόπος* et fort. etiam *τὸ* interpolatoris esse censet Spengel ‖ 10 *καὶ ἀπολογεῖσθαι* Tr. (cod. M) et auct. rhet. Gr. V, 406 ‖ 11 Post *κατηγοροῦσιν „quod putant“* Tr. ‖ *οὐ φαίνεσθαι γάρ* C ‖ 13 *ὅτι* om. C ‖ 15 Sic A^c Tr. Vict., *ὁ τόπος οὗτος καὶ τοῦ ἐνθυμήματος τὸ εἶδος ΘΠ* ‖ 16 *προτέρα* ΘE ‖ 17 *σιδήρῳ* commendatum etiam a Nauckio ex A^c recepi, *σιδηρῷ ΘΠ*, quod vulgo probatur ‖ *φέρουσα τοὔνομα* Dindorf, (*κεκλημένη σαφῶς Σιδηρῷ*) *καὶ φρονοῦσα τοὔνομα* Cobet ‖ 18 *ὡς* et hic et 22 om. Tr. ‖ 19 *ἡρόδικος ὁ θρασύμαχον* A^c. *Πρόδικος* probabiliter coni. Spengel; non raro enim *H* et *Π* confunduntur a librario cf. 1399a, 7. Post *ὁ* nomen excidisse videtur ‖ 20 *σὺ* om. Q.

Digitized by Google

εἶ, καὶ Δράκοντα τὸν νομοθέτην, ὅτι οὐκ ἂν ἀνθρώπου οἱ νόμοι ἀλλὰ δράκοντος· χαλεποὶ γάρ. καὶ ὡς ἡ Εὐριπίδου Ἑκάβη εἰς τὴν Ἀφροδίτην

καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς,

25 καὶ ὡς Χαιρήμων

Πενθεὺς ἐσομένης συμφορᾶς ἐπώνυμος.

εὐδοκιμεῖ δὲ μᾶλλον τῶν ἐνθυμημάτων τὰ ἐλεγκτικὰ τῶν ἀποδεικτικῶν διὰ τὸ συναγωγὴν μὲν ἐναντίων εἶναι ἐν μικρῷ τὸ ἐλεγκτικὸν ἐνθύμημα, παρ' ἄλληλα δὲ φανερὰ εἶναι τῷ ἀκροατῇ μᾶλλον. πάντων δὲ καὶ τῶν ἐλεγκτικῶν καὶ τῶν

30 δεικτικῶν συλλογισμῶν θορυβεῖται μάλιστα τὰ τοιαῦτα ὅσα ἀρχόμενα προορῶσι μὴ τῷ ἐπιπολῆς εἶναι (ἅμα γὰρ καὶ αὐτοὶ ἐφ' αὑτοῖς χαίρουσι προαισθανόμενοι), καὶ ὅσων τοσοῦτον ὑστερίζουσιν ὥσθ' ἅμα εἰρημένων γνωρίζειν.

35 ἐπεὶ δ' ἐνδέχεται τὸν μὲν εἶναι συλλογισμόν, τὸν δὲ μὴ εἶναι μὲν φαίνεσθαι δέ, ἀνάγκη καὶ ἐνθύμημα τὸ μὲν εἶναι, 24
τὸ δὲ μὴ εἶναι ἐνθύμημα φαίνεσθαι δέ, ἐπείπερ τὸ ἐνθύμημα συλλογισμός τις. τόποι δ' εἰσὶ τῶν φαινομένων ἐνθυ-
1401a μημάτων (Ia) εἷς μὲν ὁ παρὰ τὴν λέξιν, καὶ τούτου ἓν μὲν μέρος, ὥσπερ ἐν τοῖς διαλεκτικοῖς τὸ μὴ συλλογισάμενον συμπερασματικῶς τὸ τελευταῖον εἰπεῖν, οὐκ ἄρα τὸ καὶ τό, ἀνάγκη ἄρα καὶ τὸ καὶ τό, ⟨καὶ ἐν⟩ τοῖς ἐνθυμήμασι τὸ συν-

21 ἂν operarum errore omissum apud Bekkerum delet Madvig ‖ 24 ἄρχει θεᾶς A^c Vict., ἄρχεις θεά Y^b Z^b B D, ἄρχει θεά C ‖ Post hunc versum ex Aristot. rhetorica diserte laudat Eustathius ad Il. III, 64 p. 414 ὡς δὲ καὶ ζωογόνος ὁ Ζεύς ... καὶ Ζεὺς ὡς ζωῆς αἴτιος. Idem laudat schol. supra ad verba v. 18 ἐν τοῖς τῶν θεῶν ἐπαίνοις ‖ 26 μᾶλλον] καλόν A^c ‖ 30 συλλογισμῶν delendum censeo ‖ 31 ἀρχόμενα B C D et Vict. ex p. et Tr., ἀρχόμενοι cet. ‖ τῷ om. A^c ‖ 35 τὸ μὲν εἶναι D E Ald. ‖ τὸ δὲ μὴ E ‖ 36 τὸ μὲν εἶναι ἐνθύμημα, τὸ δὲ μὴ εἶναι Θ Π Ald. ‖ 1401a, 3 συμπερασματικόν Q Z^b D E ‖ οὐκ ἄρα τὸ καὶ τὸ A^c Vict., οὐκ ἔστι τὸ καὶ τὸ Θ D E ‖ 4 ἀνάγκη ἄρα καὶ τὸ καὶ τὸ A^c D Tr., quod recepi, ἀνάγκη ἐστὶ τὸ καὶ τὸ Y^b Z^b D E Ald., ἀνάγκη ἄρα τὸ καὶ τὸ Bekker Spengel ‖ τὸ γὰρ τοῖς ἐνθυμήμασι Q, ἐν γὰρ τοῖς ἐνθυμήμασι E et edit. Venet., τοῖς ἐνθυμήμασι in versione

Digitized by Google

εστραμμένον καὶ ἀντικειμένως εἰπεῖν φαίνεται ἐνθύμημα· ἡ γὰρ τοιαύτη λέξις χώρα ἐστὶν ἐνθυμήματος. καὶ ἔοικε τὸ τοιοῦτον εἶναι παρὰ τὸ σχῆμα τῆς λέξεως. ἔστι δὲ εἰς τὸ τῇ λέξει συλλογιστικῶς λέγειν χρήσιμον τὸ συλλογισμῶν πολλῶν κεφάλαια λέγειν, ὅτι τοὺς μὲν ἔσωσε, τοῖς δ' ἑτέροις ἐτιμώρησε, τοὺς δ' Ἕλληνας ἠλευθέρωσε· ἕκαστον μὲν γὰρ τούτων ἐξ ἄλλων ἀπεδείχθη, συντεθέντων δὲ φαίνεται καὶ ἐκ τούτων τι γίγνεσθαι. (b) ἐν δὲ τὸ παρὰ τὴν ὁμωνυμίαν, τὸ φάναι σπουδαῖον εἶναι μῦν, ἀφ' οὗ γ' ἐστὶν ἡ τιμιωτάτη πασῶν τελετή· τὰ γὰρ μυστήρια πασῶν τιμιωτάτη τελετή. ἢ εἴ τις κύνα ἐγκωμιάζων τὸν ἐν τῷ οὐρανῷ συμπαραλαμβάνοι ἢ τὸν Πᾶνα, ὅτι Πίνδαρος ἔφησεν

ὦ μάκαρ, ὅν τε μεγάλας θεοῦ κύνα παντοδαπὸν
καλέουσιν Ὀλύμπιοι.

ἢ ὅτι τὸ μηδένα εἶναι κύν' ἀτιμότατόν ἐστιν, ὥστε τὸ κύνα δῆλον ὅτι τίμιον. καὶ τὸ κοινωνικὸν φάναι τὸν Ἑρμῆν εἶναι μάλιστα τῶν θεῶν· μόνος γὰρ καλεῖται κοινὸς Ἑρμῆς. καὶ τὸ τὸν λόγον εἶναι σπουδαιότατον, ὅτι οἱ ἀγαθοὶ ἄνδρες οὐ χρημάτων ἀλλὰ λόγου εἰσὶν ἄξιοι· τὸ γὰρ λόγου ἄξιον οὐχ ἁπλῶς λέγεται. (II) ἄλλος τὸ διῃρημένον συντιθέντα λέγειν ἢ τὸ συγκείμενον διαιροῦντα· ἐπεὶ γὰρ ταὐτὸν δοκεῖ

om. Muretus. Ceterum haec ut duo enunciata vulgo edebantur; in unum contrahenda esse ex recta Victorii interpretatione vidit Vahlenius corrigens: *ἀνάγκη ἄρα τὸ καὶ τὸ, καὶ ἐν τοῖς ἐνθυμήμασι.* Probavit in commentario Spengelius, nisi quod collato loco 1402a, 4 *ἐν τοῖς ῥητορικοῖς* scribere mavult ‖ 4 *συνεστραμμένον* A^c Vahlen Spengel, *συνεστραμμένως ΘΠ* Tr. schol. Ald. ‖ 8 *χρησμόν* A^c ‖ 9 *τοῖς δ' ἡμετέροις ΘΠ* Ald. ‖ 10 *μὲν* om. Tr. ‖ 13 *ὡς* ante *τὸ φάναι* addunt *ΘΠ*, om. A^c Tr., secl. Buhle ‖ *μῦν* om. Y^b Tr. ‖ *σπουδαῖος ὁ μῦς* C ‖ 15 *τὸν κύνα ΘΠ* Ald. ‖ 16 *συμπαραλαμβανοίη τὸν* A^c, unde iam Vict. in marg. exemplaris *συμπαραλαμβάνοι ἢ*, quod recepit Spengel, *συμπαραλαμβάνει* ΘCDE Ald., *συμπεριλαμβάνει* B p. v. schol. ‖ *„aut ipsum Pana“* Tr. ‖ *ἔφη ΘΠ* ‖ 19 *κύν'* A^c, *κύνα ΘΠ* ‖ *τὸν κύν' ἄδηλον* A^c, *τὸ κύνα* E, *τὸ κῦνα* Q, *τὸ κοινὰ* Z^b schol., *τὸν κύνα* Y^b BC ‖ 23 *λόγων εἰσὶν* Y^b B.

Digitized by Google

εἶναι οὐκ ὂν ταὐτὸ πολλάκις, ὁπότερον χρησιμώτερον, τοῦτο δεῖ ποιεῖν. ἔστι δὲ τοῦτο Εὐθυδήμου λόγος, οἷον τὸ εἰδέναι ὅτι τριήρης ἐν Πειραιεῖ ἐστίν· ἕκαστον γὰρ οἶδεν. καὶ τὸν τὰ στοιχεῖα ἐπιστάμενον ὅτι τὸ ἔπος οἶδεν· τὸ γὰρ ἔπος τὸ αὐτό
30 ἐστιν. καὶ ἐπεὶ τὸ δὶς τοσοῦτον νοσῶδες, μηδὲ τὸ ἓν φάναι ὑγιεινὸν εἶναι· ἄτοπον γὰρ εἰ τὰ δύο ἀγαθὰ ἓν κακόν ἐστιν. οὕτω μὲν οὖν ἐλεγκτικόν, ὧδε δὲ δεικτικόν· οὐ γάρ ἐστιν ἓν ἀγαθὸν δύο κακά. ὅλος δὲ ὁ τόπος παραλογιστικός. πάλιν τὸ Πολυκράτους εἰς Θρασύβουλον, ὅτι τριάκοντα τυ-
35 ράννους κατέλυσε· συντίθησι γάρ. ἢ τὸ ἐν τῷ Ὀρέστῃ τῷ Θεοδέκτου· ἐκ διαιρέσεως γάρ ἐστιν.

δίκαιόν ἐστιν, ἥ τις ἂν κτείνῃ πόσιν,
ἀποθνήσκειν ταύτην, καὶ τῷ πατρί γε τιμωρεῖν τὸν υἱόν·
1401b οὐκοῦν [καὶ] ταῦτα καὶ πέπρακται· συντεθέντα γὰρ ἴσως οὐκέτι δίκαιον. εἴη δ' ἂν καὶ παρὰ τὴν ἔλλειψιν· ἀφαιρεῖ γὰρ τὸ ὑπό τίνος. (III) ἄλλος δὲ τόπος τὸ δεινώσει κατασκευάζειν ἢ ἀνασκευάζειν. τοῦτο δ' ἐστὶν ὅταν, μὴ δείξας
5 ὅτι ἐποίησεν, αὐξήσῃ τὸ πρᾶγμα· ποιεῖ γὰρ φαίνεσθαι ἢ ὡς οὐ πεποίηκεν, ὅταν ὁ τὴν αἰτίαν ἔχων αὔξῃ, ἢ ὡς πεποίηκεν, ὅταν ὁ κατηγορῶν ὀργίζηται. οὔκουν ἐστὶν ἐνθύμημα· παραλογίζεται γὰρ ὁ ἀκροατὴς ὅτι ἐποίησεν ἢ οὐκ

28 ἐμ Πειραιεῖ A^c, quod tuetur Spengel ‖ 30 ἐπὶ A^c ‖ 32 μᾶλλον ἐλεγκτικόν Tr. ‖ Post δεικτικόν ἐστιν ΘΠAld. ‖ „non est enim unum malum duo bona" Tr. schol. ‖ 36 ἥτις DGaisford, ceteri libri εἴ τις ‖ 1401b, 1 καὶ ante ταῦτα om. CDAldus Gaisford Spengel, „igitur et haec acta sunt" Tr., οὐκοῦν καὶ ταῦτα δίκαι' ἃ πέπρακται coni. Vahlen ‖ συντιθέντα ΘCTr. ‖ 2 ἀφαιρεῖ A^{c}Spengel, ἀφαιρεῖται ΘΠAld., cf. variet. ad 1393b, 31 ‖ 3 δὲ et τόπος dubitanter delet Spengel, cf. 1400b, 9 ‖ 5 Post ὅτι ἐποίησεν exspectat Spengelius, id quod et infra legitur, ἢ οὐκ ἐποίησεν; itaque deleto ὅτι ἐποίησε scribendum censet ὅταν μὴ δείξας αὐξήσῃ τὸ πρᾶγμα (quod non necessarium, cf. 1396a, 9 et 32) ‖ 6 ὡς οὐ πεποίηκεν ex C et Tr. Spengel, ὡς οὔτε πεποίηκεν cet. ‖ 7 ὄρσηι A^c, unde Vict. ὀργίσῃ coni., ceteri omnes ὀργίζηται; sed verum nondum certa coniectura inventum.

Digitized by Google

ἐποίησεν, οὐ δεδειγμένου. (IV) ἄλλος τὸ ἐκ σημείου· ἀσυλ-
λόγιστον γὰρ καὶ τοῦτο. οἷον εἴ τις λέγοι, ταῖς πόλεσι συμ- 10
φέρουσιν οἱ ἐρῶντες· ὁ γὰρ Ἁρμοδίου καὶ Ἀριστογείτονος
ἔρως κατέλυσε τὸν τύραννον Ἵππαρχον. ἢ εἴ τις λέγοι ὅτι
κλέπτης Διονύσιος· πονηρὸς γάρ· ἀσυλλόγιστον γὰρ δὴ
τοῦτο· οὐ γὰρ πᾶς πονηρὸς κλέπτης, ἀλλ' ὁ κλέπτης πᾶς
πονηρός. (V) ἄλλος διὰ τὸ συμβεβηκός, οἷον ὃ λέγει Πο- 15
λυκράτης εἰς τοὺς μῦς, ὅτι ἐβοήθησαν διατραγόντες τὰς
νευράς. ἢ εἴ τις φαίη τὸ ἐπὶ δεῖπνον κληθῆναι τιμιώτατον·
διὰ γὰρ τὸ μὴ κληθῆναι ὁ Ἀχιλλεὺς ἐμήνισε τοῖς Ἀχαιοῖς
ἐν Τενέδῳ· ὁ δ' ὡς ἀτιμαζόμενος ἐμήνισεν, συνέβη δὲ
τοῦτο διὰ τὸ μὴ κληθῆναι. (VI) ἄλλος τὸ παρὰ τὸ ἑπό- 20
μενον, οἷον ἐν τῷ Ἀλεξάνδρῳ, ὅτι μεγαλόψυχος· ὑπεριδὼν
γὰρ τὴν πολλῶν ὁμιλίαν ἐν τῇ Ἴδῃ διέτριβεν καθ' αὑτόν·
ὅτι γὰρ οἱ μεγαλόψυχοι τοιοῦτοι, καὶ οὗτος μεγαλόψυχος
δόξειεν ἄν. καὶ ἐπεὶ καλλωπιστὴς καὶ νύκτωρ πλανᾶται,
μοιχός· τοιοῦτοι γάρ. ὅμοιον δὲ καὶ ὅτι ἐν τοῖς ἱεροῖς οἱ 25
πτωχοὶ καὶ ᾄδουσι καὶ ὀρχοῦνται, καὶ ὅτι τοῖς φυγάσιν
ἔξεστιν οἰκεῖν ὅπου ἂν θέλωσιν· ὅτι γὰρ τοῖς δοκοῦσιν
εὐδαιμονεῖν ὑπάρχει ταῦτα, καὶ οἷς ταῦτα ὑπάρχει, δόξαιεν
ἂν εὐδαιμονεῖν. διαφέρει δὲ τῷ πῶς· διὸ καὶ εἰς τὴν ἔλ-

9 ἀσυλλόγιστον — 10 τοῦτο in versione om. Muretus ‖ 11 οἱ ἔρωτες Z^b, quod et vertit Muretus et probat Dittenberger ‖ 12 καὶ εἰ BE (at cf. supra 35) ‖ ὅτι ante κλέπτης om. BCY^b ‖ 13 δὴ A^cSpengel, καὶ ΘΠ, nec καὶ nec δὴ vert. Tr. Totum commation male repetitum videtur Spengelio ‖ 17 τιμιώτατον sic A^c ‖ 20 ἐπὶ τοῦ μὴ κληθῆναι ΘBDEAld., quae varietas ex margine irrepsisse videtur in A^c, ubi διὰ τὸ ἐπὶ τοῦ ‖ 22 γὰρ] δὲ $A^cY^bZ^b$BDAld. ‖ 23 καὶ οὗτοι μεγαλόψυχοι A^cZ^b ‖ 24 δόξαιεν ἄν A^cQZ^b (an alterum eiusdem generis exemplum intercidit?) ‖ 25 τοιοῦτοι γὰρ ex coni. Bekker, τοιούτοις ἄρα A^c, τοιοῦτός ἐστι Y^bZ^b, ὁ τοιοῦτός ἐστιν QDEAld., ὅτι καὶ οἱ μοιχοὶ τοιοῦτοι Tr.B et marg. ed. Venet., ὅτι καὶ οἱ μοιχοί· ὅμοιον C ‖ 27 ὅπου ἐὰν A^c ‖ ὅτι γὰρ] ὅπου γὰρ ΘDE, ὅταν — ὑπάρχῃ C ‖ 28 οἷς ὑπάρχει ταῦτα ΘΠAld. ‖ 29 „differt enim in eo, quod qualiter" Tr.

Digitized by Google

30 λειψιν ἐμπίπτει. (VII) ἄλλος παρὰ τὸ ἀναίτιον ὡς αἴτιον, οἷον τῷ ἅμα ἢ μετὰ τοῦτο γεγονέναι· τὸ γὰρ μετὰ τοῦτο ὡς διὰ τοῦτο λαμβάνουσιν, καὶ μάλιστα οἱ ἐν ταῖς πολιτείαις, οἷον ὡς ὁ Δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν αἰτίαν· μετ' ἐκείνην γὰρ συνέβη ὁ πόλεμος.
35 (VIII) ἄλλος παρὰ τὴν ἔλλειψιν τοῦ πότε καὶ πῶς, οἷον ὅτι δικαίως Ἀλέξανδρος ἔλαβε τὴν Ἑλένην· αἵρεσις γὰρ αὐτῇ ἐδόθη παρὰ τοῦ πατρός. οὐ γὰρ ἀεὶ ἴσως, ἀλλὰ τὸ
1402a πρῶτον· καὶ γὰρ ὁ πατὴρ μέχρι τούτου κύριος. ἢ εἴ τις φαίη τὸ τύπτειν τοὺς ἐλευθέρους ὕβριν εἶναι· οὐ γὰρ πάντως, ἀλλ' ὅταν ἄρχῃ χειρῶν ἀδίκων. (IX) ἔτι ὥσπερ ἐν τοῖς ἐριστικοῖς παρὰ τὸ ἁπλῶς καὶ μὴ ἁπλῶς, ἀλλὰ τί, γίγνε-
5 ται φαινόμενος συλλογισμός, οἷον ἐν μὲν τοῖς διαλεκτικοῖς ὅτι ἐστὶ τὸ μὴ ὂν ὄν, ἔστι γὰρ τὸ μὴ ὂν μὴ ὄν, καὶ ὅτι ἐπιστητὸν τὸ ἄγνωστον, ἔστιν γὰρ ἐπιστητὸν τὸ ἄγνωστον ὅτι ἄγνωστον, οὕτως καὶ ἐν τοῖς ῥητορικοῖς ἐστιν φαινόμενον ἐνθύμημα παρὰ τὸ μὴ ἁπλῶς εἰκὸς ἀλλὰ τὶ εἰκός. ἔστιν δὲ τοῦτο οὐ καθόλου, ὥσπερ καὶ Ἀγάθων λέγει

10 τάχ' ἄν τις εἰκὸς αὐτὸ τοῦτ' εἶναι λέγοι,
βροτοῖσι πολλὰ τυγχάνειν οὐκ εἰκότα.

γίγνεται γὰρ τὸ παρὰ τὸ εἰκός, ὥστε εἰκὸς καὶ τὸ παρὰ τὸ εἰκός. εἰ δὲ τοῦτο, ἔσται τὸ μὴ εἰκὸς εἰκός. ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ὥσπερ καὶ ἐπὶ τῶν ἐριστικῶν τὸ κατὰ τί καὶ
15 πρὸς τί καὶ πῇ οὐ προστιθέμενα ποιεῖ τὴν συκοφαντίαν, καὶ ἐνταῦθα παρὰ τὸ εἰκὸς εἶναι μὴ ἁπλῶς ἀλλὰ τὶ εἰκός. ἔστι δ' ἐκ τούτου τοῦ τόπου ἡ Κόρακος τέχνη συγκειμένη· ἄν τε γὰρ μὴ ἔνοχος ᾖ τῇ αἰτίᾳ, οἷον ἀσθενὴς ὢν αἰκίας φεύγῃ· οὐ γὰρ εἰκός· κἂν ἔνοχος ὤν, οἷον ἂν ἰσχυρὸς ὤν·

33 οἷον om. Dionys., ὡς om. Q ‖ 37 αὐτῇ ex codd. Vict., αὕτη QDE ‖ 1402a, 4 ἄλλο τι A°Tr. C, nbi o in ras. ‖ 5 μὲν om. CTr. ‖ 13 ἀλλ' ead. man. supra lineam A° ‖ 17 ἐκ τούτου ex Tr. Morelius (sic etiam schol., qui et Τισίαν laudat), δὲ τοῦτο A°, δὲ τούτου ΘΠ ‖ 18 ᾖ, ἡ αἰτία sic C, ᾖ delendum censet Spengel ‖ αἰκίαν QDE Ald. ‖ 19 φεύγει ΘΠ Ald. ‖ κἂν] καὶ ΘC ‖ οἷον om. Q ‖ ἀνίσχυρος A°.

Digitized by Google

οὐ γὰρ εἰκός, ὅτι εἰκὸς ἔμελλε δόξειν. ὁμοίως δὲ καὶ ἐπὶ 20
τῶν ἄλλων· ἢ γὰρ ἔνοχον ἀνάγκη ἢ μὴ ἔνοχον εἶναι τῇ
αἰτίᾳ· φαίνεται μὲν οὖν ἀμφότερα εἰκότα, ἔστι δὲ τὸ μὲν
εἰκός, τὸ δὲ οὐχ ἁπλῶς ἀλλ' ὥσπερ εἴρηται. καὶ τὸ τὸν
ἥττω δὲ λόγον κρείττω ποιεῖν τοῦτ' ἐστίν. καὶ ἐντεῦθεν
δικαίως ἐδυσχέραινον οἱ ἄνθρωποι τὸ Πρωταγόρου ἐπάγ- 25
γελμα· ψεῦδός τε γάρ ἐστιν, καὶ οὐκ ἀληθὲς ἀλλὰ φαινό-
μενον εἰκός, καὶ ἐν οὐδεμιᾷ τέχνῃ ἀλλ' ἐν ῥητορικῇ καὶ
ἐριστικῇ.

καὶ περὶ μὲν ἐνθυμημάτων καὶ τῶν ὄντων καὶ τῶν
φαινομένων εἴρηται, περὶ δὲ λύσεως ἐχόμενόν ἐστιν τῶν 30
25 εἰρημένων εἰπεῖν. ἔστιν δὲ λύειν ἢ ἀντισυλλογισάμενον ἢ
ἔνστασιν ἐνεγκόντα. τὸ μὲν οὖν ἀντισυλλογίζεσθαι δῆλον
ὅτι ἐκ τῶν αὐτῶν τόπων ἐνδέχεται ποιεῖν· οἱ μὲν γὰρ συλ-
λογισμοὶ ἐκ τῶν ἐνδόξων, δοκοῦντα δὲ πολλὰ ἐναντία ἀλλή-
λοις ἐστίν. αἱ δ' ἐνστάσεις φέρονται καθάπερ καὶ ἐν τοῖς 35
τοπικοῖς, τετραχῶς· ἢ γὰρ ἐξ ἑαυτοῦ ἢ ἐκ τοῦ ὁμοίου ἢ
ἐκ τοῦ ἐναντίου ἢ ἐκ τῶν κεκριμένων. λέγω δὲ ἀφ' ἑαυ-
τοῦ μέν, οἷον εἰ περὶ ἔρωτος εἴη τὸ ἐνθύμημα ὡς σπου- 1402 b
δαῖος, ἡ ἔνστασις διχῶς· ἢ γὰρ καθόλου εἰπόντα ὅτι πᾶσα
ἔνδεια πονηρόν, ἢ κατὰ μέρος ὅτι οὐκ ἂν ἐλέγετο Καύνιος
ἔρως, εἰ μὴ ἦσαν καὶ πονηροὶ ἔρωτες. ἀπὸ δὲ τοῦ ἐναν-
τίου ἔνστασις φέρεται, οἷον εἰ τὸ ἐνθύμημα ἦν ὅτι ὁ ἀγα- 5
θὸς ἀνὴρ πάντας τοὺς φίλους εὖ ποιεῖ, ἀλλ' οὐδ' ὁ μοχθη-
ρὸς κακῶς. ἀπὸ δὲ τοῦ ὁμοίου, εἰ ἦν τὸ ἐνθύμημα ὅτι οἱ

24 δὲ om. ΘΠ Ald., add. post ἐντεῦθεν ‖ 30 λύσεων ΘΠ ‖ 32 ἐνεγκόντα sic A^c, ἐνεγκόντι Z^b BDE Ald., cf. variet. ad 1397 a, 9 ‖ ἂν τις συλλογίζεσθαι A^c ‖ 33 ἐνδέχεται εἰπεῖν QE ‖ 36 ἐξ] γε ἑαυτοῦ A^c, „ex eodem" ἐκ ταὐτοῦ Tr., quod receperunt Vict. alii ‖ ἢ ἐκ τοῦ ἐναντίου ἢ ἐκ τοῦ ὁμοίου vertit Muretus probante Spengelio ‖ 37 ἐκ ταὐτοῦ Tr. ‖ 1402 b, 3 Καύνιος pr. ex A^c, ubi καύνικος, Vict., κάλλιστος ἢ κάκιστος cet. ‖ 4 ἀπὸ restituit Spengel, ἐπὶ libri omnes ‖ 5 ὁ om. ΘE ‖ 7 Sic Spengel, ἐπὶ δὲ τῶν ὁμοίων A^c QZ^b CDE, ἐναντίων pr. Y^b B.

Digitized by Google

κακῶς πεπονθότες ἀεὶ μισοῦσιν, ὅτι ἀλλ' οὐδ' οἱ εὖ πεπονθότες ἀεὶ φιλοῦσιν. αἱ δὲ κρίσεις αἱ ἀπὸ τῶν γνωρίμων ἀνδρῶν, οἷον εἴ τις ἐνθύμημα εἶπεν ὅτι τοῖς μεθύουσι δεῖ συγγνώμην ἔχειν, ἀγνοοῦντες γὰρ ἁμαρτάνουσιν, ἔνστασις ὅτι οὔκουν ὁ Πιττακὸς αἰνετός· οὐ γὰρ ἂν μείζους ζημίας ἐνομοθέτησεν ἐάν τις μεθύων ἁμαρτάνῃ.

ἐπεὶ δὲ τὰ ἐνθυμήματα λέγεται ἐκ τεττάρων, τὰ δὲ τέτταρα ταῦτ' ἐστὶν εἰκὸς παράδειγμα τεκμήριον σημεῖον, ἔστι δὲ τὰ μὲν ἐκ τῶν ὡς ἐπὶ ⟨τὸ⟩ πολὺ ἢ ὄντων ἢ δοκούντων συνηγμένα ἐνθυμήματα ἐκ τῶν εἰκότων, τὰ δὲ [δι' ἐπαγωγῆς] διὰ τοῦ ὁμοίου, ἢ ἑνὸς ἢ πλειόνων, ὅταν λαβὼν τὸ καθόλου εἶτα συλλογίσηται τὰ κατὰ μέρος, διὰ παραδείγματος, τὰ δὲ δι' ἀναγκαίου καὶ ⟨ἀεὶ⟩ ὄντος διὰ τεκμηρίου, τὰ δὲ διὰ τοῦ καθόλου ἢ τοῦ ἐν μέρει ὄντος, ἐάν τε ὂν ἐάν τε μή, διὰ σημείων, τὸ δὲ εἰκὸς οὐ τὸ ἀεὶ ἀλλὰ τὸ ὡς ἐπὶ τὸ πολύ, φανερὸν ὅτι τὰ τοιαῦτα μὲν τῶν ἐνθυμημάτων ἀεὶ ἔστι λύειν φέροντα ἔνστασιν, ἡ δὲ λύσις φαινομένη ἀλλ' οὐκ ἀληθὴς ἀεί· οὐ γὰρ ὅτι οὐκ εἰκός, λύει ὁ ἐνιστάμενος, ἀλλ' ὅτι οὐκ ἀναγκαῖον. διὸ καὶ ἀεὶ ἔστι πλεονεκτεῖν ἀπολογούμενον μᾶλλον ἢ κατηγοροῦντα διὰ τοῦτον τὸν παραλογισμόν· ἐπεὶ γὰρ ὁ μὲν κατηγορῶν διὰ εἰκότων ἀποδείκνυσιν, ἔστι δὲ οὐ ταὐτὸ λῦσαι ἢ ὅτι οὐκ

11 ὅτι om. DE ‖ 12 συνετὸς pro αἰνετὸς coni. Vahlen ‖ 13 τεσσάρων et τέσσαρα ΘB ‖ 15 τὸ ante πολύ om. A^c ‖ 17 Aut alterum διὰ aut δι' ἐπαγωγῆς delendum censuit Vict. Et δι' ἐπαγωγῆς et totum membrum ὅταν . . . τὰ κατὰ μέρος probante Vatero in versione om. Muretus ‖ 18 τὸ κατὰ μέρος DE ‖ 19 δι'] λίαν A^c et Tr. ‖ ἀεὶ inseruit Vahlen ‖ διὰ post ὄντος om. ΘΠAld. ‖ 20 τοῦ ante ἐν μέρει om. ΘΠAld. ‖ 21 ἄν τε μή A^c ‖ τὸ δὲ εἰκὸς — 22 τὸ πολὺ ex margine inculcata male censet Vict. ‖ 22 τὸ ante πολύ om. Q cf. supra 15 ‖ 23 φέροντα] φανερὸν τὰ A^c ‖ 27 γὰρ post ἐπεὶ om. Q ‖ Pro ἐπεὶ καὶ coni. Bonitz, aliter Vahlen Poet. p. 117 ‖ 28 ἐπιδείκνυσιν Y^{b}Z^{b}BCDAld. Desideratur contrarium, quod propter verba, quae proxime antecedunt, vix potest abesse: ⟨ὁ δὲ ἀπολογούμενος, ὅτι οὐκ ἀναγκαῖον⟩, apta tum apodosis ὁ

Digitized by Google

εἰκὸς ἢ ὅτι οὐκ ἀναγκαῖον, ἀεὶ δ' ἔχει ἔνστασιν τὸ ὡς ἐπὶ τὸ πολύ· οὐ γὰρ ἂν ἦν ⟨ὡς ἐπὶ τὸ πολὺ καὶ⟩ εἰκὸς ἀλλ' ἀεὶ καὶ ἀναγκαῖον· ὁ δὲ κριτὴς οἴεται, ἂν οὕτω λυθῇ, ἢ οὐκ εἰκὸς εἶναι ἢ οὐχ αὐτῷ κριτέον, παραλογιζόμενος, ὥσπερ ἐλέγομεν· οὐ γὰρ ἐκ τῶν ἀναγκαίων δεῖ αὐτὸν μόνον κρίνειν, ἀλλὰ καὶ ἐκ τῶν εἰκότων· τοῦτο γάρ ἐστι τὸ γνώμῃ τῇ ἀρίστῃ κρίνειν· οὔκουν ἱκανὸν ἂν λύσῃ ὅτι οὐκ ἀναγκαῖον, ἀλλὰ δεῖ λύειν ὅτι οὐκ εἰκός. τοῦτο δὲ συμβήσεται, ἐὰν ᾖ ἡ ἔνστασις μᾶλλον ὡς ἐπὶ τὸ πολύ. ἐνδέχεται δὲ εἶναι τοιαύτην διχῶς, ἢ τῷ χρόνῳ ἢ τοῖς πράγμασιν, κυριώτατα δέ, εἰ ἀμφοῖν· εἰ γὰρ τὰ πλεονάκις οὕτως, τοῦτ' ἐστὶν εἰκὸς μᾶλλον. λύεται δὲ καὶ τὰ σημεῖα καὶ τὰ διὰ σημείου ἐνθυμήματα εἰρημένα, κἂν ᾖ ὑπάρχοντα, ὥσπερ ἐλέχθη ἐν τοῖς πρώτοις· ὅτι γὰρ ἀσυλλόγιστόν ἐστιν πᾶν σημεῖον, δῆλον ἡμῖν ἐκ τῶν ἀναλυτικῶν. πρὸς δὲ τὰ παραδειγματώδη ἡ αὐτὴ λύσις καὶ τὰ εἰκότα· ἐάν τε γὰρ ἔχωμεν ⟨ἕν⟩ τι οὐχ οὕτω, λέλυται, ὅτι οὐκ ἀναγκαῖον, εἰ καὶ τὰ πλείω ἢ πλεονάκις ἄλλως· ἐάν τε καὶ τὰ πλείω καὶ τὰ πλεονάκις οὕτω,

κριτὴς οἴεται. Cf. Mus. Rhen. N. F. XXXIX pag. 506 sqq. ‖ 30 οὐ γὰρ ἂν ἦν om. A^c ‖ οὐ γὰρ ἂν ἦν ⟨ὡς ἐπὶ τὸ πολὺ καὶ⟩ Vahlenius, quod recepi ‖ ἀλλὰ εἰ καὶ ἀναγκαῖον sic A^c ‖ 31 εὐθὺς ὁ κριτής DE, quod ante Vict. erat in excusis omnibus ‖ ἂν οὕτω (A^cDE) ἐλύθη libri omnes, εἰ οὕτως ἐλύθη Bekker[3], ἂν οὕτω λυθῇ Bonitz ‖ 32 αὐτῷ ex Tr. Vict., αὐτῷ libri omnes, „non ex eo iudicandum" vertit Muretus (?) ‖ 34 κρινεῖν proposuit Spengel ‖ οὐκοῦν A^cB ‖ 36 ἐνδέχεται γάρ Q ‖ τοιαῦτα διχῶς C ‖ 37 κυριώτατον ΘCDE Ald. ‖ 1403a, 1 πλειονάκις οὕτως A^c, unde εἰ γὰρ τὰ πλείω καὶ πλεονάκις οὕτω coni. Vict., ut infra ‖ 2 διὰ σημείων Tr. ‖ 5 παραδείγματα Θ (pr. Y^b) Tr. Ald., παραδείγματα καὶ παραδειγματώδη coni. Vict. ‖ 6 ἓν inseruit Vahlen ‖ 7 Sic recte locum distinxerunt Spengel Vahlen, cum antea legeretur: ἔχωμέν τι, οὐχ οὕτω λέλυται ..... τὰ πλεονάκις, οὕτω μαχετέον ..... ‖ ἢ καὶ πλείω QZ^b et sic Vict., ἢ κατὰ πλείω A^c, corruptum ex καὶ τὰ πλείω, quod recepi cf. 1396a, 6 ‖ 8 ἕναν δε A^c, ἐὰν δὲ libri omnes, τε dedit Spengel, ἐάν τε ⟨μὴ⟩ coni. Gomperz.

Digitized by Google

μαχετέον ἢ ὅτι τὸ παρὸν οὐχ ὅμοιον ἢ οὐχ ὁμοίως ἢ διαφορὰν γέ τινα ἔχει. τὰ δὲ τεκμήρια καὶ τεκμηριώδη ἐνθυμήματα κατὰ μὲν τὸ ἀσυλλόγιστον οὐκ ἔσται λῦσαι (δῆλον δὲ καὶ τοῦθ' ἡμῖν ἐκ τῶν ἀναλυτικῶν), λείπεται δ' ὡς οὐχ ὑπάρχει τὸ λεγόμενον δεικνύναι. εἰ δὲ φανερὸν καὶ ὅτι ὑπάρχει καὶ ὅτι τεκμήριον, ἄλυτον ἤδη γίγνεται τοῦτο· πάντα γὰρ γίγνεται ἀπόδειξις ἤδη φανερά.

26 τὸ δ' αὔξειν καὶ μειοῦν οὐκ ἔστιν ἐνθυμήματος στοιχεῖον· τὸ γὰρ αὐτὸ λέγω στοιχεῖον καὶ τόπον· ἔστιν γὰρ στοιχεῖον καὶ τόπος, εἰς ὃ πολλὰ ἐνθυμήματα ἐμπίπτει. τὸ δ' αὔξειν καὶ μειοῦν ἐστὶν [ἐνθυμήματα] πρὸς τὸ δεῖξαι ὅτι μέγα ἢ μικρόν, ὥσπερ καὶ ὅτι ἀγαθὸν ἢ κακὸν ἢ δίκαιον ἢ ἄδικον καὶ τῶν ἄλλων ὁτιοῦν. ταῦτα δ' ἐστὶν πάντα περὶ ἃ οἱ συλλογισμοὶ καὶ τὰ ἐνθυμήματα, ὥστ' εἰ μηδὲ τούτων ἕκαστον ἐνθυμήματος τόπος, οὐδὲ τὸ αὔξειν καὶ μειοῦν. οὐδὲ τὰ λυτικὰ ἐνθυμήματος εἶδός τι ἐστὶν [ἄλλο τῶν κατασκευαστικῶν]· δῆλον γὰρ ὅτι λύει μὲν ἢ δείξας ἢ ἔνστασιν ἐνεγκών, ἀνταποδεικνύουσιν δὲ τὸ ἀντικείμενον, οἷον εἰ ἔδειξε ὅτι γέγονεν, οὗτος ὅτι οὐ γέγονεν, εἰ δὲ ὅτι οὐ γέγονεν, οὗτος ὅτι γέγονεν. ὥστε αὕτη μὲν οὐκ ἂν εἴη ἡ διαφορά· τοῖς αὐτοῖς γὰρ χρῶνται ἀμφότεροι· ὅτι γὰρ οὐκ ἔστιν ἢ ἔστιν, ἐνθυμήματα φέρουσιν· ἡ δ' ἔνστασις οὐκ ἔστιν ἐνθύμημα, ἀλλὰ καθάπερ ἐν τοῖς τοπικοῖς τὸ εἰπεῖν δόξαν τινὰ ἐξ ἧς ἔσται δῆλον ὅτι οὐ συλλελόγισται ἢ ὅτι ψεῦδός τι εἴληφεν.

9 μάχεται ὄν A^c, μαχητέον QY^bΠAld. ‖ 11 ἔστι Y^bBC Tr. ‖ 13 οὐχ servaverunt BTr., om. cet. ‖ 16 ἀπόδειξις A^cTr. schol. Spengel, ἀποδείξει ceteri ‖ 17 ἐνθυμημάτων Tr. ‖ 20 ἐνθυμήματα omissum in Cod. Monac. (176) et a Mureto monente Spengelio seclusi ‖ 21 ὥσπερ om. Y^bB ‖ ἢ μικρὸν ἢ ὅτι ἀγαθόν C ‖ 25 ἐνθυμήματος εἶδος ex codd. (A^c) et Tr. Vict., ἐνθυμήματα εἶδος ΘE ‖ ἄλλο τῶν κατασκευαστικῶν om. A^cTr., secl. Spengel ‖ 26 ἢ ὁ δείξας A^cY^bZ^bΠAld. ‖ 27 ὁ ἔνστασιν BCE ‖ ἀνταποδείκνυσι DETr. schol. ‖ 29 ἡ ante διαφορά delendum censet Spengel ‖ 33 ἑξῆς A^cZ^bBE.

Digitized by Google

ἐπεὶ δὲ δὴ τρία ἐστὶν ἃ δεῖ πραγματευθῆναι περὶ τὸν λόγον, ὑπὲρ μὲν παραδειγμάτων καὶ γνωμῶν καὶ ἐνθυμη- 35
μάτων καὶ ὅλως τῶν περὶ τὴν διάνοιαν, ὅθεν τε εὑπορήσομεν καὶ ὡς αὐτὰ λύσομεν, εἰρήσθω ἡμῖν τοσαῦτα, λοιπὸν 1403b
δὲ διελθεῖν περὶ λέξεως καὶ τάξεως.

Γ. 5

Ἐπειδὴ τρία ἐστὶν ἃ δεῖ πραγματευθῆναι περὶ τὸν λόγον, ἓν μὲν ἐκ τίνων αἱ πίστεις ἔσονται, δεύτερον δὲ περὶ τὴν λέξιν, τρίτον δὲ πῶς χρὴ τάξαι τὰ μέρη τοῦ λόγου, περὶ μὲν τῶν πίστεων εἴρηται, καὶ ἐκ πόσων, ὅτι ἐκ τριῶν εἰσί, καὶ ταῦτα ποῖα, καὶ διὰ τί τοσαῦτα μόνα· ἢ γὰρ τῷ 10
αὐτοί τι πεπονθέναι οἱ κρίνοντες, ἢ τῷ ποιούς τινας ὑπολαμβάνειν τοὺς λέγοντας, ἢ τῷ ἀποδεδεῖχθαι πείθονται πάντες. εἴρηται δὲ καὶ τὰ ἐνθυμήματα, πόθεν δεῖ πορίζεσθαι· ἔστι γὰρ τὰ μὲν εἴδη τῶν ἐνθυμημάτων, τὰ δὲ τόποι. περὶ δὲ τῆς λέξεως ἐχόμενόν ἐστιν εἰπεῖν· οὐ γὰρ ἀπόχρη τὸ 15
ἔχειν ἃ δεῖ λέγειν, ἀλλ' ἀνάγκη καὶ ταῦτα ὡς δεῖ εἰπεῖν, καὶ συμβάλλεται πολλὰ πρὸς τὸ φανῆναι ποιόν τινα τὸν λόγον. τὸ μὲν οὖν πρῶτον ἐζητήθη κατὰ φύσιν, ὅ περ πέ-

34 Verbis ἐπεὶ δὲ δὴ (δὴ solus A°) τρία ἐστὶν ἃ δεῖ πραγματευθῆναι, quae in omnibus codicibus apparent, et λοιπὸν δὲ — τάξεως deletis totum locum sic legit Spengel: περὶ μὲν οὖν παραδειγμάτων — εἰρήσθω ἡμῖν τοσαῦτα probante Vahlenio, qui etiam καὶ ὅλως τῶν περὶ τὴν διάνοιαν delet ‖ 35 παραδείγματος QY^{b}BC ‖ 1403b, 1 αὐτὴν ΘBDEAld.

Liber III. „Tertius liber, quem nostratium quidam et temere et inepte Aristotelis esse negant, si quis alius, ingenuus philosophi nostri foetus est" Leonardus Spengelius ‖ 5 ἀριστοτέλους τέχνη ῥητορική γ̄ A°. Titulum om. Y^b et continuo tenore Z^b, continuat tenorem etiam N^a, qui in margine cum Q ἐντεῦθεν ἄρχονται λατῖνοι τοῦ τρίτου τῶν ῥητορικῶν ἀριστοτέλους βιβλίων ‖ 6 ἐπειδὴ δὲ Tr., ἐπεὶ δὲ Q, quod praefert Spengel ‖ 7 τὸ περὶ τὴν λέξιν schol., quod reponendum censet Spengel, cf. 1404a, 16 ‖ 10 ἐστὶ ΘΠ.

Digitized by Google

φυκε πρῶτον, αὐτὰ τὰ πράγματα ἐκ τίνων ἔχει τὸ πιθανόν,
20 δεύτερον δὲ τὸ ταῦτα τῇ λέξει διαθέσθαι, τρίτον δὲ τούτων
ὃ δύναμιν μὲν ἔχει μεγίστην, οὔπω δ' ἐπικεχείρηται, τὰ
περὶ τὴν ὑπόκρισιν. καὶ γὰρ εἰς τὴν τραγικὴν καὶ ῥαψῳδίαν
ὀψὲ παρῆλθεν· ὑπεκρίνοντο γὰρ αὐτοὶ τὰς τραγῳδίας οἱ
ποιηταὶ τὸ πρῶτον. δῆλον οὖν ὅτι καὶ περὶ τὴν ῥητορικήν
25 ἐστι τὸ τοιοῦτον ὥσπερ καὶ περὶ τὴν ποιητικήν, ὅ περ
ἕτεροί τινες ἐπραγματεύθησαν καὶ Γλαύκων ὁ Τήιος. ἔστιν
δὲ αὐτὴ μὲν ἐν τῇ φωνῇ, πῶς αὐτῇ δεῖ χρῆσθαι πρὸς
ἕκαστον πάθος, οἷον πότε μεγάλῃ καὶ πότε μικρᾷ καὶ μέσῃ,
καὶ πῶς τοῖς τόνοις, οἷον ὀξείᾳ καὶ βαρείᾳ καὶ μέσῃ, καὶ
30 ῥυθμοῖς τίσι πρὸς ἕκαστα. τρία γάρ ἐστιν περὶ ἃ σκοποῦ-
σιν· ταῦτα δ' ἐστὶ μέγεθος ἁρμονία ῥυθμός. τὰ μὲν οὖν
ἄθλα σχεδὸν ἐκ τῶν ἀγώνων οὗτοι λαμβάνουσιν, καὶ κα-
θάπερ ἐκεῖ μεῖζον δύνανται νῦν τῶν ποιητῶν οἱ ὑποκριταί,
καὶ κατὰ τοὺς πολιτικοὺς ἀγῶνας διὰ τὴν μοχθηρίαν τῶν
35 πολιτειῶν. οὔπω δὲ σύγκειται τέχνη περὶ αὐτῶν, ἐπεὶ καὶ
τὸ περὶ τὴν λέξιν ὀψὲ προῆλθεν· καὶ δοκεῖ φορτικὸν εἶναι,
1404a καλῶς ὑπολαμβανόμενον. ἀλλ' ὅλης οὔσης πρὸς δόξαν τῆς
πραγματείας τῆς περὶ τὴν ῥητορικήν, οὐκ ὀρθῶς ἔχοντος,
ἀλλ' ὡς ἀναγκαίου τὴν ἐπιμέλειαν ποιητέον, ἐπεὶ τό γε
δίκαιον μηδὲν πλείω ζητεῖν περὶ τὸν λόγον ἢ ὡς μήτε

21 τὸ περὶ Reizius Buhle (sine causa) ‖ 22 Pro ῥαψῳδίαν κωμῳδίαν Q. Verba καὶ ῥαψῳδίαν male inculcata esse suspicatur Spengel (vix recte) ‖ 23 αὐτοὶ Y^bQBC et sic pr. Vict., αὐτοῖς A^cTr., αὐτὰς Z^bDE ‖ 25 ὅ περ καὶ Tr. (M) ‖ 27 αὕτη schol., qui et μὲν om. Cf. Kayser, Jahn. Annal. 1870, p. 14 ‖ πῶς δὲ A^c (? Quint. XI, 3, 14 „In ea (voce) prima observatio est, qualem habeas, secunda, quo modo utaris") ‖ 28 πότε μέσῃ Y^bBCE ‖ 30 ἕκαστον ΘΠ ‖ περὶ ὧν ΘΠAld. Omissa praepositione & dubitanter coni. Spengel ‖ 33 νῦν om. ΘBCD Ald. ‖ 35 Propter 1404a, 8 διὰ τὴν τοῦ ἀκροατοῦ μοχθηρίαν exspectaveris potius cum Spengelio πολιτῶν. In lemmate scholii contra pro πολιτῶν πολιτειῶν scribendum, quod et interpretatur schol. et exhibet cod. Monac. 90 ‖ 1404a, 4 „nihil plus" (πλέον) Tr. (?).

Digitized by Google

λυπεῖν μήτ' εὐφραίνειν· δίκαιον γὰρ αὐτοῖς ἀγωνίζεσθαι 5
τοῖς πράγμασιν, ὥστε τἆλλα ἔξω τοῦ ἀποδεῖξαι περίεργα
ἐστίν· ἀλλ' ὅμως μέγα δύναται, καθάπερ εἴρηται, διὰ τὴν
τοῦ ἀκροατοῦ μοχθηρίαν. τὸ μὲν οὖν τῆς λέξεως ὅμως ἔχει
τι μικρὸν ἀναγκαῖον ἐν πάσῃ διδασκαλίᾳ· διαφέρει γάρ τι
πρὸς τὸ δηλῶσαι ὡδὶ ἢ ὡδὶ εἰπεῖν, οὐ μέντοι τοσοῦτον, 10
ἀλλ' ἅπαντα φαντασία ταῦτ' ἐστὶ καὶ πρὸς τὸν ἀκροατήν·
διὸ οὐδεὶς οὕτω γεωμετρεῖν διδάσκει. ἐκείνη μὲν οὖν ὅταν
ἔλθῃ ταὐτὸ ποιήσει τῇ ὑποκριτικῇ, ἐγκεχειρήκασιν δὲ ἐπ'
ὀλίγον περὶ αὐτῆς εἰπεῖν τινές, οἷον Θρασύμαχος ἐν τοῖς
ἐλέοις· καὶ ἔστιν φύσεως τὸ ὑποκριτικὸν εἶναι καὶ ἀτεχνό- 15
τερον, περὶ δὲ τὴν λέξιν ἔντεχνον. διὸ καὶ τοῖς τοῦτο δυνα-
μένοις γίνεται πάλιν ἄθλα, καθάπερ καὶ τοῖς κατὰ τὴν ὑπό-
κρισιν ῥήτορσιν· οἱ γὰρ γραφόμενοι λόγοι μεῖζον ἰσχύουσι
διὰ τὴν λέξιν ἢ διὰ τὴν διάνοιαν.

ἤρξαντο μὲν οὖν κινῆσαι τὸ πρῶτον, ὥσπερ πέφυκεν, 20
οἱ ποιηταί· τὰ γὰρ ὀνόματα μιμήματα ἐστίν, ὑπῆρξεν δὲ
καὶ ἡ φωνὴ πάντων μιμητικώτατον τῶν μορίων ἡμῖν· διὸ
καὶ αἱ τέχναι συνέστησαν ἥ τε ῥαψῳδία καὶ ἡ ὑποκριτικὴ
καὶ ἄλλαι γε. ἐπεὶ δ' οἱ ποιηταὶ λέγοντες εὐήθη διὰ τὴν
λέξιν ἐδόκουν πορίσασθαι τήνδε [τὴν] δόξαν, διὰ τοῦτο 25
ποιητικὴ πρώτη ἐγένετο λέξις, οἷον ἡ Γοργίου. καὶ νῦν
ἔτι οἱ πολλοὶ τῶν ἀπαιδεύτων τοὺς τοιούτους οἴονται δια-
λέγεσθαι κάλλιστα. τοῦτο δ' οὐκ ἔστιν, ἀλλ' ἑτέρα λόγου
καὶ ποιήσεως λέξις ἐστίν. δηλοῖ δὲ τὸ συμβαῖνον· οὐδὲ γὰρ

6 περιεργά ἐστιν legit A^c, non ut Bekkerus adnotavit, περιεργία, quod E Ald. exhibent ‖ 7 δύνανται Q ‖ 8 ὅμως om. Θ (Y^b pr.) C D E Tr. Ald., cf. praefat. p. XXXI ‖ 9 μικρὸν delet Kayser ‖ 14 θεόμαχος Q ‖ 15 ἀτεχνώτερον A^c ‖ 18 ἰσχυοῦσι A^c ‖ 22 μιμητικωτάτη Θ B E Ald. ‖ 24 τινὰ ἔχουσιν ἀήθη, ἤτοι λέξεις ἀήθεις καὶ παραξένους . . . τινὰ δὲ τῶν βιβλίων ἔχουσιν εὐήθη schol. Solus Victorii p. ἀήθη et marg. edit. Venet. ‖ 25 τὴν δὲ δόξαν A^c, τήνδε τὴν δόξαν ΘΠ. At τήνδε cum Spengelio delendum et τὴν scribendum videtur.

Digitized by Google

30 οἱ τὰς τραγῳδίας ποιοῦντες ἔτι χρῶνται τὸν αὐτὸν τρόπον, ἀλλ' ὥσπερ καὶ ἐκ τῶν τετραμέτρων εἰς τὸ ἰαμβεῖον μετέβησαν διὰ τὸ τῷ λόγῳ τοῦτο τῶν μέτρων ὁμοιότατον εἶναι τῶν ἄλλων, οὕτω καὶ τῶν ὀνομάτων ἀφείκασιν ὅσα παρὰ τὴν διάλεκτόν ἐστιν, οἷς [δ'] οἱ πρῶτοι ἐκόσμουν, καὶ ἔτι 35 νῦν οἱ τὰ ἑξάμετρα ποιοῦντες [ἀφείκασιν]. διὸ γελοῖον μιμεῖσθαι τούτους οἳ αὐτοὶ οὐκέτι χρῶνται ἐκείνῳ τῷ τρόπῳ, ὥστε φανερὸν ὅτι οὐχ ἅπαντα ὅσα περὶ λέξεως ἔστιν εἰπεῖν ἀκριβολογητέον ἡμῖν, ἀλλ' ὅσα περὶ τοιαύτης οἵας λέγομεν. περὶ δ' ἐκείνης εἴρηται ἐν τοῖς περὶ ποιητικῆς.

1404b ἔστω οὖν ἐκεῖνα τεθεωρημένα, καὶ ὡρίσθω λέξεως ἀρετὴ σαφῆ εἶναι· σημεῖον γὰρ ὅτι ὁ λόγος, ὡς ἐὰν μὴ δηλοῖ, 2 οὐ ποιήσει τὸ ἑαυτοῦ ἔργον· καὶ μήτε ταπεινὴν μήτε ὑπὲρ τὸ ἀξίωμα, ἀλλὰ πρέπουσαν· ἡ γὰρ ποιητικὴ ἴσως οὐ τα- 5 πεινή, ἀλλ' οὐ πρέπουσα λόγῳ. τῶν δ' ὀνομάτων καὶ ῥημάτων σαφῆ μὲν ποιεῖ τὰ κύρια, μὴ ταπεινὴν δὲ ἀλλὰ κεκοσμημένην τἄλλα ὀνόματα ὅσα εἴρηται ἐν τοῖς περὶ ποιητικῆς· τὸ γὰρ ἐξαλλάξαι ποιεῖ φαίνεσθαι σεμνοτέραν· ὥσπερ γὰρ πρὸς τοὺς ξένους οἱ ἄνθρωποι καὶ πρὸς τοὺς πολίτας, 10 τὸ αὐτὸ πάσχουσιν καὶ πρὸς τὴν λέξιν. διὸ δεῖ ποιεῖν ξένην τὴν διάλεκτον· θαυμασταὶ γὰρ τῶν ἀπόντων εἰσίν, ἡδὺ δὲ

31 καὶ om. Tr. ‖ 33 ἀφίκασιν A^c pr., nunc ex corr. rec. man. ἀφήκασιν, ἀφήκασι Z^b C E, ἀφήκαντο D Ald. ‖ 34 οἷς δ' οἱ πρῶτον libri omnes nisi quod „*quibus autem priores* (οἱ πρότερον) *ornabant*" Tr., unde οἱ πρότερον secluso δ' dedit Spengel (sed οἱ πρῶτοι verum videtur cf. praefat. pag. XVI) ‖ 35 νῦν οἱ] καὶ νῦν εἰς Θ B Ald. ‖ ἀφίκασιν A^c. Bekkerum secutus alterum ἀφείκασιν seclusi. Aliter Vahlen Poet. p. 12 ad 21 ‖ 36 „*si ipsi*" (εἰ) Tr. ‖ 1404b, 2 ὡς ex A^c recepit et defendit Spengel, om. cet., „*oratio, quaecunque non manifestaverit*" (ὃς ἂν) Tr., σημεῖον γὰρ ὁ λόγος, ὡς (= ὥστε), ἐὰν μὴ δηλοῖ, οὐ ποιήσει τὸ ἑαυτοῦ ἔργον coni. Madvig ‖ 7 καὶ κοσμημένην A^c ‖ 8 ἐξαλλάξαι schol. 51^b, 41, unde in marg. edit. Venet., pr. restituit Vict., ἐξαπαλάξαι Victorii cod. p., ἐξαλαπάξαι cet. omn. ‖ ὅπερ γάρ Y^b C et Bas. Isingr. ‖ 11 Sic ex codd. (A^c) et Tr. Vict., θαυμαστὴ γὰρ τῶν ἀπάντων ἐστὶν Θ (Y^b pr.) E.

Digitized by Google

τὸ θαυμαστόν ἐστιν. ἐπὶ μὲν οὖν τῶν μέτρων πολλά τε ποιεῖ τοῦτο καὶ ἁρμόττει ἐκεῖ· πλέον γὰρ ἐξέστηκεν περὶ ἃ καὶ περὶ οὓς ὁ λόγος· ἐν δὲ τοῖς ψιλοῖς λόγοις πολλῷ ἐλάττοσιν· ἡ γὰρ ὑπόθεσις ἐλάττων, ἐπεὶ καὶ ἐνταῦθα, εἰ δοῦλος καλλιεποῖτο ἢ λίαν νέος, ἀπρεπέστερον, ἢ περὶ λίαν μικρῶν· ἀλλ' ἔστι καὶ ἐν τούτοις ἐπισυστελλόμενον καὶ αὐξανόμενον τὸ πρέπον· διὸ δεῖ λανθάνειν ποιοῦντας, καὶ μὴ δοκεῖν λέγειν πεπλασμένως ἀλλὰ πεφυκότως· τοῦτο γὰρ πιθανόν, ἐκεῖνο δὲ τοὐναντίον· ὡς γὰρ πρὸς ἐπιβουλεύοντα διαβάλλονται, καθάπερ πρὸς τοὺς οἴνους τοὺς μεμιγμένους, καὶ οἷον ἡ Θεοδώρου φωνὴ πέπονθε πρὸς τὴν τῶν ἄλλων ὑποκριτῶν· ἡ μὲν γὰρ τοῦ λέγοντος ἔοικεν εἶναι, αἱ δ' ἀλλότριαι. κλέπτεται δ' εὖ, ἐάν τις ἐκ τῆς εἰωθυίας διαλέκτου ἐκλέγων συντιθῇ· ὅ περ Εὐριπίδης ποιεῖ καὶ ὑπέδειξε πρῶτος.

ὄντων δ' ὀνομάτων καὶ ῥημάτων ἐξ ὧν ὁ λόγος συνέστηκεν, τῶν δὲ ὀνομάτων τοσαῦτ' ἐχόντων εἴδη ὅσα τεθεώρηται ἐν τοῖς περὶ ποιητικῆς, τούτων γλώτταις μὲν καὶ διπλοῖς ὀνόμασι καὶ πεποιημένοις ὀλιγάκις καὶ ὀλιγαχοῦ χρηστέον (ὅπου δέ, ὕστερον ἐροῦμεν, τό τε διὰ τί εἴρηται· ἐπὶ τὸ μεῖζον γὰρ ἐξαλλάττει τοῦ πρέποντος), τὸ δὲ κύριον καὶ τὸ οἰκεῖον καὶ μεταφορὰ μόναι χρήσιμαι πρὸς τὴν τῶν

12 ἐστιν post θαυμαστόν ex A^c et Tr. recepi cum Gaisfordio, om. cet. ‖ 14 ἐλάττω εἰσὶν coni. Vict. in marg. commentarii, idem Muretus, unde Reizius et Buhleus receperunt, ἐν δὲ τοῖς ψιλοῖς λόγοις πολλῷ ἐλάττοσιν οὖκ Vater. Spengelius rem sibi expedisse videtur anacoluthon statuens, quod ipsum deleto vocabulo διὸ v. 18 tollitur (vix recte) ‖ 16 ἀπρεπέστερον· ἢ περὶ λίαν μικρῶν· sic interpungit A^c, cf. praefat. p. XIII. Verba ἢ περὶ λίαν μικρῶν male addita esse censet Spengelius (sed transponenda potius videntur, cum propter praecedens περὶ & ὁ λόγος non bene possint abesse) ‖ alt. λίαν om. ΘDEAld. ‖ 18 ποιοῦντος A^c ‖ 20 ἐκεῖ ΘBDEAld. ‖ ὥσπερ ΘCAld. ‖ ἐπιβουλεύοντας CTr. ‖ 28 περὶ ποιητικῆς scripsit Spengel, περὶ ποιήσεως libri omnes ‖ 30 τό τε] τὸ δὲ Tr. ‖ 32 μεταφοραὶ corr. Y^b BCTr. ‖ χρήσιμαι A^cC, χρήσιμοι cet. Ald. cf. 1355a, 20 ‖ μόνα χρήσιμα Winstanleus ad poet. p. 183.

Digitized by Google

ψιλῶν λόγων λέξιν. σημεῖον δ' ὅτι τούτοις μόνοις πάντες χρῶνται· πάντες γὰρ μεταφοραῖς διαλέγονται καὶ τοῖς οἰκεί-
35 οις καὶ τοῖς κυρίοις, ὥστε δῆλον ὡς ἂν εὖ ποιῇ τις, ἔσται τε ξενικὸν καὶ λανθάνειν ἐνδέχεται καὶ σαφηνιεῖ. αὕτη δ' ἦν ἡ τοῦ ῥητορικοῦ λόγου ἀρετή. τῶν δ' ὀνομάτων τῷ μὲν σοφιστῇ ὁμωνυμίαι χρήσιμοι (παρὰ ταύτας γὰρ κακουργεῖ), τῷ ποιητῇ δὲ συνωνυμίαι, λέγω δὲ κύριά τε καὶ συν-
1405a ώνυμα οἷον τὸ πορεύεσθαι καὶ τὸ βαδίζειν· ταῦτα γὰρ ἀμφότερα καὶ κύρια καὶ συνώνυμα ἀλλήλοις.

τί μὲν οὖν τούτων ἕκαστόν ἐστι, καὶ πόσα εἴδη μεταφορᾶς, καὶ ὅτι τοῦτο πλεῖστον δύναται καὶ ἐν ποιήσει καὶ
5 ἐν λόγοις, [αἱ μεταφοραί,] εἴρηται, καθάπερ ἐλέγομεν, ἐν τοῖς περὶ ποιητικῆς· τοσούτῳ δ' ἐν λόγῳ δεῖ μᾶλλον φιλοπονεῖσθαι περὶ αὐτῶν, ὅσῳ ἐξ ἐλαττόνων βοηθημάτων ὁ λόγος ἐστὶ τῶν μέτρων. καὶ τὸ σαφὲς καὶ τὸ ἡδὺ καὶ τὸ ξενικὸν ἔχει μάλιστα ἡ μεταφορά, καὶ λαβεῖν οὐκ ἔστιν αὐτὴν παρ'
10 ἄλλου. δεῖ δὲ καὶ τὰ ἐπίθετα καὶ τὰς μεταφορὰς ἁρμοττούσας λέγειν. τοῦτο δ' ἔσται ἐκ τοῦ ἀνάλογον· εἰ δὲ μή, ἀπρεπὲς φανεῖται διὰ τὸ παρ' ἄλληλα τὰ ἐναντία μάλιστα φαίνεσθαι. ἀλλὰ δεῖ σκοπεῖν, ὡς νέῳ φοινικίς, οὕτω γέ-

35 δῆλον μὲν Tr. ‖ 36 τε τὸ ΘΠ ‖ 38 περὶ ταύτας Θ Ald., quod probat Kayser ‖ 1405a, 1 πορεύεσθαί τε καὶ ΘBCE Ald. ‖ 2 καὶ ante κύρια om. C ‖ συνοίνυμα A^c corr. ead. man. ‖ 3 καὶ πόσα εἴδη καὶ ὅτι τούτων πλεῖστον δύνανται καὶ ἐν ποιήσει καὶ ἐν λόγοις αἱ μεταφοραὶ Bekk.[3] ex coniectura Spengelii ab auctore ipso nunc optime refutata. Monente Spengelio cum Vatero αἱ μεταφοραὶ seclusi, quod in A^c in fine puncto notatum est (an servato μεταφοραὶ τούτων — δύνανται? cf. Poet. 59a, 4) ‖ 6 οὕτω A^c, sed ante vacuum spatium, τοσούτῳ Vict., quod et habet Tr., τοσοῦτον ΘΠ ‖ ἐν λόγοις Θ (pr. Y^b) D E Ald. ‖ 7 ὅσον ΘΠ Ald. 8 καὶ τὸ ἡδὺ om. schol. ‖ 10 Iam h. l. in hac expositione de metaphora τὰ ἐπίθετα commemorari offendit; itaque καὶ τὰ ἐπίθετα Spengelii iudicio melius abesset ‖ 11 ἀνάλογον Q Z^b D ‖ 12 Ante ἀπρεπὲς μᾶλλον exspectaveris cum schol., cf. 1410a, 21. 1412b, 23 ‖ 13 νέοι φοίνικες οὐ τῶι γέροντι A^c, νέῳ cet. libri omnes, φοινικὶς BC et corr. Y^b, φοίνικες Q Z^b D E Ald. ‖ οὕτω

Digitized by Google

ροντι τί· οὐ γὰρ ἡ αὐτὴ πρέπει ἐσθής. καὶ ἐάν τε κοσμεῖν βούλῃ, ἀπὸ τοῦ βελτίονος τῶν ἐν ταὐτῷ γένει φέρειν τὴν μεταφοράν, ἐάν τε ψέγειν, ἀπὸ τῶν χειρόνων, λέγω δ' οἷον, ἐπεὶ τὰ ἐναντία ἐν τῷ αὐτῷ γένει, τὸ φάναι τὸν μὲν πτωχεύοντα εὔχεσθαι τὸν δὲ εὐχόμενον πτωχεύειν, ὅτι ἄμφω αἰτήσεις, τὸ εἰρημένον ἐστὶ ποιεῖν, ὡς καὶ Ἰφικράτης Καλλίαν μητραγύρτην ἀλλ' οὐ δᾳδοῦχον. ὁ δὲ ἔφη ἀμύητον αὐτὸν εἶναι· οὐ γὰρ ἂν μητραγύρτην αὐτὸν καλεῖν, ἀλλὰ δᾳδοῦχον· ἄμφω γὰρ περὶ θεόν, ἀλλὰ τὸ μὲν τίμιον τὸ δὲ ἄτιμον. καὶ ὁ μὲν διονυσοκόλακας, αὐτοὶ δ' αὐτοὺς τεχνίτας καλοῦσιν· ταῦτα δ' ἄμφω μεταφορά, ἡ μὲν ὑπαινόντων ἡ δὲ τοὐναντίον. καὶ οἱ μὲν λῃσταὶ αὐτοὺς ποριστὰς καλοῦσι νῦν· διὸ ἔξεστι λέγειν τὸν ἀδικήσαντα μὲν ἁμαρτάνειν, τὸν δ' ἁμαρτάνοντα ἀδικῆσαι, καὶ τὸν κλέψαντα καὶ λαβεῖν καὶ πορθῆσαι. τὸ δὲ ὡς ὁ Τήλεφος Εὐριπίδου φησί,

κώπης ἀνάσσων κἀποβὰς εἰς Μυσίαν,

ἀπρεπές, ὅτι μεῖζον τὸ ἀνάσσειν ἢ κατ' ἀξίαν· οὐ κέκλεπται οὖν. ἔστιν δὲ καὶ ἐν ταῖς συλλαβαῖς ἁμαρτία, ἐὰν μὴ ἡδείας ᾖ

15 20 25 30

γέροντί τι libri omnes, unde recentiores γέροντι τί ‖ 15 τοῦ βελτίονος A^c Tr. schol. et sic pr. Vict., ut 1405 b, 22, τῶν βελτιόνων cet. ‖ ταὐτῷ] τῷ ΘCDE Ald. ‖ 20 et 21 μιτραγύρτην QCDE et infra omnes Π ‖ 23 ὁ μὲν ex A^c et Tr. Vict., οἱ μὲν ΘΠ schol., an ὁ μὲν ⟨δῆμος⟩? ‖ διονυσοκόλακες Z^b DE Ald. ‖ 24 μεταφοραί Z^b Y^b DE Ald., μεταφορᾶς B ‖ 25 λῃσταὶ αὐτοὶ δὲ DE et sic in excusis ante Vict., qui primus verba sustulit. Perspicuum magis esset, si scripsisset καὶ οἱ μὲν λῃστάς, αὐτοὶ δὲ αὐτοὺς ποριστὰς καλοῦσι ‖ 28 πορθῆσαι aperte falsum est; unum verum puto, quod habet Tr. „et accipere et acquirere" sive in hoc verbo „acquirere" cum Buhleo πορίσαι vel πορίσασθαι sive aliud simile verbum latet; nam λαβεῖν ut 1374 a, 16 est ἀπὸ χείρονος sumptum, πορίσαι ἀπὸ βελτίονος, cf. Mus. Rhen. N. F. XXXIX p. 507 ‖ 29 κώπας ἀνάσσειν libri omnes praeter C, ubi κώπης ἀνάσσων et sic schol. Stephani p. 302. 304, ἀνάσσει Cobet. Collect. critica p. 197. Sed fortasse nihil laudaverat Aristot. nisi verba κώπης ἀνάσσειν, quae postea doctus aliquis continuavit, cuius rei exempla hic illic occurrunt in nostra rhetorica ‖ 30 τὸ ἀνάσσειν μεῖζον ΘΠ ‖ 31 ἁμαρτάνειν C, ἁμαρτία B γρ. ἁμαρτάνειν ‖ ᾖ ἡδείας ΘΠ.

Digitized by Google

σημεῖα φωνῆς, οἷον Διονύσιος προσαγορεύει ὁ χαλκοῦς ἐν τοῖς ἐλεγείοις κραυγὴν Καλλιόπης τὴν ποίησιν, ὅτι ἄμφω φωναί· φαύλη δὲ ἡ μεταφορὰ ταῖς ἀσήμοις φωναῖς. ἔτι δὲ
35 οὐ πόρρωθεν δεῖ ἀλλ' ἐκ τῶν συγγενῶν καὶ τῶν ὁμοειδῶν μεταφέρειν τὰ ἀνώνυμα ὠνομασμένως, ὃ λεχθὲν δῆλόν ἐστιν ὅτι συγγενές, οἷον ἐν τῷ αἰνίγματι τῷ εὐδοκιμοῦντι
1405b ἄνδρ' εἶδον πυρὶ χαλκὸν ἐπ' ἀνέρι κολλήσαντα·
ἀνώνυμον γὰρ τὸ πάθος, ἔστι δ' ἄμφω πρόσθεσίς τις· κόλλησιν τοίνυν εἶπε τὴν τῆς σικύας προσβολήν. καὶ ὅλως ἐκ τῶν εὖ ἠνιγμένων ἔστι μεταφορὰς λαβεῖν ἐπιεικεῖς· μετα-
5 φοραὶ γὰρ αἰνίττονται, ὥστε δῆλον ὅτι εὖ μετενήνεκται. καὶ ἀπὸ καλῶν· κάλλος δὲ ὀνόματος τὸ μὲν ὥσπερ Λικύμνιος λέγει, ἐν τοῖς ψόφοις ἢ τῷ σημαινομένῳ, καὶ αἶσχος δὲ ὡσαύτως. ἔτι δὲ τρίτον, ὃ λύει τὸν σοφιστικὸν λόγον· οὐ γὰρ ὡς ἔφη Βρύσων οὐθένα αἰσχρολογεῖν, εἴπερ τὸ αὐτὸ
10 σημαίνει τόδε ἀντὶ τοῦδε εἰπεῖν· τοῦτο γάρ ἐστιν ψεῦδος· ἔστιν γὰρ ἄλλο ἄλλου κυριώτερον καὶ ὡμοιωμένον μᾶλλον καὶ οἰκειότερον τῷ ποιεῖν τὸ πρᾶγμα πρὸ ὀμμάτων. ἔτι οὐχ ὁμοίως ἔχον σημαίνει τόδε καὶ τόδε, ὥστε καὶ οὕτως ἄλλου ἄλλο κάλλιον καὶ αἴσχιον θετέον· ἄμφω μὲν γὰρ τὸ καλὸν
15 ἢ τὸ αἰσχρὸν σημαίνουσιν, ἀλλ' οὐχ ᾗ καλὸν ἢ οὐχ ᾗ αἰσχρόν· ἢ ταῦτα μέν, ἀλλὰ μᾶλλον καὶ ἧττον. τὰς δὲ μεταφορὰς ἐντεῦθεν οἰστέον, ἀπὸ καλῶν ἢ τῇ φωνῇ ἢ τῇ

32 De verborum collocatione Διονύσιος προσαγορεύει ὁ χαλκοῦς cf. 1400a, 10 ‖ 33 κραυγὴν καὶ καλλιόπης A^c (? et infra numerus pluralis ταῖς ἀσήμοις φωναῖς) ‖ 35 δεῖ ἀλλ' ἐκ τῶν] διαλέκτων A^c ‖ ὁμοειδῶν] ὁμογενῶν pr. Y^b D ‖ 1405b, 1 πυρίχαλκον libri omnes, seiunxit pr. Vict. ‖ 5 μεταφορᾷ coni. Vict. ‖ 7 λέγειν A^c D E Ald. ‖ „in sono" (ψόφῳ) Tr. ‖ 9 ὡς om. A^c. Ceterum totus locus nondum certa coniectura sanatus. Nam desideratur ipsum illud tertium, quod diserte ab Aristotele dici debebat ‖ 10 τόδε ἀντὶ τοῦδε ex A^c recepit Spengel, ἀντὶ τοῦ τόδε cet., quam varietatem etiam schol. laudat ‖ 13 ἔχων ΘBC ‖ 14 ἄλλο ἄλλου ΘΠ, ἄλλο ἄλλο sic A^c, corr. ead. man. ‖ 15 prius ἢ ex A^c et Tr. Spengel, καὶ ΘΠ.

Digitized by Google

δυνάμει ἢ τῇ ὄψει ἢ ἄλλῃ τινὶ αἰσθήσει. διαφέρει δ' εἰπεῖν, οἷον ῥοδοδάκτυλος ἠὼς μᾶλλον ἢ φοινικοδάκτυλος, ἢ ἔτι φαυλότερον ἐρυθροδάκτυλος. καὶ ἐν τοῖς ἐπιθέτοις 20 ἔστιν μὲν τὰς ἐπιθέσεις ποιεῖσθαι ἀπὸ φαύλου ἢ αἰσχροῦ, οἷον ὁ μητροφόντης, ἔστι δ' ἀπὸ τοῦ βελτίονος, οἷον ὁ πατρὸς ἀμύντωρ· καὶ ὁ Σιμωνίδης, ὅτε μὲν ἐδίδου μισθὸν ὀλίγον αὐτῷ ὁ νικήσας τοῖς ὀρεῦσιν, οὐκ ἤθελε ποιεῖν ὡς δυσχεραίνων εἰς ἡμιόνους ποιεῖν, ἐπεὶ δ' ἱκανὸν ἔδωκεν, 25 ἐποίησε

χαίρετ' ἀελλοπόδων θύγατρες ἵππων·

καίτοι καὶ τῶν ὄνων θυγατέρες ἦσαν. ἔτι τὸ αὐτὸ ὑποκορίζεσθαι· ἔστιν δὲ ὁ ὑποκορισμὸς ὃς ἔλαττον ποιεῖ καὶ τὸ κακὸν καὶ τὸ ἀγαθόν, ὥσπερ καὶ ὁ Ἀριστοφάνης σκώπτει 30 ἐν τοῖς Βαβυλωνίοις, ἀντὶ μὲν χρυσίου χρυσιδάριον, ἀντὶ δ' ἱματίου ἱματιδάριον, ἀντὶ δὲ λοιδορίας λοιδορημάτιον καὶ νοσημάτιον. εὐλαβεῖσθαι δὲ δεῖ καὶ παρατηρεῖν ἐν ἀμφοῖν τὸ μέτριον.

3 τὰ δὲ ψυχρὰ ἐν τέτταρσι γίγνεται κατὰ τὴν λέξιν, ἓν τε τοῖς διπλοῖς ὀνόμασιν, οἷον Λυκόφρων τὸν πολυπρόσωπον 35 οὐρανὸν τῆς μεγαλοκορύφου γῆς καὶ ἀκτὴν δὲ στενοπόρον, καὶ ὡς Γοργίας [ὠνόμαζεν] πτωχόμουσος κόλαξ, ἐπιορκήσαντας καὶ κατευορκήσαντας. καὶ ὡς Ἀλκιδάμας μένους μὲν 1406 a τὴν ψυχὴν πληρουμένην, πυρίχρων δὲ τὴν ὄψιν γιγνομένην, καὶ τελεσφόρον ᾠήθη τὴν προθυμίαν αὐτῶν γενήσεσθαι, καὶ τελεσφόρον τὴν πειθὼ τῶν λόγων κατέστησεν, καὶ κυανό-

27 θυγατέρες ΘΕ ‖ 28 ὑπ' ὀρκίζεσθαι et ὑπορκισμός A° ‖ 30 ὁ om. ΘΒΕ ‖ „et Aristophanes irridens" (σκώπτων) Tr. (nescio an recte) ‖ 32 ἀντὶ νοσήματος νοσημάτιον C, καὶ νοσημάτιον om. Tr. ‖ 33 δεῖ om. Q ‖ ἐν ἀμφοῖν om. DAld. ‖ 34 γίνονται ΘBCAld. ‖ 36 μελανοκορύφου schol. et cod. graec. Monac. 90 ‖ 37 ὠνόμαζεν seclusi, cf. Mus. Rhen. l. l. pag. 496 ‖ ἐπιορκίσαντας καὶ κατευορκίσαντας E et sic editiones omnes ante Bekkerum praeter Camot. et schol. graec., κατεπιορκήσαντας coni. Lobeck, πτωχομουσοκόλακας.... καὶ εὐορκήσαντας coni. Vahlen ‖ 1406 a, 1 μὲν οὖς A°.

Digitized by Google

χρων τὸ τῆς θαλάττης ἔδαφος· πάντα ταῦτα γὰρ ποιητικὰ διὰ τὴν δίπλωσιν φαίνεται. μία μὲν οὖν αὕτη αἰτία, μία δὲ τὸ χρῆσθαι γλάτταις, οἷον Λυκόφρων Ξέρξην πέλωρον ἄνδρα, καὶ Σκίρων σίννις ἀνήρ, καὶ Ἀλκιδάμας ἄθυρμα τῇ ποιήσει, καὶ τὴν τῆς φύσεως ἀτασθαλίαν, καὶ ἀκράτῳ τῆς διανοίας ὀργῇ τεθηγμένον. τρίτον δ' ἐν τοῖς ἐπιθέτοις τὸ ἢ μακροῖς ἢ ἀκαίροις ἢ πυκνοῖς χρῆσθαι· ἐν μὲν γὰρ ποιήσει πρέπει γάλα λευκὸν εἰπεῖν, ἐν δὲ λόγῳ τὰ μὲν ἀπρεπέστερα, τὰ δέ, ἂν ᾖ κατακορῆ, ἐξελέγχει καὶ ποιεῖ φανερὸν ὅτι ποίησις ἐστίν, ἐπεὶ δεῖ γε χρῆσθαι αὐτοῖς· ἐξ- αλλάττει γὰρ τὸ εἰωθὸς καὶ ξενικὴν ποιεῖ τὴν λέξιν. ἀλλὰ δεῖ στοχάζεσθαι τοῦ μετρίου, ἐπεὶ μεῖζον ποιεῖ κακὸν τοῦ εἰκῇ λέγειν· ἡ μὲν γὰρ οὐκ ἔχει τὸ εὖ, ἡ δὲ τὸ κακῶς. διὸ τὰ Ἀλκιδάμαντος ψυχρὰ φαίνεται· οὐ γὰρ ἡδύσματι χρῆται ἀλλ' ὡς ἐδέσματι τοῖς ἐπιθέτοις, οὕτω πυκνοῖς καὶ μείζοσι καὶ ἐπὶ δήλοις, οἷον οὐχ ἱδρῶτα ἀλλὰ τὸν ὑγρὸν ἱδρῶτα, καὶ οὐκ εἰς Ἴσθμια ἀλλ' εἰς τὴν τῶν Ἰσθμίων πανήγυριν, καὶ οὐχὶ νόμους ἀλλὰ τοὺς τῶν πόλεων βασιλεῖς νομίμους, καὶ οὐ δρόμῳ ἀλλὰ δρομαίᾳ τῇ τῆς ψυχῆς ὁρμῇ, καὶ οὐχὶ μουσεῖον ἀλλὰ τὸ τῆς φύσεως παραλαβὼν

5 τῆς θαλάττης ex A^c et Tr. Vict., θεττάλοῦ Q, θεττάλου Y^b Z^b B D, C in marg. γρ. θεττάλου ‖ πάντα ταῦτα γὰρ ex A^c recepi, cf. 1406 b, 22, πάντα γὰρ ταῦτα ΘΠ ‖ 7 πέλωρον A^c et Tr., τὸν πελώριον ΘΠ schol., cf. 1408 b, 13 ‖ 8 σίννις] οἰνὶς A^c, σίννος B, σινὶς C schol. ‖ 9 ἀκράτῳ ex A^c Vict., ἀκράτωρ ΘE Ald. ‖ 13 κατακορῆι A^c ‖ 14 ποιήσεως Q ‖ αὐτοῖς scripsi Tr. secutus, αὐτῶι A^c, αὐτῇ ΘΠ ‖ 18 ἡδύσματι et ἐδέσματι ex A^c Vict., ἡδύσμασι D E, ἐδέσματα Z^b, ἐδέσμασι D E, ὡς ἡδύσματι Tr., ὡς ἡδύσμασι schol. ‖ 20 ἐπὶ δήλοις dedit Bernays, ἐπιδήλοις libri 21 ἱδρῶντα A^c ‖ 22 νόμον A^c ‖ τοὺς om. A^c ‖ Lectionem Victorii βασιλεῖς νομίμους ex A^c et Tr. restitutam secutus sum, cet. omnes βασιλεῖς νόμους, quod receperunt recentiores ‖ 23 δρόμῳ ex codd. (A^c) Vict., δρομαῖαι Q Z^b D, unde edit. vet. δρομαίᾳ, δρομαῖα E ‖ δρομαίᾳ] δρομαῖαι Q D, δρομαῖα E. Verbis οὐ δρόμῳ et οὐχὶ μουσεῖον deletis haec duo exempla in unum coniungit Vahlen: δρομαίᾳ τῇ τῆς ψυχῆς ὁρμῇ τὸ τῆς φύσεως παραλαβὼν (vel potius cum A^c περιλαβὼν) μουσεῖον. Et animad-

Digitized by Google

μουσεῖον, καὶ σκυθρωπὸν τὴν φροντίδα τῆς ψυχῆς, καὶ 25
οὐ χάριτος ἀλλὰ πανδήμου χάριτος δημιουργὸς καὶ οἰκονό-
μος τῆς τῶν ἀκουόντων ἡδονῆς, καὶ οὐ κλάδοις ἀλλὰ τοῖς
τῆς ὕλης κλάδοις ἀπέκρυψεν, καὶ οὐ τὸ σῶμα παρήμπισχεν
ἀλλὰ τὴν τοῦ σώματος αἰσχύνην, καὶ ἀντίμιμον τὴν τῆς
ψυχῆς ἐπιθυμίαν (τοῦτο δ' ἅμα καὶ διπλοῦν καὶ ἐπίθετον, 30
ὥστε ποίημα γίνεται), καὶ οὕτως ἕξεδρον τὴν τῆς μοχθηρίας
ὑπερβολήν. διὸ ποιητικῶς λέγοντες τῇ ἀπρεπείᾳ τὸ γελοῖον
καὶ τὸ ψυχρὸν ἐμποιοῦσι, καὶ τὸ ἀσαφὲς διὰ τὴν ἀδολε-
σχίαν· ὅταν γὰρ γιγνώσκοντι ἐπεμβάλλῃ, διαλύει τὸ σαφὲς
τῷ ἐπισκοτεῖν· οἱ δ' ἄνθρωποι τοῖς διπλοῖς χρῶνται, ὅταν 35
ἀνώνυμον ᾖ καὶ ὁ λόγος εὐσύνθετος, οἷον τὸ χρονοτριβεῖν·
ἀλλ' ἂν πολύ, πάντως ποιητικόν. διὸ χρησιμωτάτη ἡ διπλῆ 1406b
λέξις τοῖς διθυραμβοποιοῖς· οὗτοι γὰρ ψοφώδεις· αἱ δὲ
γλῶτται τοῖς ἐποποιοῖς· σεμνὸν γὰρ καὶ αὔθαδες· ἡ μετα-
φορὰ δὲ τοῖς ἰαμβείοις· τούτοις γὰρ νῦν χρῶνται, ὥσπερ
εἴρηται. καὶ ἔτι τέταρτον τὸ ψυχρὸν ἐν ταῖς μεταφοραῖς 5
γίνεται· εἰσὶν γὰρ καὶ μεταφοραὶ ἀπρεπεῖς, αἱ μὲν διὰ τὸ
γελοῖον (χρῶνται γὰρ καὶ οἱ κωμῳδοποιοὶ μεταφοραῖς), αἱ
δὲ διὰ τὸ σεμνὸν ὄγκον καὶ τραγικόν· ἀσαφεῖς δέ, ἂν πόρ-

vertendum quidem est et hic et in sequenti expositione ne unum quidem nomen apposita negatione commemorari a scholiasta ‖ 25 *εἰ* in *μουσεῖον* corr. A°, „*sed naturam obtinens museum*“ (?) Tr. ‖ *καὶ οὐ σκυθρωπὸν*, *ἀλλὰ* coni. Spengel, *καὶ οὐχὶ φροντίδα*, *ἀλλὰ σκυθρωπὸν* coni. Sauppe (quod non necessarium esse ostendit Vahlen) ‖ 26 *οἰκονομία* DAld. et schol. 55b, 12, qui tamen interpretatur: *ὁ ῥήτωρ λέγεται οἰκονόμος τῆς τῶν ἀκουσάντων ἡδονῆς* ‖ 27 *τοῖς* om. ΘDE ‖ *καὶ οὐ κλάδοις*, *ἀλλὰ τοῖς τῆς ὕλης κλάδοις παρήμπισχε καὶ οὐ τὸ σῶμα*, *ἀλλὰ τὴν τοῦ σώματος αἰσχύνην* coni. Vahlen ‖ 29 *ἀντίμιμον* C et *γρ.* Y^b et sic ex schol. in marg. edit. Venet. pr. dedit Vict., *τίμιον* cet. omnes et Tr. ‖ 31 *ἕξεδρον* ex schol. pr. Vict., *ἐξεῦρον* libri omnes et Tr. ‖ 34 *ἐπεμβάλῃ ΘΠ* schol. ‖ 35 *ἐπισκοπεῖν* QTr. (ut supra 1454b, 11) ‖ 1406b, 1 *χρησιμώτατον* ΘDE ‖ 3 *ἡ* ante *μεταφορά* om. *ΘΠ* ‖ 4 *δὲ* om. A° et secl. Spengel. Sed dubitari licet, utrum totum membrum Aristotelis sit an ex Poet. 22. 1459a, 10 sqq. falso huc illatum. Cf. et Poet. 24. 1459b, 34.

Digitized by Google

ρωθεν. οἷον Γοργίας χλωρὰ καὶ ἔναιμα τὰ πράγματα· σὺ
10 δὲ ταῦτα αἰσχρῶς [μὲν] ἔσπειρας κακῶς δὲ ἐθέρισας· ποιητικῶς γὰρ ἄγαν. καὶ ὡς Ἀλκιδάμας τὴν φιλοσοφίαν ἐπιτείχισμα τῶν νόμων, καὶ τὴν Ὀδύσσειαν καλὸν ἀνθρωπίνου βίου κάτοπτρον, καὶ οὐδὲν τοιοῦτον ἄθυρμα τῇ ποιήσει προσφέρων· ἅπαντα γὰρ ταῦτα ἀπίθανα διὰ τὰ εἰρη-
15 μένα. τὸ δὲ Γοργίου εἰς τὴν χελιδόνα, ἐπεὶ κατ' αὐτοῦ πετομένη ἀφῆκε τὸ περίττωμα, ἄριστα τῶν τραγικῶν· εἶπε γὰρ αἰσχρόν γε ὦ Φιλομήλα. ὄρνιθι μὲν γάρ, εἰ ἐποίησεν, οὐκ αἰσχρόν, παρθένῳ δὲ αἰσχρόν. εὖ οὖν ἐλοιδόρησεν εἰπὼν ὃ ἦν, ἀλλ' οὐχ ὃ ἔστιν.

20 ἔστιν δὲ καὶ ἡ εἰκὼν μεταφορά· διαφέρει γὰρ μικρόν· 4
ὅταν μὲν γὰρ εἴπῃ τὸν Ἀχιλλέα

ὡς δὲ λέων ἐπόρουσεν,

εἰκών ἐστιν, ὅταν δὲ λέων ἐπόρουσε, μεταφορά· διὰ τὸ γὰρ ἄμφω ἀνδρείους εἶναι, προσηγόρευσεν μετενέγκας λέοντα τὸν Ἀχιλλέα. χρήσιμον δὲ ἡ εἰκὼν καὶ ἐν λόγῳ, ὀλιγάκις
25 δέ· ποιητικὸν γάρ. οἱστέαι δὲ ὥσπερ αἱ μεταφοραί· μεταφοραὶ γάρ εἰσι διαφέρουσαι τῷ εἰρημένῳ. εἰσὶν δ' εἰκόνες οἷον ἡν Ἀνδροτίων εἰς Ἰδριέα, ὅτι ὅμοιος τοῖς ἐκ τῶν δεσμῶν κυνιδίοις· ἐκεῖνά τε γὰρ προσπίπτοντα δάκνει, καὶ Ἰδριέα λυθέντα ἐκ τῶν δεσμῶν εἶναι χαλεπόν. καὶ ὡς
30 Θεοδάμας εἴκαζεν Ἀρχίδαμον Εὐξένῳ γεωμετρεῖν οὐκ ἐπισταμένῳ ἐν τῷ ἀνάλογον· ἔσται γὰρ καὶ ὁ Εὔξενος Ἀρχίδαμος γεωμετρικός. καὶ τὸ ἐν τῇ πολιτείᾳ τῇ Πλάτωνος, ὅτι οἱ τοὺς τεθνεῶτας σκυλεύοντες ἐοίκασι τοῖς κυνιδίοις,

9 ἄναιμα ΘBC ‖ 10 μὲν om. A^c et Tr. et secl. Spengel ‖ 13 τοιοῦτον om. Tr. ‖ 16 εἶπε] ἐπεὶ A^c ‖ 22 ὅταν] ὅτι ΘΠ ‖ διὰ γὰρ τὸ ΘΠ, cf. variet. ad 1406a, 5 ‖ 23 μετενεγκὼν ΘΠ ‖ λέοντα om. C ‖ 27 ἦν Y^bZ^b, ἦν DE ‖ 28 Post δεσμῶν addit ἀφετοῖς Faber ‖ δάκνειν coni. Faber et Gaisford, cf. variet. ad 1377a, 15 ‖ 31 καὶ ἐκ τοῦ ἀνάλογον ΘΠTr. ‖ ἔστι ΘDEAld. ‖ 32 πολιτίδι A^c (quod nihil aliud est, quam ΠΟΛΙΤΙΑΙ archetypi) et hoc, nisi fallor, falso correctum in ΘΠ πολιτεία διὰ τοῦ.

Digitized by Google

ἃ τοὺς λίθους δάκνει τοῦ βάλλοντος οὐχ ἁπτόμενα. καὶ ἡ εἰς τὸν δῆμον, ὅτι ὅμοιος ναυκλήρῳ ἰσχυρῷ μὲν ὑπο- 35
κώφῳ δέ. καὶ ἡ εἰς τὰ μέτρα τῶν ποιητῶν, ὅτι ἔοικε τοῖς ἄνευ κάλλους ὡραίοις· οἱ μὲν γὰρ ἀπανθήσαντες, τὰ δὲ διαλυθέντα οὐχ ὅμοια φαίνεται. καὶ ἡ Περικλέους εἰς Σα- 1407 a
μίους, ἐοικέναι αὐτοὺς τοῖς παιδίοις ἃ τὸν ψωμὸν δέχεται μέν, κλαίοντα δέ. καὶ εἰς Βοιωτούς, ὅτι ὅμοιοι τοῖς πρίνοις· τούς τε γὰρ πρίνους ὑφ' αὑτῶν κατακόπτεσθαι, καὶ τοὺς Βοιωτοὺς πρὸς ἀλλήλους μαχομένους. καὶ ἡ Δημοσθένους 5
⟨εἰς⟩ τὸν δῆμον, ὅτι ὅμοιός ἐστιν τοῖς ἐν τοῖς πλοίοις ναυτιῶσιν. καὶ ὡς Δημοκράτης εἴκασεν τοὺς ῥήτορας ταῖς τίτθαις αἳ τὸ ψώμισμα καταπίνουσαι τῷ σιάλῳ τὰ παιδία παραλείφουσιν. καὶ ὡς Ἀντισθένης Κηφισόδοτον τὸν λεπτὸν λιβανωτῷ εἴκασεν, ὅτι ἀπολλύμενος εὐφραίνει. πάσας γὰρ 10
ταύτας καὶ ὡς εἰκόνας καὶ ὡς μεταφορὰς ἔξεστι λέγειν, ὥστε ὅσαι ἂν εὐδοκιμῶσιν ὡς μεταφοραὶ λεχθεῖσαι, δῆλον ὅτι αὗται καὶ εἰκόνες ἔσονται, καὶ αἱ εἰκόνες μεταφοραὶ λόγου δεόμεναι. ἀεὶ δὲ δεῖ τὴν μεταφορὰν τὴν ἐκ τοῦ ἀνάλογον ἀνταποδιδόναι καὶ ἐπὶ θάτερα [καὶ ἐπὶ] τῶν ὁμο- 15
γενῶν, οἷον εἰ ἡ φιάλη ἀσπὶς Διονύσου, καὶ τὴν ἀσπίδα ἁρμόττει λέγεσθαι φιάλην Ἄρεως.

5 ὁ μὲν οὖν λόγος συντίθεται ἐκ τούτων, ἔστι δ' ἀρχὴ τῆς λέξεως τὸ ἑλληνίζειν· τοῦτο δ' ἐστὶν ἐν πέντε, πρῶτον 20

34 τῶν βαλλόντων ΘΠTr. ‖ καὶ ἡ pr. ex A^c et Tr. Vict., καὶ ὡς ὁ δημοσθένης ΘΠ ‖ 35 ὑποκύφῳ QZ^bDEAld. ‖ 36 ἡ supra lineam A^c et abesse potest, ut infra 1407 a, 2 ‖ 37 ἀπανθίσαντες A^c ‖ 1407 a, 3 „plorant autem" (κλαίει δὲ) Tr. (?) ‖ 5 Sic locum correxit Spengel, καὶ ὁ δημοσθένης τὸν δῆμον libri omnes. An καὶ ὁ Δημοσθένης τὸν δῆμον (scil. εἶπε ut supra 1406 b, 21)? ‖ 7 ὁ Δημοκράτης ΘΠAld. ‖ 8 τιτθαῖς A^c ‖ 9 γρ. τῷ λεπτῷ Y^b, quae varietas occurrit etiam apud schol. ‖ 10 πάσας δὲ Tr. (recte, nisi fallor) ‖ 13 μεταφορᾶς A^c ‖ 15 ἐπὶ θατέρου Z^bAld., καὶ ἐπὶ delevit Bernays, καὶ ἐπὶ τῶν ὁμογενῶν expungit Vater ‖ 17 Ἄρεως A^c ut 1412 b, 34. 1413 a, 6. 1457 b, 22 et 32, Ἄρεος ceteri.

Digitized by Google

μὲν ἐν τοῖς συνδέσμοις, ἂν ἀποδιδῷ τις ὡς πεφύκασι πρότεροι καὶ ὕστεροι γίγνεσθαι ἀλλήλων, οἷον ἔνιοι ἀπαιτοῦσιν, ὥσπερ ὁ μέν καὶ ὁ ἐγὼ μέν ἀπαιτεῖ τὸν δέ καὶ τὸν ὁ δέ· δεῖ δὲ ἕως μέμνηται ἀνταποδιδόναι ἀλλήλοις, καὶ μήτε μα-
25 κρὰν ἀπαρτᾶν μήτε σύνδεσμον πρὸ συνδέσμου ἀποδιδόναι τοῦ ἀναγκαίου· ὀλιγαχοῦ γὰρ ἁρμόττει. ἐγὼ δ', ἐπεί μοι εἶπεν (ἦλθε γὰρ Κλέων δεόμενός τε καὶ ἀξιῶν), ἐπορευόμην παραλαβὼν αὐτούς. ἐν τούτοις γὰρ πολλοὶ πρὸ τοῦ ἀποδοθησομένου συνδέσμου προεμβέβληνται σύνδεσμοι· ἐὰν δὲ πολὺ
30 τὸ μεταξὺ γένηται τοῦ ἐπορευόμην, ἀσαφές. ἐν μὲν δὴ τὸ εὖ ἐν τοῖς συνδέσμοις, δεύτερον δὲ τὸ τοῖς ἰδίοις ὀνόμασι λέγειν καὶ μὴ τοῖς περιέχουσιν. τρίτον μὴ ἀμφιβόλοις· ταῦτα δέ, ἂν μὴ τἀναντία προαιρῆται, ὅ περ ποιοῦσιν ὅταν μηθὲν μὲν ἔχωσι λέγειν, προσποιῶνται δέ τι λέγειν· οἱ γὰρ τοι-
35 οῦτοι ἐν ποιήσει λέγουσιν ταῦτα, οἷον Ἐμπεδοκλῆς· φενακίζει γὰρ τὸ κύκλῳ πολὺ ὄν, καὶ πάσχουσιν οἱ ἀπροαταὶ ὅ περ οἱ πολλοὶ παρὰ τοῖς μάντεσιν· ὅταν γὰρ λέγωσιν ἀμφίβολα, συμπαρανεύουσιν,

Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει.

1407b καὶ διὰ τὸ ὅλως ἔλαττον εἶναι ἁμάρτημα διὰ τῶν γενῶν τοῦ πράγματος λέγουσιν οἱ μάντεις· τύχοι γὰρ ἄν τις μᾶλλον ἐν τοῖς ἀρτιασμοῖς ἄρτια ἢ περισσὰ εἰπὼν μᾶλλον ἢ πόσα ἔχει, καὶ τὸ ὅτι ἔσται ἢ τὸ πότε, διὸ οἱ χρησμολόγοι
5 οὐ προσορίζονται τὸ πότε. ἅπαντα δὴ ταῦτα ὅμοια, ὥστ' ἂν μὴ τοιούτου τινὸς ἕνεκα, φευκτέον. τέταρτον, ὡς Πρω-

23 ὁ ante δὲ om. A^c Tr. ‖ 27 ἦλθέ τε γὰρ Θ (pr. Y^b) E Ald. ‖ καὶ κλέων Z^b et pr. Y^b ‖ κλέων] κλαίων schol. ‖ 28 αὐτόν C ‖ ἐν τούτω corr. Y^b B ‖ 29 ἂν δὲ ΘΠ ‖ 33 ὁ περιποιοῦσι A^c ‖ 34 ἔχωσι ν supra lineam addit A^c ‖ 35 ἐν ποιήσει libri omnes, ἐν προαιρέσει coni. Vict., „in fictione dicunt haec" Tr., unde ἐν προσποιήσει Morelius ‖ 37 γὰρ om. ΘΠ ‖ 1407b, 1 γενῶν ex codd. (A^c) et Tr. Vict., λοξῶν DE ‖ 2 μᾶλλον om. ΘΠ Ald. ‖ 5 προσοργίζονται A^c ‖ τὸ om. A^c Tr. Q Z^b Π et melius abesset.

Digitized by Google

ταγόρας τὰ γένη τῶν ὀνομάτων διῄρει, ἄρρενα καὶ θήλεα καὶ σκεύη· δεῖ γὰρ ἀποδιδόναι καὶ ταῦτα ὀρθῶς· ἡ δ' ἐλθοῦσα καὶ διαλεχθεῖσα ᾤχετο. πέμπτον ἐν τῷ τὰ πολλὰ καὶ ὀλίγα καὶ ἓν ὀρθῶς ὀνομάζειν· οἱ δ' ἐλθόντες ἔτυπτόν με. 10

ὅλως δὲ δεῖ εὐανάγνωστον εἶναι τὸ γεγραμμένον καὶ εὔφραστον· ἔστιν δὲ τὸ αὐτό, ὅ περ οἱ πολλοὶ σύνδεσμοι οὐκ ἔχουσιν, οὐδ' ἃ μὴ ῥᾴδιον διαστίξαι, ὥσπερ τὰ Ἡρακλείτου. τὰ γὰρ Ἡρακλείτου διαστίξαι ἔργον διὰ τὸ ἄδηλον εἶναι ποτέρῳ πρόσκειται, τῷ ὕστερον ἢ τῷ πρότερον, οἷον 15 ἐν τῇ ἀρχῇ αὐτοῦ τοῦ συγγράμματος· φησὶ γὰρ τοῦ λόγου τοῦδ' ἐόντος ἀεὶ ἀξύνετοι ἄνθρωποι γίγνονται· ἄδηλον γὰρ τὸ ἀεί, πρὸς ὁποτέρῳ διαστίξαι. ἔτι τάδε ποιεῖ σολοικίζειν τὸ μὴ ἀποδιδόναι, ἐὰν μὴ ἐπιζευγνύῃς ἀμφοῖν ὃ ἁρμόττει, οἷον ἢ ψόφον ἢ χρῶμα· τὸ μὲν ἰδών οὐ κοινόν, τὸ δ' 20 αἰσθόμενος κοινόν. ἀσαφῆ δὲ ἂν μὴ προθεὶς εἴπῃς, μέλλων πολλὰ μεταξὺ ἐμβάλλειν, οἷον ἔμελλον γὰρ διαλεχθεὶς ἐκείνῳ τάδε καὶ τάδε καὶ ὧδε πορεύεσθαι, ἀλλὰ μὴ ἔμελλον γὰρ διαλεχθεὶς πορεύεσθαι, εἶτα τάδε καὶ τάδε καὶ ὧδε ἐγένετο. 25

6 εἰς ὄγκον δὲ τῆς λέξεως συμβάλλεται τάδε, τῷ λόγῳ χρῆσθαι ἀντ' ὀνόματος, οἷον μὴ κύκλον, ἀλλ' ἐπίπεδον τὸ ἐκ τοῦ μέσου ἴσον. εἰς δὲ συντομίαν τὸ ἐναντίον, ἀντὶ τοῦ

11 τὸ γεγραμμένον pr. ex codd. Vict., εἰρημένον DE ‖ 17 τοῦδ' ἐόντος scripsi Victorium secutus, τοῦ δέοντος A^c schol. Tr. et retinet Spengel, τοῦ ὄντος ΘΠ Ald. ‖ 18 πρὸς προτέρω A^c ‖ δεῖ στίξαι coni. Vict. et Bekker, δεῖ διαστίξαι coni. Gaisford, „cum quo punctandum" (διαστικτέον) Tr. ‖ τάδε om. ΘC ‖ 21 ἂν μὴ προθεὶς pr. ex A^c Vict., καὶ ante ἂν addunt ΘCE, προσθεὶς Y^b Z^b Tr., προσθῇς Q Ald. ‖ εἴπῃς om. Q, εἴπῃ DE Ald. ‖ 23 καὶ ante ὧδε delet Kayser ‖ 24 γὰρ om. A^c, itaque et prius delendum videtur, utrumque om. schol.; nec video, quid h. l. sibi velit διαλεχθείς ‖ εἶ τάδε A^c, et hoc fortasse recte; nam nihil aliud est nisi εἶτα δὲ καὶ τάδε καὶ ὧδε ‖ ὧδε δεῖ ἐγένοντο A^c, ὧδε ἃ δὴ ἐγένετο edit. Paris., „et sicut utique fiebant" (Tr. m. καὶ ὡς δὴ ἐγένετο?) ‖ 26 τὸ λόγῳ ΘΠ.

Digitized by Google

λόγου ὄνομα. καὶ ἐὰν αἰσχρὸν ἢ ἀπρεπές· ἐὰν μὲν ἐν τῷ
30 λόγῳ ᾖ αἰσχρόν, τοὔνομα λέγειν, ἐὰν δ' ἐν τῷ ὀνόματι,
τὸν λόγον. καὶ μεταφοραῖς δηλοῦν καὶ τοῖς ἐπιθέτοις εὐλα-
βούμενον τὸ ποιητικόν. καὶ τὸ ἓν πολλὰ ποιεῖν, ὅ περ οἱ
ποιηταὶ ποιοῦσιν· ἑνὸς ὄντος λιμένος ὅμως λέγουσι

λιμένας εἰς Ἀχαϊκούς

καὶ

35 δέλτου μὲν αἵδε πολύθυροι διαπτυχαί.

καὶ μὴ ἐπιζευγνύναι, ἀλλ' ἑκατέρῳ ἑκάτερον, τῆς γυναικὸς
τῆς ἡμετέρας· ἐὰν δὲ συντόμως, τοὐναντίον, τῆς ἡμετέρας
γυναικός. καὶ μετὰ συνδέσμου λέγειν· ἐὰν δὲ συντόμως, ἄνευ
1408a μὲν συνδέσμου, μὴ ἀσύνδετα δέ, οἷον πορευθεὶς καὶ διαλεχ-
θείς, πορευθεὶς διελέχθην. καὶ τὸ Ἀντιμάχου χρήσιμον, ἐξ
ὧν μὴ ἔχει λέγειν, ὃ ἐκεῖνος ποιεῖ ἐπὶ τοῦ Τευμησσοῦ,

ἔστι τις ἠνεμόεις ὀλίγος λόφος·

αὔξεται γὰρ οὕτως εἰς ἄπειρον. ἔστι δὲ τοῦτο καὶ ἐπὶ
5 ἀγαθῶν καὶ κακῶν, ὅπως οὐκ ἔχει, ὁποτέρως ἂν ᾖ χρή-
σιμον, ὅθεν καὶ τὰ ὀνόματα οἱ ποιηταὶ φέρουσιν, τὸ ἄχορδον
καὶ τὸ ἄλυρον μέλος· ἐκ τῶν στερήσεων γὰρ ἐπιφέρουσιν·
εὐδοκιμεῖ γὰρ τοῦτο ἐν ταῖς μεταφοραῖς λεγόμενον ταῖς ἀνά-
λογον, οἷον τὸ φάναι τὴν σάλπιγγα εἶναι μέλος ἄλυρον.
10 τὸ δὲ πρέπον ἕξει ἡ λέξις, ἐὰν ᾖ παθητική τε καὶ 7
ἠθικὴ καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἀνάλογον. τὸ δ'
ἀνάλογόν ἐστιν ἐὰν μήτε περὶ εὐόγκων αὐτοκαβδάλως λέ-

31 μεταφοραί A^c (an μεταφορᾷ? sic cod. m. Tr.) ‖ 32 ἓν pr. ex cod. p. Vict., ἓν om. $A^c\Theta$ (pr. Y^b) ETr. ‖ 35 Sic versum exhibet Vict. in marg. scripti commentarii ex schol. et sic C et marg. ed. Venet., δελτούμεναι δὲ A^cQZ^bBDE, δέλτου μία δὲ Y^b ‖ 1408a, 3 δ] οἷον ΘCD, ὅπερ schol., cf. varietat. 1380b, 11 ‖ δὲ pro τις C ‖ 7 et 9 μέρος A^c ‖ 8 γὰρ] δὲ Θ DE ‖ τοῖς ἀνάλογον Y^bZ^bB, τοῖς ἀνάλογον ταῖς ἀνάλογον QD EAld. ‖ 10 παθητική τις B, „passionis illativa secundum aliquid" (τι) Tr. ‖ 12 αὐτοκαβδάλως pr. Vict., αὐτοκιβδήλως $A^c\Theta$CE, quod retinet Spengel, αὐτὸ κιβδήλως BD, γρ. αὐτοκανδάλως Y^bC marg et schol.

Digitized by Google

γηται μήτε περὶ εὐτελῶν σεμνῶς, μηδ' ἐπὶ τῷ εὐτελεῖ ὀνόματι ἐπῇ κόσμος· εἰ δὲ μή, κωμῳδία φαίνεται, οἷον ποιεῖ Κλεοφῶν· ὁμοίως γὰρ ἔνια ἔλεγε καὶ εἰ εἴπειεν ἂν πότνια 15 συκῆ. παθητικὴ δέ, ἐὰν μὲν ᾖ ὕβρις, ὀργιζομένου λέξις, ἐὰν δὲ ἀσεβῆ καὶ αἰσχρά, δυσχεραίνοντος καὶ εὐλαβουμένου καὶ λέγειν, ἐὰν δὲ ἐπαινετά, ἀγαμένως, ἐὰν δὲ ἐλεεινά, ταπεινῶς, καὶ ἐπὶ τῶν ἄλλων δὲ ὁμοίως. πιθανοῖ δὲ τὸ πρᾶγμα καὶ ἡ οἰκεία λέξις· παραλογίζεταί τε γὰρ ἡ ψυχὴ 20 ὡς ἀληθῶς λέγοντος, ὅτι ἐπὶ τοῖς τοιούτοις οὕτως ἔχουσιν ὥστ' οἴονται, εἰ καὶ μὴ οὕτως ἔχει, ὡς ὁ λέγων, τὰ πράγματα οὕτως ἔχειν, καὶ συνομοιοπαθεῖ ὁ ἀκούων ἀεὶ τῷ παθητικῶς λέγοντι, κἂν μηθὲν λέγῃ. διὸ πολλοὶ καταπλήττουσι τοὺς ἀκροατὰς θορυβοῦντες. καὶ ἠθικὴ δὲ αὕτη ἡ 25 ἐκ τῶν σημείων δεῖξις, ὅτι ἀκολουθεῖ ἡ ἁρμόττουσα ἑκάστῳ γένει καὶ ἕξει. λέγω δὲ γένος μὲν καθ' ἡλικίαν, οἷον παῖς ἢ ἀνὴρ ἢ γέρων, καὶ γυνὴ ἢ ἀνήρ, καὶ Λάκων ἢ Θετταλός, ἕξεις δέ, καθ' ἃς ποιός τις τῷ βίῳ· οὐ γὰρ καθ' ἅπασαν ἕξιν οἱ βίοι ποιοί τινες. ἐὰν οὖν καὶ τὰ ὀνόματα 30 οἰκεῖα λέγῃ τῇ ἕξει, ποιήσει τὸ ἦθος· οὐ γὰρ ταὐτὰ οὐθ' ὡσαύτως ἂν ἀγροῖκος ἂν καὶ πεπαιδευμένος εἴπειεν.

13 μηδ'] μήτ' ΘΠ ‖ 14 ἐπῇ] εἰ πῆι A^c, „super vilia nomina dicatur ornatus" Tr. ‖ 15 ἔνια om. Y^b pr. ‖ εἰ ex A^c et Tr. Vict., om. ΘΠ ‖ ἂν secl. Bekker[3] ‖ 16 συκῆ ex A^c et Tr. Vict., σὺ ΘBDE, ὦ πότνια συκῆ schol. ‖ 17 δυσχεραινόντως καὶ εὐλαβουμένως ΘBDE Ald. ‖ 18 καὶ om. QC, δυσχεραινόντως καὶ εὐλαβουμένως λέγειν iniuria commendat Spengel ‖ 19 δὲ post πιθανοῖ add. ΘΠ, om. A^c Spengel, cf. etiam varietat. ad 1406 b, 4 ‖ 20 τε ex A^c Spengel, om. cet. ‖ 22 ἔχει] ἔχειν A^c, ἔχοι C. Cum Spengelio exspectaveris ὡς φησὶν ὁ λέγων vel ὡς λέγει. Totum commation εἰ καὶ μὴ οὕτως ἔχει, ὡς ὁ λέγων delet Vahlen et secl. Bekker[3] ‖ 23 συνομοπαθεῖ A^c ‖ ἀεὶ ὁ ἀκούων ΘΠ ‖ 24 παθητικῶι A^c ‖ 26 Pro ἐκ τῶν σημείων proposuit ἐκ τῶν οἰκείων Teichmüller ‖ 31 τῆι λέξει A^c ‖ 31 οὐθ' codd., οὐδ' Bekker, cf. 1355 b, 8. 1394 a, 22 ‖ 32 ἂν ante ἀγροῖκος iam commendatum a Victorio ex A^c recepit Spengel, om. cet. ‖ εἴποιεν ΘBC Ald.

Digitized by Google

πάσχουσι δέ τι οἱ ἀκροαταὶ καὶ ᾧ κατακόρως χρῶνται οἱ λογογράφοι, τίς δ' οὐκ οἶδεν; ἅπαντες ἴσασιν· ὁμο-
35 λογεῖ γὰρ ὁ ἀκούων αἰσχυνόμενος, ὅπως μετέχῃ οὗ περ καὶ οἱ ἄλλοι πάντες.

1408b τὸ δ' εὐκαίρως ἢ μὴ εὐκαίρως χρῆσθαι κοινὸν ἁπάντων τῶν εἰδῶν ἐστιν. ἄκος δ' ἐπὶ πάσῃ ὑπερβολῇ τὸ θρυλούμενον· δεῖ γὰρ αὐτὸν αὐτῷ προσεπιπλήττειν· δοκεῖ γὰρ ἀληθὲς εἶναι, ἐπεὶ οὐ λανθάνει γε ὃ ποιεῖ τὸν λέγοντα. ἔτι
5 τοῖς ἀνάλογον μὴ πᾶσιν ἅμα χρήσασθαι· οὕτω γὰρ κλέπτεται ὁ ἀκροατής. λέγω δὲ οἷον ἐὰν τὰ ὀνόματα σκληρὰ ᾖ, μὴ καὶ τῇ φωνῇ καὶ τῷ προσώπῳ καὶ τοῖς ἁρμόττουσιν· εἰ δὲ μή, φανερὸν γίνεται ἕκαστον ὅ ἐστιν. ἐὰν δὲ τὸ μὲν τὰ δὲ μή, λανθάνει ποιῶν τὸ αὐτό. ἐὰν οὖν τὰ μαλακὰ
10 σκληρῶς καὶ τὰ σκληρὰ μαλακῶς λέγηται, ἀπίθανον γίγνεται. τὰ δὲ ὀνόματα τὰ διπλᾶ καὶ τὰ ἐπίθετα πλείω καὶ τὰ ξένα μάλιστα ἁρμόττει λέγοντι παθητικῶς· συγγνώμη γὰρ ὀργιζομένῳ κακὸν φάναι οὐρανόμηκες ἢ πελώριον εἰπεῖν. καὶ ὅταν ἔχῃ ἤδη τοὺς ἀκροατὰς καὶ ποιήσῃ ἐνθουσιάσαι ἢ ἐπαί-
15 νοις ἢ ψόγοις ἢ ὀργῇ ἢ φιλίᾳ, οἷον καὶ Ἰσοκράτης ποιεῖ

33 κατακόρει A^c (an κατακορεῖ?), „pro tempore" (?) Tr. ‖ 34 Falsum est, quod Bekkerus tradidit de A^c; ibi enim legitur: τίς δ' οὐκ οἶδεν, ἃ πάντες ἴσασιν et sic etiam BCE (εἶδεν in E) et Tr., quod cum sensum praebeat eximium et sequentibus ὅπως μετέχῃ, οὗ περ καὶ οἱ ἄλλοι πάντες optime respondeat, non contemnendum videtur. Duo exempla τίς δ' οὐκ οἶδεν; ἅπαντες ἴσασιν ex cod. p seiunxit pr. Victorius, quem secuti sunt recentiores ‖ 1408b, 2 ἐπὶ πάσῃ ὑπερβολῇ pr. ex codd. Vict., ἐπὶ πάσης ὑπερβολῆς schol. ‖ θρυλλούμενον ΘΠ Ald., cf. 1395a, 10 ‖ 3 Ex Quintiliani VIII, 3, 37: προεπιπλήσσειν τῇ ὑπερβολῇ etiam h. l. προεπιπλήσσειν corrigunt quidam sine causa ‖ 5 κέκλεπται A^c ‖ 7 μὴ καὶ τῇ φωνῇ] καὶ ἡ φωνή, μὴ coni. Wiechmann ‖ καὶ ante τοῖς ἁρμόττουσιν delet Vahlen ‖ 8 ἕκαστον, ὅ ἐστιν delet Gomperz ‖ τὸ μὲν] τόδε μὲν libri omnes ‖ 9 ἐὰν δ' οὖν dubitanter coni. Vahlen, et εἰ δὲ schol. ‖ τὰς μαλακὰς A^c ‖ 10 πιθανὸν coni. Thurot (perperam) ‖ 11 τὰ ἐπίθετα καὶ διπλᾶ ΘΠ Ald. ‖ 14 ἤδη ἔχῃ Y^b Z^b Π. Ald.

Digitized by Google

ἐν τῷ πανηγυρικῷ ἐπὶ τέλει, φήμην δὲ καὶ μνήμην, καί, οἵ τινες ἔτλησαν· φθέγγονταί τε γὰρ τὰ τοιαῦτα ἐνθουσιάζοντες, ὥστε καὶ ἀποδέχονται δῆλον ὅτι ὁμοίως ἔχοντες. διὸ καὶ τῇ ποιήσει ἥρμοσεν· ἔνθεον γὰρ ἡ ποίησις. ἢ δὴ οὕτως δεῖ, ἢ μετ' εἰρωνείας, ὥσπερ Γοργίας ἐποίει καὶ τὰ ἐν τῷ Φαίδρῳ. 20

8 τὸ δὲ σχῆμα τῆς λέξεως δεῖ μήτε ἔμμετρον εἶναι μήτε ἄρρυθμον· τὸ μὲν γὰρ ἀπίθανον, πεπλάσθαι γὰρ δοκεῖ, καὶ ἅμα καὶ ἐξίστησι· προσέχειν γὰρ ποιεῖ τῷ ὁμοίῳ, πότε πάλιν ἥξει. ὥσπερ οὖν τῶν κηρύκων προλαμβάνουσι τὰ παιδία τὸ τίνα αἱρεῖται ἐπίτροπον ὁ ἀπελευθερούμενος; 25 Κλέωνα. τὸ δὲ ἄρρυθμον ἀπέραντον, δεῖ δὲ πεπεράνθαι μέν, μὴ μέτρῳ δέ· ἀηδὲς γὰρ καὶ ἄγνωστον τὸ ἄπειρον. περαίνεται δὲ ἀριθμῷ πάντα· ὁ δὲ τοῦ σχήματος τῆς λέξεως ἀριθμὸς ῥυθμός ἐστιν, οὗ καὶ τὰ μέτρα τμητά. διὸ ῥυθμὸν δεῖ ἔχειν τὸν λόγον, μέτρον δὲ μή. ποίημα 30 γὰρ ἔσται. ῥυθμὸν δὲ μὴ ἀκριβῶς· τοῦτο δὲ ἔσται ἐὰν μέχρι του ᾖ. τῶν δὲ ῥυθμῶν ὁ μὲν ἡρῷος σεμνὸς καὶ λεκτικῆς ἁρμονίας δεόμενος, ὁ δ' ἴαμβος αὐτή ἐστιν ἡ λέξις ἡ τῶν πολλῶν· διὸ μάλιστα πάντων τῶν μέτρων ἰαμβεῖα φθέγγονται λέγοντες. δεῖ δὲ σεμνότητα γενέσθαι 35 καὶ ἐκστῆσαι. ὁ δὲ τροχαῖος κορδακικώτερος· δηλοῖ δὲ

16 ἐπὶ τέλει a posteriore illatum videtur Spengelio ‖ φήμη δὲ καὶ γνώμη libri omnes et Tr. Ex Isocratis Panegyrici § 186 recte Victorius correxit φήμην δὲ καὶ μνήμην ‖ 19 ἁρμόττει schol. ‖ 20 εἰρωνίας A^c ‖ ὥσπερ A^c et omnes *Π*, ὅπερ Bekker (ex editione Moreliana, qua Bekkerus ad collationem suam conficiendam usus esse videtur, originem duxit, cf. etiam ad 1411b, 31) ‖ 22 et 26 ἄρυθμον A^c ‖ 29 ᾧ pro οὗ coni. Madvig ‖ 31 μὴ ἀκριβῆ schol. ‖ 32 τῶν δ' εὐρύθμων A^c et Tr. ‖ 33 καὶ λεκτικὸς ς (i. e. καὶ) ἁρμονίας δεόμενος A^c et libri omnes, καὶ οὐ λεκτικός, καὶ ἁρμονίας δεόμενος Vict., σεμνὸς, ἀλλὰ λεκτικῆς ἐστιν ἁρμονίας δεόμενος Madvig, σεμνὸς καὶ λεκτικῆς ἐστιν ἁρμονίας δεόμενος Tyrwhitt, unde nostrum locum constituit Spengelius, quem secutus sum ‖ 34 πάντες A^c et Tr. (nescio an recte) ‖ 35 σεμνοτέραν *ΘΠ*Ald. ‖ 36 „*manifestat tetram.*" (om. δὲ) Tr.

Digitized by Google

1409 a τὰ τετράμετρα· ἔστι γὰρ ῥυθμὸς τροχαῖος τὰ τετράμετρα. λείπεται δὲ παιάν, ᾧ ἐχρῶντο μὲν ἀπὸ Θρασυμάχου ἀρξάμενοι, οὐκ εἶχον δὲ λέγειν τίς ἦν. ἔστι δὲ τρίτος ὁ παιάν, καὶ ἐχόμενος τῶν εἰρημένων· τρία γὰρ πρὸς δύ' ἐστίν, 5 ἐκείνων δὲ ὁ μὲν ἓν πρὸς ἕν, ὁ δὲ δύο πρὸς ἕν. ἔχεται δὲ τῶν λόγων τούτων ὁ ἡμιόλιος· οὗτος δ' ἐστὶν ὁ παιάν. οἱ μὲν οὖν ἄλλοι διά τε τὰ εἰρημένα ἀφετέοι, καὶ διότι μετρικοί· ὁ δὲ παιὰν ληπτέος· ἀπὸ μόνου γὰρ οὐκ ἔστι μέτρον τῶν ῥηθέντων ῥυθμῶν, ὥστε μάλιστα λανθάνειν. 10 νῦν μὲν οὖν χρῶνται τῷ ἑνὶ παιᾶνι καὶ ἀρχόμενοι ⟨καὶ τελευτῶντες⟩, δεῖ δὲ διαφέρειν τὴν τελευτὴν τῆς ἀρχῆς. ἔστιν δὲ παιᾶνος δύο εἴδη ἀντικείμενα ἀλλήλοις, ὧν τὸ μὲν ἐν ἀρχῇ ἁρμόττει, ὥσπερ καὶ χρῶνται· οὗτος δ' ἐστὶν οὗ ἄρχει μὲν ἡ μακρά, τελευτῶσιν δὲ τρεῖς βραχεῖαι·

Δαλογενὲς εἴτε Λυκίαν

καὶ

15 *χρυσεοκόμα Ἕκατε παῖ Διός.*

ἕτερος δ' ἐξ ἐναντίας, οὗ βραχεῖαι ἄρχουσιν τρεῖς, ἡ δὲ μακρὰ τελευταία·

μετὰ δὲ γᾶν ὕδατά τ' ὠκεανὸν ἠφάνισε νύξ.

οὗτος δὲ τελευτὴν ποιεῖ· ἡ γὰρ βραχεῖα διὰ τὸ ἀτελὴς εἶναι ποιεῖ κολοβόν. ἀλλὰ δεῖ τῇ μακρᾷ ἀποκόπτεσθαι καὶ 20 δήλην εἶναι τὴν τελευτὴν μὴ διὰ τὸν γραφέα, μηδὲ διὰ τὴν παραγραφήν, ἀλλὰ διὰ τὸν ῥυθμόν.

1409 a, 1 τὰ om. $Y^b Z^b$ ‖ τροχερὸς ῥυθμὸς τὰ τετράμετρα Y^b $Z^b \Pi$ et secuti sunt Bekk.[3] et Spengel, ῥυθμὸς τροχαῖος τὰ τετράμετρα A^c, quod recepi; nam τροχαῖος h. l. eodem sensu adhibitum esse videtur, quo codd. deteriores τροχερός exhibent ‖ 2 λείπεται δὴ schol. ‖ παιδείαν pro παιάν A^c ‖ Post μὲν inserunt ὡς ἐν ἀπορρήτῳ $\Theta \Pi$, quae verba pr. sustulit Victorius ‖ 4 τρία δὲ $QZ^b DE$ Ald. ‖ 8 „non est metricare" Tr. (?) ‖ 10 καὶ ante ἀρχόμενοι om. Tr. ‖ καὶ τελευτῶντες inseruit Vater, om. libri ‖ 12 ἓν om. $\Theta \Pi$ ‖ 14 εἴτε ex A^c Vict., ἥτε ΘDE Ald., εἶτα Λύκιε ἑκάεργε schol. 60 b, 15 ‖ 16 ἑτέρα δὲ $QZ^b DE$ Ald. ‖ 20 γραφέα ex A^c et Tr. Vict., γράφοντα $\Theta \Pi$ schol.

Digitized by Google

ὅτι μὲν οὖν εὔρυθμον δεῖ εἶναι τὴν λέξιν καὶ μὴ
ἄρρυθμον, καὶ τίνες εὔρυθμον ποιοῦσι ῥυθμοὶ καὶ πῶς
9 ἔχοντες, εἴρηται· τὴν δὲ λέξιν ἀνάγκη εἶναι ἢ εἰρομένην
καὶ τῷ συνδέσμῳ μίαν, ὥσπερ αἱ ἐν τοῖς διθυράμβοις ἀνα- 25
βολαί, ἢ κατεστραμμένην καὶ ὁμοίαν ταῖς τῶν ἀρχαίων ποιη-
τῶν ἀντιστρόφοις. ἡ μὲν οὖν εἰρομένη λέξις ἡ ἀρχαία ἐστίν·
Ἡροδότου Θουρίου ἥδ' ἱστορίης ἀπόδειξις ταύτῃ γὰρ πρό-
τερον μὲν ἅπαντες, νῦν δὲ οὐ πολλοὶ χρῶνται. λέγω δὲ
εἰρομένην ἢ οὐδὲν ἔχει τέλος καθ' αὑτήν, ἂν μὴ τὸ πρᾶγμα 30
λεγόμενον τελειωθῇ. ἔστι δὲ ἀηδὴς διὰ τὸ ἄπειρον· τὸ γὰρ
τέλος πάντες βούλονται καθορᾶν. διό περ ἐπὶ τοῖς καμπτῆρ-
σιν ἐκπνέουσι καὶ ἐκλύονται· προορῶντες γὰρ τὸ πέρας, οὐ
κάμνουσι πρότερον. ἡ μὲν οὖν εἰρομένη τῆς λέξεώς ἐστιν
ἥδε, κατεστραμμένη δὲ ἡ ἐν περιόδοις· λέγω δὲ περίοδον 35
λέξιν ἔχουσαν ἀρχὴν καὶ τελευτὴν αὐτὴν καθ' αὑτὴν καὶ
μέγεθος εὐσύνοπτον. ἡδεῖα δ' ἡ τοιαύτη καὶ εὐμαθής, 1409b
ἡδεῖα μὲν διὰ τὸ ἐναντίως ἔχειν τῷ ἀπεράντῳ, καὶ ὅτι ἀεί
τι οἴεται ἔχειν ὁ ἀκροατὴς καὶ πεπεράνθαι τι αὐτῷ· τὸ
δὲ μηδὲν προνοεῖν εἶναι μηδὲ ἀνύειν ἀηδές. εὐμαθὴς δὲ
ὅτι εὐμνημόνευτος. τοῦτο δὲ ὅτι ἀριθμὸν ἔχει ἡ ἐν περιό- 5
δοις λέξις, ὃ πάντων εὐμνημονευτότατον. διὸ καὶ τὰ μέτρα

23 εὔρυθμον] ῥυθμόν QBDEAld. ‖ Post ῥυθμοὶ „et qui sunt hi“ (καὶ τίνες εἰσὶν οὗτοι) Tr. ‖ 25 τῶν συνδέσμων A^c, cf. Poet. 1457a, 29, συνδέσμοις Tr. ‖ 28 θουρίου A^c ‖ In nostris Herodoti libris Ἡροδότου Ἁλικαρνησσέος ἱστορίης ἀπόδεξις ἥδε et ita Demetrius § 17 ‖ ἥδ' ἱστορίης] ἥδιστ' Z^b, ἱστορίης om. Z^b QDEAld., ἀπόδειξις libri omnes praeter Q, qui omittit, ἀπόδεξις Vict., ἥδ om. Tr. ‖ ταύτην A^c ‖ πρότεροι Q, cf. et variet. ad 1404a, 34 ‖ 31 τελειωθείη ΘΠ ‖ ἀηδές Θ(?)BDE ‖ 33 πόρρω ὄντες γὰρ τοῦ τέλους marg. ed. Venet. ex schol. Idem et δρομεῖς habet, quod erat in edit. ante Vict. ‖ 1409b, 3 ἔχειν περάντω α ὁ ἀκροατής A^c (ex dittographia v. 2 ortum), ἔχειν οἴεται ὁ ΘΠ ‖ καὶ πεπεράσθαι A^c, καὶ πεπεράνθαι schol. quod recepit Spengel, ὁ ἀκροατὴς τῷ ἀεὶ πεπεράνθαι ΘΠAld. ‖ 4 δὲ] γὰρ Q ‖ εἶναι om. Tr. et schol. ‖ ἀνοίγειν A^cTr., „aut nihil aperiri“ (ἢ μηδὲν) Tr. ‖ 6 τῶν μέτρων ΘΠ.

Digitized by Google

πάντες μνημονεύουσιν μᾶλλον τῶν χύδην· ἀριθμὸν γὰρ ἔχει ᾧ μετρεῖται. δεῖ δὲ τὴν περίοδον καὶ τῇ διανοίᾳ τετελειῶσθαι, καὶ μὴ διακόπτεσθαι ὥσπερ τὰ Σοφοκλέους ἰαμβεῖα,

10 Καλυδὼν μὲν ἥδε γαῖα Πελοπίας χθονός·

τοὐναντίον γὰρ ἔστιν ὑπολαβεῖν τῷ διαιρεῖσθαι, ὥσπερ καὶ ἐπὶ τοῦ εἰρημένου τὴν Καλυδῶνα εἶναι τῆς Πελοποννήσου.

περίοδος δὲ ἡ μὲν ἐν κώλοις ἡ δ' ἀφελής. ἔστιν δ' ἐν κώλοις μὲν λέξις ἡ τετελειωμένη τε καὶ διῃρημένη καὶ

15 εὐανάπνευστος, μὴ ἐν τῇ διαιρέσει ὥσπερ καὶ ἡ περίοδος, ἀλλ' ὅλη. κῶλον δ' ἐστὶν τὸ ἕτερον μόριον ταύτης. ἀφελῆ δὲ λέγω τὴν μονόκωλον. δεῖ δὲ καὶ τὰ κῶλα καὶ τὰς περιόδους μήτε μυούρους εἶναι μήτε μακράς. τὸ μὲν γὰρ μικρὸν προσπταίειν πολλάκις ποιεῖ τὸν ἀκροατήν· ἀνάγκη γάρ, ὅταν

20 ἔτι ὁρμῶν ἐπὶ τὸ πόρρω καὶ τὸ μέτρον, οὗ ἔχει ἐν ἑαυτῷ ὅρον, ἀντισπασθῇ παυσαμένου, οἷον προσπταίειν γίγνεσθαι διὰ τὴν ἀντίκρουσιν. τὰ δὲ μακρὰ ἀπολείπεσθαι ποιεῖ, ὥσπερ οἱ ἐξωτέρω ἀποκάμπτοντες τοῦ τέρματος· ἀπολείπουσι γὰρ καὶ οὗτοι τοὺς συμπεριπατοῦντας. ὁμοίως δὲ καὶ αἱ

25 περίοδοι αἱ μακραὶ οὖσαι λόγος γίνεται καὶ ἀναβολῇ ὅμοιον,

8 *δεῖ γὰρ* Tr. ‖ *τὴν περίοδον* ex A^c et Tr. Vict., *τῇ περιόδῳ* ΘBDE. Longe alia et admodum diversa in textu suo invenisse videtur scholiasta fol. 61 a, 37, quam quae nos h. l. legimus. Nam talia ingenio sibi finxisse vix credibile est. Idem 61 b, 30 diserte versum Euripidis esse dicit ‖ 10 *Πελοπείας ΘΠ* ‖ 11 *ὥσπερ καὶ* delet Kayser ‖ 14 *λέξις*] *λόγος* QD ‖ *διῃρημένη* om. C, *γρ. διηρτισμένη* Y^b ‖ 15 *ὥσπερ καὶ ἡ περίοδος* ex A^c et Tr. Spengel, qui tamen de toto commatio delendo cogitat, *ὥσπερ ἡ εἰρημένη περίοδος Θ*, *ὥσπερ καὶ ἡ εἰρημένη περίοδος Π* Ald. ‖ 18 *μειούρους ΘBDE* Ald. ‖ 19 et 21 *προπταίειν* A^c ‖ 20 *οὗ* CB Tr. schol. et sic pr. Vict., *οὔτ'* A^c ΘDE ‖ 21 *ὅρον*, non *ὅρου*, ut falso tradit Bekker, habet A^c, quod recepi, cf. Mus. Rhen. N. F. XXXIX pag. 508, *ὅρον* B corr. Y^b, *πόρον* pr. Y^b ‖ *ἀντισπασθῆναι* Z^b E Ald. ‖ 24 *περιπατοῦντας* QZ^b pr. Y^b DE Ald., „*qui concludunt*“ (?) Tr. ‖ 25 *ἄλογος* A^c, „*improportionales fiunt*“ Tr., *ἄλογον* coni. Spengel | *ἀναβολὴ* A^c, *ἀναβολῆς* Y^b Z^b BDE Ald.

Digitized by Google

ὥστε γίνεται ὃ ἔσκωψεν Δημόκριτος ὁ Χῖος εἰς Μελανιππίδην ποιήσαντα ἀντὶ τῶν ἀντιστρόφων ἀναβολάς,

οἵ τ' αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων,

ἡ δὲ μακρὰ ἀναβολὴ τῷ ποιήσαντι κακίστη·

ἁρμόττει γὰρ τὸ τοιοῦτον καὶ εἰς τοὺς μακροκώλους λέγειν. 30
αἵ τε λίαν βραχύκωλοι οὐ περίοδος γίνεται· προπετῆ οὖν ἄγει τὸν ἀκροατήν.

τῆς δὲ ἐν κώλοις λέξεως ἡ μὲν διῃρημένη ἐστὶν ἡ δὲ ἀντικειμένη, διῃρημένη μὲν, οἷον "πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγαγόντων καὶ τοὺς γυμνικοὺς ἀγῶνας 35
καταστησάντων", ἀντικειμένη δὲ ἐν ᾗ ἑκατέρῳ τῷ κώλῳ ἢ πρὸς ἐναντίῳ ἐναντίον σύγκειται ἢ ταὐτὸ ἐπέζευκται τοῖς 1410 a
ἐναντίοις, οἷον "ἀμφοτέρους δ' ὤνησαν, καὶ τοὺς ὑπομείναντας καὶ τοὺς ἀκολουθήσαντας· τοῖς μὲν γὰρ πλείω τῆς οἴκοι προσεκτήσαντο, τοῖς δ' ἱκανὴν τὴν οἴκοι κατέλιπον." ἐναντία ὑπομονή ἀκολούθησις, ἱκανόν πλεῖον. "ὥστε καὶ 5
τοῖς χρημάτων δεομένοις καὶ τοῖς ἀπολαῦσαι βουλομένοις" ἀπόλαυσις κτήσει ἀντίκειται. καὶ ἔτι "συμβαίνει πολλάκις ἐν ταύταις καὶ τοὺς φρονίμους ἀτυχεῖν καὶ τοὺς ἄφρονας

27 ἀντὶ τῶν στροφῶν C ‖ ἀναβολὴν ΘBDE Ald. ‖ 28 ἄλλω A^c ‖ 30 δὲ pro γὰρ Tr. ‖ 31 „quae vero" (αἱ δὲ) Tr. ‖ προπετῶς ΘΠ Ald. Ceterum cum Aristoteles rem propositam (v. 17 sqq.) tam eximie illustraverit et absolverit, verba, quae sequuntur ab v. 25 ὁμοίως δὲ ... usque ad 32 ἄγει τὸν ἀκροατήν vel maxime offendunt ‖ 33 ἐν κώλοις ex A^c et Tr. Vict., ἐν κώλῳ ΘCDE ‖ 34 πολλάκις ἐθαύμασα ex A^c pr. Vict., ἐθαύμασα πολλάκις ΘΠ ‖ 35 συναγαγόντων pr. Vict., συναγόντων A^c, ἀγόντων ΘΠ Ald. ‖ 1410 a, 2 οἷον] ἢ Z^b, η pr. Y^b, om. QE ‖ 3 ἀκολουθήσοντας A^c (et Tr. cod. m.) ‖ τῆς οἴκοι ex codd. pr. Vict., τοῖς οἴκοι Y^bZ^bBCETr. ‖ 5 ἐναντία ὑπομονή ἀκολούθησις, ἱκανόν πλεῖον pr. Vict. ex codd., ὑπομονῆ ἡ ἀκολουθία ΘTr., ὑπομονῇ BC, δὲ ὑπομονῇ DE, ἡ ἀκολούθησις BCD, ἱκανῷ QD ‖ 6 Non video quo modo h. l. abesse possit verbum, quod legitur apud Isocratem Paneg. § 41, ἁρμόττειν (cf. et schol. pag. 62 a, 33 δυσὶ κώλοις ἀπεδόθη ἀπόδοσις) ‖ 7 Pro κτήσει δεήσει coni. Cope (perperam).

Digitized by Google

κατορθοῦν." "εὐθὺς μὲν τῶν ἀριστείων ἠξιώθησαν, οὐ
10 πολὺ δὲ ὕστερον τὴν ἀρχὴν τῆς θαλάττης ἔλαβον." "πλεῦσαι μὲν διὰ τῆς ἠπείρου, πεζεῦσαι δὲ διὰ τῆς θαλάττης, τὸν μὲν Ἑλλήσποντον ζεύξας, τὸν δ' Ἄθω διορύξας." "καὶ φύσει πολίτας ὄντας νόμῳ τῆς πόλεως στέρεσθαι." "οἱ μὲν γὰρ αὐτῶν κακῶς ἀπώλοντο, οἱ δ' αἰσχρῶς ἐσώθησαν."
15 καὶ "ἰδίᾳ μὲν τοῖς βαρβάροις οἰκέταις χρῆσθαι, κοινῇ δὲ πολλοὺς τῶν συμμάχων περιορᾶν δουλεύοντας." "ἢ ζῶντας ἕξειν ἢ τελευτήσαντας καταλείψειν." καὶ ὃ εἰς Πειθόλαόν τις εἶπεν καὶ Λυκόφρονα ἐν τῷ δικαστηρίῳ, "οὗτοι δ' ὑμᾶς οἶκοι μὲν ὄντες ἐπώλουν, ἐλθόντες δ' ὡς ὑμᾶς ἐώ-
20 νηνται." ἅπαντα γὰρ ταῦτα ποιεῖ τὸ εἰρημένον. ἡδεῖα δὲ ἐστὶν ἡ τοιαύτη λέξις, ὅτι τἀναντία γνωριμώτατα καὶ παρ' ἄλληλα μᾶλλον γνώριμα, καὶ ὅτι ἔοικεν συλλογισμῷ· ὁ γὰρ ἔλεγχος συναγωγὴ τῶν ἀντικειμένων ἐστίν.

ἀντίθεσις μὲν οὖν τὸ τοιοῦτον ἐστίν, παρίσωσις δ' ἐὰν
25 ἴσα τὰ κῶλα, παρομοίωσις δὲ ἐὰν ὅμοια τὰ ἔσχατα ἔχῃ ἑκάτερον τὸ κῶλον. ἀνάγκη δὲ ἢ ἐν ἀρχῇ ἢ ἐπὶ τελευτῆς ἔχειν. καὶ ἀρχὴ μὲν ἀεὶ τὰ ὀνόματα, ἡ δὲ τελευτὴ τὰς ἐσχάτας συλλαβὰς ἢ τοῦ αὐτοῦ ὀνόματος πτώσεις ἢ τὸ αὐτὸ ὄνομα. ἐν ἀρχῇ μὲν τὰ τοιαῦτα, ἀγρὸν γὰρ ἔλαβεν ἀργὸν
30 παρ' αὐτοῦ,

δωρητοί τ' ἐπέλοντο παράρρητοί τ' ἐπέεσσιν·

ἐπὶ τελευτῆς δέ, ᾠήθησαν αὐτὸν παιδίον τετοκέναι, ἀλλ'

9 ἠξιώθη QZ^{b}BC ‖ 10 ἔλαβεν QC ‖ 12 „ipsum autem atho" (αὐτὸν) Tr. ‖ 15 καὶ ante ἰδίᾳ ex A^c et Tr. cum Gaisfordio recepi et sic omnes Π ‖ οἰκέταις ΘC(Π?)Ald. ‖ 17 ἕξειν Vict., ἄξειν A^c et schol., αὔξειν ΘΠ ‖ 18 τῷ om. ΘΠAld. ‖ 19 ἡμᾶς ΘBDE | ἐόντες A^c, ἐῶντες Y^{b}Z^{b}BCDTr., ὄντας Q ‖ ἡμᾶς ΘBCTr., εἰσελθόντες δ' εἰς ὑμᾶς Cobet, εἰς ὑμᾶς schol. ‖ ἐώνηντο BC ‖ 24 οὖν om. Y^{b}BCTr. schol. ‖ παρ' ἴσως A^c ‖ 26 ἑκάτερα τῶν κώλων Θ, ἑκάτερον τῶν κώλων BDE(?), ἑκατέρων τῶν κώλων C ‖ ἀνάγκη γάρ C ‖ ἐπὶ τελευτῇ ΘBCEAld. ‖ 28 πτῶσις A^{c}Y^{b}Z^{b}BE, πτῶσιν C et schol. ‖ 30 ἐπέλονται A^c ‖ τ'] δ' A^c ‖ 31 ἐν τελευτῇ schol., ἐπὶ τελευτῇ DE ‖ οὐκ ᾠήθησαν DEAldus, ᾠήθης αὐτὸν παιδίοις B.

Digitized by Google

αὐτοῦ αἴτιον γεγονέναι, ἐν πλείσταις δὲ φροντίσι καὶ ἐν ἐλαχίσταις ἐλπίσιν. πτώσεις δὲ ταὐτοῦ, ἄξιος δὲ σταθῆναι χαλκοῦς, οὐκ ἄξιος ὢν χαλκοῦ; ταὐτὸ δ' ὄνομα, σὺ δ' αὐτὸν καὶ ζῶντα ἔλεγες κακῶς καὶ νῦν γράφεις κακῶς. ἀπὸ 35 συλλαβῆς δέ, τί ἂν ἔπαθες δεινόν, εἰ ἄνδρ' εἶδες ἀργόν; ἔστιν δὲ ἅμα πάντα ἔχειν ταὐτό, καὶ ἀντίθεσιν εἶναι τὸ 1410b αὐτὸ καὶ πάρισον καὶ ὁμοιοτέλευτον. αἱ δ' ἀρχαὶ τῶν περιόδων σχεδὸν ἐν τοῖς Θεοδεκτείοις ἐξηρίθμηνται. εἰσὶν δὲ καὶ ψευδεῖς ἀντιθέσεις, οἷον καὶ Ἐπίχαρμος ἐποίει,

τόκα μὲν ἐν τήνων ἐγὼν ἦν, τόκα δὲ παρὰ τήνοις ἐγών. 5

ἐπεὶ δὲ διώρισται περὶ τούτων, πόθεν λέγεται τὰ ἀστεῖα καὶ τὰ εὐδοκιμοῦντα λεκτέον. ποιεῖν μὲν οὖν ἐστὶν τοῦ εὐφυοῦς ἢ τοῦ γεγυμνασμένου, δεῖξαι δὲ τῆς μεθόδου ταύτης. εἴπωμεν οὖν καὶ διαριθμησώμεθα· ἀρχὴ δ' ἔστω ἡμῖν αὕτη. τὸ γὰρ μανθάνειν ῥᾳδίως ἡδὺ φύσει πᾶσιν 10 ἐστί, τὰ δὲ ὀνόματα σημαίνει τι, ὥστε ὅσα τῶν ὀνομάτων ποιεῖ ἡμῖν μάθησιν, ἥδιστα. αἱ μὲν οὖν γλῶτται ἀγνῶτες, τὰ δὲ κύρια ἴσμεν, ἡ δὲ μεταφορὰ ποιεῖ τοῦτο μάλιστα· ὅταν γὰρ εἴπῃ τὸ γῆρας καλάμην, ἐποίησεν μάθησιν καὶ γνῶσιν διὰ τοῦ γένους· ἄμφω γὰρ ἀπηνθηκότα. ποιοῦσιν 15 μὲν οὖν καὶ αἱ τῶν ποιητῶν εἰκόνες τὸ αὐτό· διό περ ἂν εὖ, ἀστεῖον φαίνεται. ἔστιν γὰρ ἡ εἰκών, καθάπερ εἴρηται πρότερον, μεταφορὰ διαφέρουσα προθέσει· διὸ ἧττον ἡδύ,

32 αὐτὸν ΘΠ ‖ ᾠήθης ἂν αὐτὸν οὐ παιδίον coni. Bonitz, multo melius Sauppe ᾠήθης ἂν αὐτὸν οὐ παιδίον τετοκέναι, ἀλλ' αὐτὸν παιδίον γεγονέναι. Cf. variet. ad 1413a, 28 ‖ 33 πτῶσις ΘBDE, πτῶσιν C ‖ δὲ post ἄξιος om. C, ἀξιοῖ schol. ‖ 34 χαλκοῦς ex A^c et Tr. Vict., χαλκοῦ Z^bΠ. Post χαλκοῦ monente Spengelio interrogationis signum posui ‖ 1410b, 1 καὶ ἀντίθεσις QDE ‖ 2 ὁμότελευτον A^c ‖ 5 ἐν τήνοις Demetrius § 24 ‖ 9 διαριθμησώμεθα ex A^c et ἔστω ex A^cTr. pr. Vict., διαριθμήσωμεν et ἔσται ΘΠ ‖ 11 ὅσα, non ὅσω ut Bekkerus tradit A^c ‖ 14 καλήν A^c ‖ 15 ἀπηνθηκότες ΘBD ‖ 16 δι' ὅπερ A^c ‖ 17 εὖ ex codd. pr. Vict., om. QZ^b pr. Y^bBDE ‖ φαίνηται Θ(?)BDE ‖ 18 προθέσει A^cTr. et schol. (cod. Mon. 90), προσθέσει ΘΠ Ald.

Digitized by Google

ὅτι μακροτέρως· καὶ οὐ λέγει ὡς τοῦτο ἐκεῖνο· οὔκουν οὐδὲ
20 ζητεῖ τοῦτο ἡ ψυχή. ἀνάγκη δὴ καὶ λέξιν καὶ ἐνθυμήματα
ταῦτ' εἶναι ἀστεῖα, ὅσα ποιεῖ ἡμῖν μάθησιν ταχεῖαν. διὸ
οὔτε τὰ ἐπιπόλαια τῶν ἐνθυμημάτων εὐδοκιμεῖ· (ἐπιπόλαια
γὰρ λέγομεν τὰ παντὶ δῆλα, καὶ ἃ μηδὲν δεῖ ζητῆσαι), οὔτε
ὅσα εἰρημένα ἀγνοούμενα, ἀλλ' ὅσων ἢ ἅμα λεγομένων ἡ
25 γνῶσις γίνεται, καὶ εἰ μὴ πρότερον ὑπῆρχεν, ἢ μικρὸν ὑστε-
ρίζει ἡ διάνοια· γίγνεται γὰρ οἷον μάθησις, ἐκείνως δὲ
οὐδέτερον. κατὰ μὲν οὖν τὴν διάνοιαν τοῦ λεγομένου τὰ
τοιαῦτα εὐδοκιμεῖ τῶν ἐνθυμημάτων, κατὰ δὲ τὴν λέξιν
τῷ μὲν σχήματι, ἐὰν ἀντικειμένως λέγηται, οἷον καὶ τὴν
30 τοῖς ἄλλοις κοινὴν εἰρήνην νομιζόντων τοῖς αὐτῶν ἰδίοις
πόλεμον· ἀντίκειται πόλεμος εἰρήνῃ. τοῖς δ' ὀνόμασιν, ἐὰν
ἔχῃ μεταφοράν, καὶ ταύτην μήτ' ἀλλοτρίαν, χαλεπὸν γὰρ
συνιδεῖν, μήτ' ἐπιπόλαιον, οὐδὲν γὰρ ποιεῖ πάσχειν. ἔτι εἰ
πρὸ ὀμμάτων ποιεῖ· ὁρᾶν γὰρ δεῖ τὰ πραττόμενα μᾶλλον ἢ
35 μέλλοντα. δεῖ ἄρα τούτων στοχάζεσθαι τριῶν, μεταφορᾶς
ἀντιθέσεως ἐνεργείας.

1411a τῶν δὲ μεταφορῶν τεττάρων οὐσῶν εὐδοκιμοῦσι μά-
λιστα αἱ κατ' ἀναλογίαν, ὥσπερ Περικλῆς ἔφη τὴν νεότητα
τὴν ἀπολομένην ἐν τῷ πολέμῳ οὕτως ἠφανίσθαι ἐκ τῆς
πόλεως ὥσπερ εἴ τις τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ ἐξέλοι. καὶ

24 ἐστὶν post ἀγνοούμενα addunt ΘΠ Ald., om. A^c Tr. Spengel ‖ 25 καὶ οὐ μὴ B et v. et p. Vict., εἰ καὶ μὴ schol. fol. 64b, 9, καὶ om. Tr. ‖ 26 οἷον h. l. non magis offendit, quod contra Spengelium monendum est quam 1409b, 19 προσπταίειν et 21 οἷον προσπταίειν ‖ ἐκείνων coni. Spengel, ἐκείνω m. v. Vict., ἐκεῖνον p. Vict. ‖ 27 τῶν λεγομένων C ‖ 34 ποιεῖν A^c, ποιεῖ ὡς ἤδη ἐνεργοῦσα Y^b Z^b Π, ὡς εἴδη ἐνεργοῦσαν Q; A^c et Tr. secutus pr. expunxit glossema Vict. ‖ Pro τὰ πραττόμενα exhibet Tr. „quae proponuntur" (τὰ προκείμενα?), τὰ ⟨πράγματα⟩ πραττόμενα coni. Spengel ‖ ἢ τὰ μέλλοντα Q ‖ 35 δεῖ ἄρα ex codd. Vict., δεῖ ἔτι Q Z^b, ἔτι δεῖ D E Ald., ἄρα om. E ‖ 36 ἐνεργείας C D Tr. (schol. τινὰ τῶν ἀντιγράφων ἔχουσιν ἐνεργείας), ἐναργείας cet. ‖ 1411a, 2 ὡς Dionysii libri ‖ 3 ἠφανίσθη Z Q^b et pr. Y^b D E Ald., cf. 1365a, 31 ‖ 4 ἐξέλῃ ΘΠ.

Digitized by Google

Λεπτίνης περὶ Λακεδαιμονίων, οὐκ ἐᾶν περιιδεῖν τὴν Ἑλ- 5
λάδα ἑτερόφθαλμον γενομένην. καὶ Κηφισόδοτος σπουδά-
ζοντος Χάρητος εὐθύνας δοῦναι περὶ τὸν Ὀλυνθιακὸν πό-
λεμον ἠγανάκτει, φάσκων εἰς πνῖγμα τὸν δῆμον ἔχοντα τὰς
εὐθύνας πειρᾶσθαι δοῦναι. καὶ παραπαλῶν ποτὲ τοὺς Ἀθη- 10
ναίους εἰς Εὔβοιαν ἐπισιτισαμένους ἔφη δεῖν ἐξιέναι τὸ
Μιλτιάδου ψήφισμα. καὶ Ἰφικράτης σπεισαμένων Ἀθηναίων
πρὸς Ἐπίδαυρον καὶ τὴν παραλίαν ἠγανάκτει, φάσκων αὐ-
τοὺς τὰ ἐφόδια τοῦ πολέμου παρῃρῆσθαι. καὶ Πειθόλαος
τὴν πάραλον ῥόπαλον τοῦ δήμου, Σηστὸν δὲ τηλίαν τοῦ
Πειραιέως. καὶ Περικλῆς τὴν Αἴγιναν ἀφελεῖν ἐπέλευσε τὴν 15
λήμην τοῦ Πειραιέως. καὶ Μοιροκλῆς οὐθὲν ἔφη πονηρό-
τερος εἶναι, ὀνομάσας τινὰ τῶν ἐπιεικῶν· ἐκεῖνον μὲν γὰρ
ἐπιτρίτων τόκων πονηρεύεσθαι, αὐτὸν δὲ ἐπιδεκάτων. καὶ
τὸ Ἀναξανδρίδου ἰαμβεῖον ὑπὲρ τῶν θυγατέρων πρὸς τὸν
γάμον ἐγχρονιζουσῶν, 20

ὑπερήμεροί μοι τῶν γάμων αἱ παρθένοι.

καὶ τὸ Πολυεύκτου εἰς ἀποπληκτικόν τινα Σπεύσιππον, τὸ
μὴ δύνασθαι ἡσυχίαν ἄγειν ὑπὸ τῆς τύχης ἐν πεντεσυ-
ρίγγῳ νόσῳ δεδεμένον. καὶ Κηφισόδοτος τὰς τριήρεις ἐκάλει

5 Aut *ἐᾶν* aut *περιιδεῖν* delendum censet Vict., in scripto commentario coni. *οὐκ ἂν περιιδεῖν* ‖ 7 *τῶν περὶ τὸν* Dionysii libri ‖ 8 *ἔχοντα*] *ἀγαγόντα* Dionysius, *ἠχότα* coni. Sauppe ‖ 9 *διδόναι* Dionysius ‖ 10 *ἐπισιτισαμένους* libri omnes, *ἐπισιτισομένους* Vict. et Lobeck ad Phrynichum p. 746, quem secutus est Spengelius ‖ 12 *Ἐπίδαυρον* ex A^c et Tr. Vict. et sic etiam schol., *Ἐπίδαμνον ΘΠ* ‖ 13 *πίθολαος τὴν πάρλον* A^c ‖ 14 *ῥόπαλον* ex A^c et Tr. pr. Vict., om *ΘΠ* ‖ *δήμου* pr. marg. edit. Venet. et *ῥόπαλον τοῦ δήμου* diserte schol. fol. 65 a, 17, *μήδμου* A^c, *μίδου* ΘBCD et schol. fol. 65 a, 20, *μήδου* ETr.(?)Ald. ‖ *τὸν δὲ Σηστόν ΘΠ* ‖ *τὴν λείαν* A^c et Tr. ‖ 16 *Μοροκλῆς* QZ^b et pr. Y^bDE ‖ *πονηρότερον* ΘBDETr.Ald. ‖ 18 *τόκων* om. Y^bBC, *ἐπιτρίτῳ τόκῳ — ἐπιδεκάτῳ* Salmasius ‖ *αὐτὸν* libri omnes, *αὐτὸς* Bekker^s Spengel ‖ 19 *Ἀναξανδρίδου* ex A^c Vict., *Ἀλεξάνδρου* ΘCDE ‖ 21 *ἀποκληκτικὸν* A^c ‖ *πεύσιππον ΘΠ* Ald. ‖ 22 *πεντεσυρίγγῳ* A^c et schol., *πέντε συρίγγων ΘΠ* Ald.

Digitized by Google

μύλωνας ποικίλους, ὁ Κύων δὲ τὰ καπηλεῖα τὰ Ἀττικὰ
25 φιδίτια. Αἰσίων δέ, ὅτι εἰς Σικελίαν τὴν πόλιν ἐξέχεαν· τοῦτο γὰρ μεταφορὰ καὶ πρὸ ὀμμάτων. καὶ "ὥστε βοῆσαι τὴν Ἑλλάδα·" καὶ τοῦτο τρόπον τινὰ μεταφορὰ καὶ πρὸ ὀμμάτων. καὶ ὥσπερ Κηφισόδοτος εὐλαβεῖσθαι ἐκέλευεν μὴ πολλὰς ποιήσωσιν τὰς συνδρομάς [ἐκκλησίας]. καὶ Ἰσο-
30 κράτης πρὸς τοὺς συντρέχοντας ἐν ταῖς πανηγύρεσιν. καὶ οἷον ἐν τῷ ἐπιταφίῳ, διότι ἄξιον ἦν ἐπὶ τῷ τάφῳ τῷ τῶν ἐν Σαλαμῖνι τελευτησάντων κείρασθαι τὴν Ἑλλάδα ὡς συγκαταθαπτομένης τῇ ἀρετῇ αὐτῶν τῆς ἐλευθερίας· εἰ μὲν γὰρ εἶπεν ὅτι ἄξιον δακρῦσαι συγκαταθαπτομένης
35 τῆς ἀρετῆς, μεταφορὰ καὶ πρὸ ὀμμάτων, τὸ δὲ "τῇ ἀρετῇ
1411b τῆς ἐλευθερίας" ἀντίθεσίν τινα ἔχει. καὶ ὡς Ἰφικράτης εἶπεν "ἡ γὰρ ὁδός μοι τῶν λόγων διὰ μέσων τῶν Χάρητι πεπραγμένων ἐστίν·" μεταφορὰ κατ' ἀναλογίαν, καὶ τὸ διὰ μέσου πρὸ ὀμμάτων ποιεῖ. καὶ τὸ φάναι παρα-
5 καλεῖν τοὺς κινδύνους τοῖς κινδύνοις βοηθήσοντας, πρὸ ὀμμάτων μεταφορά. καὶ Λυκολέων ὑπὲρ Χαβρίου "οὐδὲ τὴν ἱκετηρίαν αἰσχυνθέντες αὐτοῦ, τὴν εἰκόνα τὴν χαλκῆν·" μεταφορὰ γὰρ ἐν τῷ παρόντι, ἀλλ' οὐκ ἀεί, ἀλλὰ πρὸ ὀμμάτων· κινδυνεύοντος γὰρ αὐτοῦ ἱκετεύει ἡ εἰκών, τὸ
10 ἄψυχον δὴ ἔμψυχον, τὸ ὑπόμνημα τῶν τῆς πόλεως ἔργων.

24 καπηλικὰ Ἀττικά A^c et Tr. ‖ 25 φιδίτια schol. fol. 65b, 3, φιλίτια libri omnes et Tr. ‖ 27 Sic ex A^c et Tr. Vict., καὶ τοῦτο πρὸ ὀμμάτων τρόπον τινὰ μεταφορά ΘΠ ‖ 29 ἐκκλησίας seclusi cum Fr. A. Wolfio, συνδρομὰς, ἐκκλησίας Spengel, συνδρομὰς ἐκκλησίας alii ‖ 32 ἐν Σαλαμῖνι corrupta aut spuria censet Dobreus, Babingtoni amicus ἐν Λαμίᾳ corrigit, probatum Sauppeo l. l. pag. 73 sqq. ‖ τετελευτηκότων ΘCDE ‖ 1411b, 1 ὡς om. ΘΠ ‖ 2 διὰ μέσου coni. Vict. in scripto commentario, ut infra l. 4 ‖ 3 κατὰ A^c ‖ 4 διὰ μέσων CD Ald. ‖ 6 καὶ μεταφορά coni. Thurot ‖ 7 αἰσχυνθέντες ex codd. Vict., αἰσχύνθητε Y^b Z^b CD schol., αἰσχυνθέντος Q ‖ 8 ἄλλου καὶ εἰ A^c ‖ 9 κινδυνεύοντος γὰρ αὐτοῦ ex A^c Vict., κινδυνευόντων γὰρ αὐτῶν ΘΠ ‖ 10 δὲ coni. Cope ‖ ὑπὲρ τῆς πόλεως coni. L. Kayser.

Digitized by Google

καὶ "πάντα τρόπον μικρὸν φρονεῖν μελετῶντες·" τὸ γὰρ μελετᾶν αὔξειν τι ἐστίν. καὶ ὅτι τὸν νοῦν ὁ θεὸς φῶς ἀνῆψεν ἐν τῇ ψυχῇ· ἄμφω γὰρ δηλοῖ τι. "οὐ γὰρ διαλυόμεθα τοὺς πολέμους ἀλλ' ἀναβαλλόμεθα·" ἄμφω γάρ ἐστιν μέλλοντα, καὶ ἡ ἀναβολὴ καὶ ἡ τοιαύτη εἰρήνη. καὶ τὸ τὰς συνθήκας φάναι τρόπαιον εἶναι πολὺ κάλλιον τῶν ἐν τοῖς πολέμοις γινομένων· τὰ μὲν γὰρ ὑπὲρ μικρῶν καὶ μιᾶς τύχης, αὗται δ' ὑπὲρ παντὸς τοῦ πολέμου· ἄμφω γὰρ νίκης σημεῖα. ὅτι καὶ αἱ πόλεις τῷ ψόγῳ τῶν ἀνθρώπων μεγάλας εὐθύνας διδόασιν· ἡ γὰρ εὔθυνα βλάβη τις δικαία ἐστίν.

11 ὅτι μὲν οὖν τὰ ἀστεῖα ἐκ μεταφορᾶς τε τῆς ἀνάλογον λέγεται καὶ τῷ πρὸ ὀμμάτων ποιεῖν, εἴρηται· λεκτέον δὲ τί λέγομεν πρὸ ὀμμάτων, καὶ τί ποιοῦσι γίγνεται τοῦτο. λέγω δὴ πρὸ ὀμμάτων ταῦτα ποιεῖν ὅσα ἐνεργοῦντα σημαίνει, οἷον τὸν ἀγαθὸν ἄνδρα φάναι εἶναι τετράγωνον μεταφορά, ἄμφω γὰρ τέλεια, ἀλλ' οὐ σημαίνει ἐνέργειαν· ἀλλὰ τὸ "ἀνθοῦσαν ἔχοντος τὴν ἀκμήν" ἐνέργεια, καὶ τὸ "σὲ δ' ὥσπερ ἄφετον" [ἐλεύθερον] ἐνέργεια, καὶ

[τοὐντεῦθεν οὖν] Ἕλληνες ἅξαντες ποσίν

τὸ ἅξαντες ἐνέργεια καὶ μεταφορά· ταχὺ γὰρ λέγει. καὶ ὡς

11 ἃ μικρὸν A^c, in α ἀεὶ latere putat Spengel et sic schol. 66a, 10 καὶ πάντα τρόπον μελετῶντες ἀεὶ μικρὰ φρονεῖν ‖ 12 αὔξειν] ἀσκεῖν coni. Coraes (quod est ineptissimum) ‖ 17 μικροῦ Y^b Z^b D E Ald., μικρᾶς Q ‖ 19 ὅτι καὶ ex A^c et Tr. pr. Vict., pro ἔτι καὶ, quod erat in excusis, καὶ ὅτι Gaisford Thurot Bonitz (perperam) ‖ 20 μεγάλας] πολλάς Tr. ‖ 27 τελεῖ A^c ‖ 28 ἔχοντος ex codd. (A^c) pr. Vict., ἔχοντα D E ‖ 29 ἀφετέον A^c Θ B C E ‖ 28 et 29 ἐνάργεια A^c ‖ 30 τοὐντεῦθεν οὖν ex Eurip. Iph. Aulid. v. 80 pr. Vict. et sic omnes post eum editores, τοὐλεύθερον οἱ Ἕλληνες A^c, τοὐλεύθερον δ' ἕλληνες Y^b Z^b, τὸ ἐλευθέροις δ' ἕλληνες Q, ἐλεύθερον Ἕλληνες C, ἐλευθέριοι δὲ D E, τοῦ λαθεῖν p. Vict. Vocabulo ἐλεύθερον, quae est glossa vocis ἄφετον, suo loco reposito locum sanasse mihi videor. Ceterum cf. Mus. Rhen. l. l. pag. 493 sqq. ‖ γράφεται καὶ ἀΐξαντες δορί schol. (cod. Monac. 90) ‖ 31 τὸ ἐξαΐξαντες A^c et Θ(?) et B C ‖ ταχὺ γὰρ λέγει operarum

Digitized by Google

κέχρηται πολλαχοῦ Ὅμηρος, τὸ τὰ ἄψυχα ἔμψυχα ποιεῖν διὰ τῆς μεταφορᾶς. ἐν πᾶσι δὲ τῷ ἐνέργειαν ποιεῖν εὐδοκιμεῖ, οἷον ἐν τοῖσδε,

αὖτις ἐπὶ δάπεδόνδε κυλίνδετο λᾶας ἀναιδής,
καὶ
35 ἔπτατ' ὀιστός,
καὶ
ἐπιπτέσθαι μενεαίνων,
καὶ
1412a ἐν γαίῃ ἵσταντο λιλαιόμενα χροὸς ἆσαι,
καὶ
αἰχμὴ δὲ στέρνοιο διέσσυτο μαιμώωσα.

ἐν πᾶσι γὰρ τούτοις διὰ τὸ ἔμψυχα εἶναι ἐνεργοῦντα φαίνεται· τὸ ἀναισχυντεῖν γὰρ καὶ μαιμᾶν καὶ τὰ ἄλλα ἐνέρ-
5 γεια. ταῦτα δὲ προσῆψε διὰ τῆς κατ' ἀναλογίαν μεταφορᾶς· ὡς γὰρ ὁ λίθος πρὸς τὸν Σίσυφον, ὁ ἀναισχυντῶν πρὸς τὸν ἀναισχυντούμενον. ποιεῖ δὲ καὶ ἐν ταῖς εὐδοκιμούσαις εἰκόσιν ἐπὶ τῶν ἀψύχων ταῦτα·

κυρτά, φαληριόωντα· πρὸ μέν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα·

κινούμενα γὰρ καὶ ζῶντα ποιεῖ πάντα, ἡ δ' ἐνέργεια κίνησις.

10 δεῖ δὲ μεταφέρειν, καθάπερ εἴρηται πρότερον, ἀπὸ οἰκείων καὶ μὴ φανερῶν, οἷον καὶ ἐν φιλοσοφίᾳ τὸ ὅμοιον καὶ ἐν πολὺ διέχουσι θεωρεῖν εὐστόχου, ὥσπερ Ἀρχύτας

errore in editione Moreliana omissum et sic neglectum ab editoribus (cf. 1408b, 20) rursus in textum induxit Gaisfordius ‖ 32 πολλαχοῦ Ὅμηρος A^c et Tr. Spengel, Ὅμηρος πολλαχοῦ ΘΠ Ald. ‖ τὸ et ποιεῖν ex A^c recte Gaisford et sic etiam Tr., τῷ et λέγειν cet. Ald. ‖ 33 τῷ ex A^c Gaisford, τὸ cet. ‖ ἐνέργειαν ex codd. Vict., ἐναργές Z^b et pr. Y^bDE ‖ 34 αὖτις δ' ἐπὶ ΘΠ ‖ δάπεδον δὲ A^c ‖ 35 ἐπιπτάσθαι vel ἐπιπτᾶσθαι ΘΠ schol. ‖ 1412a, 2 μεμόωσα A^c ‖ 7 ταῖς om. ΘE Ald. ‖ 8 ταὐτά $A^cY^bZ^b$Π (nescio an recte) ‖ πρὸς ΘE Ald. ‖ τ' ἄλλα A^cC ‖ 9 κίνησις Bekker, μίμησις libri omnes ‖ 11 μὴ ex A^c Vict., om. cet. ‖ 12 ἀρχύτης A^c.

Digitized by Google

ἔφη ταὐτὸν εἶναι διαιτητὴν καὶ βωμόν· ἐπ' ἄμφω γὰρ τὸ ἀδικούμενον καταφεύγει. ἢ εἴ τις φαίη ἄγκυραν καὶ κρεμάθραν τὸ αὐτὸ εἶναι· ἄμφω γὰρ ταὐτό τι, ἀλλὰ διαφέρει τῷ ἄνωθεν καὶ κάτωθεν. καὶ τὸ ὡμαλίσθαι τὰς πόλεις ἐν πολὺ διέχουσιν ταὐτό, ἐν ἐπιφανείᾳ καὶ δυνάμεσι τὸ ἴσον.

ἔστιν δὲ καὶ τὰ ἀστεῖα τὰ πλεῖστα διὰ μεταφορᾶς καὶ ἐκ τοῦ προσεξαπατᾶν· μᾶλλον γὰρ γίγνεται δῆλον ὅτι ἔμαθε παρὰ τὸ ἐναντίως ἔχειν, καὶ ἔοικεν λέγειν ἡ ψυχὴ "ὡς ἀληθῶς, ἐγὼ δὲ ἥμαρτον." καὶ τῶν ἀποφθεγμάτων δὲ τὰ ἀστεῖά ἐστιν ἐκ τοῦ μὴ ὅ φησι λέγειν, οἷον τὸ Στησιχόρου, ὅτι οἱ τέττιγες ἑαυτοῖς χαμόθεν ᾄσονται. καὶ τὰ εὖ ᾠνιγμένα διὰ τὸ αὐτὸ ἡδέα· μάθησις γάρ, καὶ λέγεται μεταφορά. καὶ ὃ λέγει Θεόδωρος, τὸ καινὰ λέγειν. γίγνεται δὲ ὅταν παράδοξαν ᾖ, καὶ μή, ὡς ἐκεῖνος λέγει, πρὸς τὴν ἔμπροσθεν δόξαν, ἀλλ' ὥσπερ οἱ ἐν τοῖς γελοίοις τὰ παραπεποιημένα, ὅπερ δύναται καὶ τὰ παρὰ γράμμα σκώμματα· ἐξαπατᾷ γάρ. καὶ ἐν τοῖς μέτροις· οὐ γὰρ ὥσπερ ὁ ἀκούων ὑπέλαβεν·

ἔστειχε δ' ἔχων ὑπὸ ποσσὶ χίμεθλα·
ὁ δ' ᾤετο πέδιλα ἐρεῖν. τούτου δ' ἅμα λεγομένου δεῖ δῆλον εἶναι. τὰ δὲ παρὰ γράμμα ποιεῖ οὐχ ὃ λέγει λέγειν,

13 τὸν ἀδικούμενον καταφεύγειν coni. L. Kayser ‖ 14 κρεμάστραν ΘΠ schol. Ald. ‖ 15 ταὐτό τι] ταυτότητι Z^b et pr. Y^bDE ‖ 16 τὸ ἄνωθεν BEΘ(?) ‖ ὡμαλίσθαι Vict., ἀνωμαλίσθαι ΘΠ, καὶ τὸ (sic) ἄνω μάλιστα εἶναι τὰς πόλεις ἓν πολὺν A^c, ὁμαλισθῆναι ... ἐν ἐπιφανείᾳ ⟨γὰρ⟩ καὶ coni. Vahlen ‖ 19 προεξαπατᾶν scribit et interpretatur Vict. ‖ 22 τὸ τοῦ Στησιχόρου ΘΠ ‖ 23 αὐτοῖς C et schol. 67a, 9, Demetrius § 99, cf. 1395a, 1 ‖ ἔσονται A^c ‖ 24 καὶ ἔστι μεταφορὰ schol. (κ. ε. καὶ μεταφορὰ cod. Monac. 90) ‖ 26 μὴ om. Tr. ‖ ἐκεῖνος om. schol. ‖ λέγῃ QY^bBD ‖ 27 οἱ om. QmVict.C ‖ 28 παραγραμμένα Z^b, παρὰ γράμμασι Q et pr. Y^b, παραγράμματα DE Ald. ‖ 29 καὶ ἐν τοῖς μέτροις τοῖς κωμικοῖς schol. 67a, 27 ‖ 31 ποσὶ $A^cY^bZ^bC$ ‖ χύμεθλα Q, χίμετλα CDE ‖ 32 ἐρεῖ A^c ‖ τοῦτο pro τούτου C ‖ 33 παραγράμματα Q et pr. Y^bDE Ald. ‖ λέγειν ex A^c et Tr. addidit Vict., om. ΘΠ.

Digitized by Google

ἀλλ' ὃ μεταστρέφει ὄνομα, οἷον τὸ Θεοδώρου εἰς Νίκωνα
35 τὸν κιθαρῳδὸν "θράττει σε·" προσποιεῖται γὰρ λέγειν τὸ
1412b "θράττει σε" καὶ ἐξαπατᾷ· ἄλλο γὰρ λέγει. διὸ μαθόντι ἡδύ,
ἐπεὶ εἰ μὴ ὑπολαμβάνει Θρᾶκα εἶναι, οὐ δόξει ἀστεῖον
εἶναι. καὶ τὸ βούλει αὐτὸν πέρσαι. δεῖ δὲ ἀμφότερα προσ-
ηκόντως λεχθῆναι. οὕτω δὲ καὶ τὰ ἀστεῖα, οἷον τὸ φάναι
5 Ἀθηναίοις τὴν τῆς θαλάττης ἀρχὴν μὴ ἀρχὴν εἶναι τῶν
κακῶν· ὄνασθαι γάρ. ἢ ὥσπερ Ἰσοκράτης τὴν ἀρχὴν τῇ
πόλει ἀρχὴν εἶναι τῶν κακῶν. ἀμφοτέρως γὰρ ὃ οὐκ ἂν
ᾠήθη τις ἐρεῖν, τοῦτ' εἴρηται, καὶ ἐγνώσθη ὅτι ἀληθές· τό
τε γὰρ τὴν ἀρχὴν φάναι ἀρχὴν εἶναι οὐθὲν σοφόν· ἀλλ'
οὐχ οὕτω λέγει ἀλλ' ἄλλως, καὶ ἀρχὴν οὐχ ὃ εἶπεν ἀπό-
10 φησιν, ἀλλ' ἄλλως. ἐν ἅπασι δὲ τούτοις, ἐὰν προσηκόντως
τὸ ὄνομα ἐνέγκῃ ὁμωνυμίᾳ ἢ μεταφορᾷ, τότε τὸ εὖ. οἷον
Ἀνάσχετος οὐκ ἀνασχετός· ὁμωνυμίαν ἀπέφησε, ἀλλὰ προσ-
ηκόντως, εἰ ἀηδής. καὶ

οὐκ ἂν γένοιο μᾶλλον ἤ σε δεῖ ξένος
[ξένος]

15 [ἢ] οὐ μᾶλλον ἤ σε δεῖ τὸ αὐτὸ καὶ οὐ δεῖ τὸν ξένον
ξένον ἀεὶ εἶναι· ἀλλότριον γὰρ καὶ τοῦτο. τὸ αὐτὸ καὶ
τὸ Ἀναξανδρίδου τὸ ἐπαινούμενον,

καλόν γ' ἀποθανεῖν πρὶν θανάτου δρᾶν ἄξιον·

ταὐτὸ γάρ ἐστι τῷ εἰπεῖν ἄξιόν γ' ἀποθανεῖν μὴ ὄντα

35 et 36 Θρᾶττ' ᾖσε Meineke, deleto σε Θρᾶττ' εἶ et θράττει Cope ‖ 1412b, 9 ἀλλ' ἄλλως om. ΘΠ Ald. ‖ καὶ ἀρχὴν] καὶ μὴ ἀρχὴν edit. Venet. ex schol. 67b, 27 ‖ ἀπόφησιν] αὐτό φησιν A^c ‖ 10 ἐὰν μὴ A^c, unde μὲν probante Vahlenio coni. Spengel, ἐάν τις C ‖ 11 ὁμωνυμίαι ἢ μεταφοραί A^c, unde iam Vict. ὁμωνυμίᾳ καὶ μεταφορᾷ et sic et schol., ὁμωνυμία ἢ μεταφορά cet. ‖ 12 ἄσχετος οὐκ A^c, Ἀνάσχετον οὐκ ἀνάσχετον C ‖ 13 ἀηδής Riccoboni coniecturam ex A^c satis confirmatam recepit pr. Gaisford, ἀεὶ δίς cet. ‖ 14 Alterum ξένος seclusit Bekker ‖ 15 ἢ secl. Spengel ‖ οὐκ ἂν γένοιο μᾶλλον ἢ ξένος ξένος. ἢ οὐ μᾶλλον ἤ σε δεῖ· τὸ αὐτὸ καὶ οὐ δεῖ... εἶναι coni. Vahlen ‖ 18 ἄξιον γὰρ libri omnes, γ' correxit Spengel, cf. 19 et 29.

Digitized by Google

ἄξιον ἀποθανεῖν, ἢ ἄξιόν γ' ἀποθανεῖν μὴ θανάτου ἄξιον ὄντα, ἢ μὴ ποιοῦντα θανάτου ἄξια. τὸ μὲν οὖν εἶδος τὸ 20 αὐτὸ τῆς λέξεως τούτων· ἀλλ' ὅσῳ ἂν ἐλάττονι καὶ ἀντικειμένως λεχθῇ, τοσούτῳ εὐδοκιμεῖ μᾶλλον. τὸ δ' αἴτιον ὅτι ἡ μάθησις διὰ μὲν τὸ ἀντικεῖσθαι μᾶλλον, διὰ δὲ τὸ ἐν ὀλίγῳ θᾶττον γίνεται. δεῖ δ' ἀεὶ προσεῖναι ἢ τὸ πρὸς ὃν λέγεται ἢ ὀρθῶς λέγεσθαι, εἰ τὸ λεγόμενον ἀληθὲς καὶ 25 μὴ ἐπιπόλαιον· ἔστιν γὰρ ταῦτα χωρὶς ἔχειν, οἷον ἀποθνήσκειν δεῖ μηθὲν ἁμαρτάνοντα· ἀλλ' οὐκ ἀστεῖον. τὴν ἀξίαν δεῖ γαμεῖν τὸν ἄξιον· ἀλλ' οὐκ ἀστεῖον. ἀλλ' ἐὰν ἄμφω ἔχῃ· ἄξιόν γ' ἀποθανεῖν μὴ ἄξιον ὄντα τοῦ ἀποθανεῖν. ὅσῳ δ' ἂν πλείω ἔχῃ, τοσούτῳ ἀστειότερον φαίνεται, 30 οἷον εἰ καὶ τὰ ὀνόματα μεταφορὰ εἴη καὶ μεταφορὰ τοιαδὶ καὶ ἀντίθεσις καὶ παρίσωσις, καὶ ἔχοι ἐνέργειαν.

εἰσὶν δὲ καὶ αἱ εἰκόνες, ὥσπερ εἴρηται καὶ ἐν τοῖς ἄνω, ἀεὶ εὐδοκιμοῦσαι τρόπον τινὰ μεταφοραί· ἀεὶ γὰρ ἐκ δυοῖν λέγονται, ὥσπερ ἡ ἀνάλογον μεταφορά. οἷον ἡ ἀσπὶς φαμέν 35 ἐστι φιάλη Ἄρεως, καὶ τόξον φόρμιγξ ἄχορδος. οὕτω μὲν 1413a οὖν λέγουσιν οὐχ ἁπλοῦν, τὸ δ' εἰπεῖν τὸ τόξον φόρμιγγα ἢ τὴν ἀσπίδα φιάλην ἁπλοῦν. καὶ εἰκάζουσιν δὲ οὕτως,

19 γ', non σ' legit A^c, om. QY^bCDEAld. ‖ ἢ ἄξιον — ἄξιον ὄντα secl. Bekker[3] (perperam) ‖ 20 τριοῦντα pro ποιοῦντα A^c ‖ 21 ὅσ ὦι ὅσων A^c ‖ 22 τοσοῦτο A^c, τοσοῦτον QZ^b ‖ 24 δ' om. Tr. ‖ πρὸς δ C ‖ 25 ἢ τὸ ὀρθῶς ΘΠ ‖ εἰ pr. ex codd. et Tr. Vict., ἢ A^c et corr. Y^bB, quod ἢ ante ὀρθῶς deleto probat Spengel ‖ 26 ταὐτὰ QY^bBDE, ταυτί Z^bAld. ‖ 28 δὲ δεῖ coniecerat Spengel, ἔδει Meineke ‖ Exemplum τὴν ἀξίαν — ἀστεῖον dubitanter delet Spengel ‖ ἀλλ' ἐὰν] καὶ ἐὰν A^c et Tr., quod deleto exemplo sequenti ἄξιον — ἀποθανεῖν sic coniungendum censet Spengel: ἀλλ' οὐκ ἀστεῖον κἂν ἄμφω ἔχῃ ‖ 29 ἅμα ἄμφω ΘΠ Ald. ‖ ἄξιον γάρ ΘΠ ‖ 31 μεταφοραὶ. τοιαδί A^c ‖ 32 ἀντίθεσις ex A^c et Tr. Vict., ἀντίσωσις ΘΠ ‖ παρίωσις A^c, „et oppositio et coaequi vocatio" Tr. (an ὁμωνυμία cf. p. 322, 17 ed. Sp.?) ‖ 34 ἀεὶ] αἱ schol. (cod. Monac. 90), quod et Spengel coniecerat ‖ 1413a, 1 Ἄρεως A^c cf. 1407a, 18 ‖ 3 καὶ οὕτως Tr.

Digitized by Google

οἷον πυθήκῳ αὐλητήν, λύχνῳ ψακαζομένῳ [εἰς] μύωπα· ἄμφω γὰρ συνάγεται. τὸ δὲ εὖ ἐστὶν ὅταν μεταφορὰ ᾖ· ἔστιν γὰρ εἰκάσαι τὴν ἀσπίδα φιάλῃ Ἄρεως καὶ τὸ ἐρείπιον ῥάκει οἰκίας, καὶ τὸ τὸν Νικήρατον φάναι Φιλοκτήτην εἶναι δεδηγμένον ὑπὸ Πράτυος, ὥσπερ εἴκασεν Θρασύμαχος ἰδὼν τὸν Νικήρατον ἡττημένον ὑπὸ Πράτυος ῥαψῳδοῦντα, κομῶντα δὲ καὶ εὐχμηρὸν ἔτι. ἐν οἷς μάλιστά τ' ἐκπίπτουσιν οἱ ποιηταί, ἐὰν μὴ εὖ, καὶ ἐὰν εὖ, εὐδοκιμοῦσιν. λέγω δ' ὅταν ἀποδιδῶσιν,

ὥσπερ σέλινον οὖλα τὰ σκέλη φορεῖ,

ὥσπερ Φιλάμμων ζυγομαχῶν τῷ κωρύκῳ·

καὶ τὰ τοιαῦτα πάντ' εἰκόνες εἰσίν. αἱ δ' εἰκόνες ὅτι μεταφοραί, εἴρηται πολλάκις.

καὶ αἱ παροιμίαι μεταφοραὶ ἀπ' εἴδους ἐπ' εἶδος εἰσίν· οἷον ἄν τις ὡς ἀγαθὸν πεισόμενος αὐτὸς ἐπαγάγηται, εἶτα βλαβῇ, ὡς ὁ Καρπάθιός φησιν τὸν λαγώ· ἄμφω γὰρ τὸ εἰρημένον πεπόνθασιν.

ὅθεν μὲν οὖν τὰ ἀστεῖα λέγεται καὶ διότι, σχεδὸν εἴρηται τὸ αἴτιον· εἰσὶν δὲ καὶ εὐδοκιμοῦσαι ὑπερβολαὶ μεταφοραί, οἷον εἰς ὑπωπιασμένον, ᾠήθητε δ' ἂν αὐτὸν εἶναι συκαμίνων κάλαθον· ἐρυθρὸν γάρ τι τὸ ὑπώπιον, ἀλλὰ τὸ

4 αὐλητῆι A^c, αὐλητικῶ ΘDEAld. ‖ λύχνῳ A^c et Tr., quod unice verum esse pr. vidit Musaptus apud Riccobonum, λύκῳ ΘΠAld., ἢ λύκῳ C et ἢ supra lineam ead. m. ‖ 6 φιάλην A^c Y^bZ^bBE Tr. Ald. ‖ ἐρίπιον A^c ‖ 7 οἰκίας ex A^c et Tr. Vict., οἰκέτου DE, ἐοικός Q, ambiguis Y^bZ^b ‖ τὸ om. ΘΠ ‖ φιλοκτήτη A^c ‖ 10 μάλιστά τ' ex A^c Spengel, τ' om. cet. ‖ 11 καὶ ἐὰν εὖ, εὐδοκιμοῦσιν Sylburgius, καὶ ἐὰν εὖ] καὶ ἐὰν A^c, καὶ ἐὰν μὴ Z^b, om. Q, εὐδοκιμῶσιν libri omnes ‖ 12 ἀποδίδωσιν A^c ‖ „cum assignet sicut id" (ὥσπερ τὸ?) Tr. ‖ 15 καὶ παροιμίαι δὲ C schol. 68 b, 37 ‖ 16 ποιούμενος Z^b, πειρόμενος EAld. ‖ αὐτὸς ex A^c Vict., αὐτὸν Θ, αὐτὸν Π ‖ 20 ᾠήθη· τότε δ' A^c, ᾠήθη τε BD, ᾠήθη τε γὰρ αὐτὸν ΘCAld., ᾠήθης δ' ἂν schol. 69 a, 7 ‖ 21 κάλαθον] τάλαρον ΘΠAld. (τάλανον Z^b) ‖ ἀλλ' ἢ τὸ Z^b.

Digitized by Google

πολὺ σφόδρα. τὸ δὲ ὥσπερ τὸ καὶ τὸ ὑπερβολὴ τῇ λέξει διαφέρουσα.

ὥσπερ Φιλάμμων ζυγομαχῶν τῷ κωρύκῳ·

ᾠήθης δ' ἂν αὐτὸν Φιλάμμωνα εἶναι μαχόμενον τῷ κω- 2
ρύκῳ.

ὥσπερ σέλινον οὖλα τὰ σκέλη φορεῖν·

ᾠήθης δ' ἂν οὐ σκέλη ἀλλὰ σέλινα ἔχειν, οὕτως οὖλα. εἰσὶ δὲ ὑπερβολαὶ μειρακιώδεις· σφοδρότητα γὰρ δηλοῦσιν. διὸ ὀργιζόμενοι λέγουσιν μάλιστα· 30

οὐδ' εἴ μοι τόσα δοίη ὅσα ψάμαθός τε κόνις τε.
κούρην δ' οὐ γαμέω Ἀγαμέμνονος Ἀτρείδαο,
οὐδ' εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι,
ἔργα δ' Ἀθηναίης.

χρῶνται δὲ μάλιστα τούτῳ οἱ Ἀττικοὶ ῥήτορες. διὸ πρεσ- 1413b
βυτέρῳ λέγειν ἀπρεπές.

12 δεῖ δὲ μὴ λεληθέναι ὅτι ἄλλη ἑκάστῳ γένει ἁρμόττει λέξις. οὐ γὰρ ἡ αὐτὴ γραφικὴ καὶ ἀγωνιστική, οὐδὲ δη- 5
μηγορικὴ καὶ δικανική. ἄμφω δὲ ἀνάγκη εἰδέναι· τὸ μὲν γάρ ἐστιν ἑλληνίζειν ἐπίστασθαι, τὸ δὲ μὴ ἀναγκάζεσθαι κατασιωπᾶν, ἄν τι βούληται μεταδοῦναι τοῖς ἄλλοις, ὅ περ πάσχουσιν οἱ μὴ ἐπιστάμενοι γράφειν. ἔστι δὲ λέξις γραφικὴ μὲν ἡ ἀκριβεστάτη, ἀγωνιστικὴ δὲ ἡ ὑποκριτικωτάτη. ταύτης δὲ δύο εἴδη· ἡ μὲν γὰρ ἠθικὴ ἡ δὲ παθητική. 10
διὸ καὶ οἱ ὑποκριταὶ τὰ τοιαῦτα τῶν δραμάτων διώκουσι, καὶ οἱ ποιηταὶ τοὺς τοιούτους. βαστάζονται δὲ οἱ ἀναγνω-

22 ὑπερβολὴ] μεταφορά C in ras. ‖ διαφέρουσιν Z^bB ‖ 24 ζυγομαχεῖ ΘBEAld. ‖ 25 ᾠήθη ΘBDEAld. ‖ φιλάμμονα QZ^b et pr. Y^bD ‖ 26 φορεῖ C ‖ 28 ᾠήθησαν δ' οὐ A^c, ᾠήθην δ' οὐ Q, ᾠήθη δ' οὐ $Y^b Z^b$ΠAld., cf. ad 1410a, 31 ‖ 29 δ' αἱ ὑπερβολαί C schol. 69a, 24, Bonitz ‖ σφοδρότητα ex A^c Vict., σφοδρότατα $Y^b Z^b$ ‖ 31 δοίης A^cQZ^bE schol., ς in ras. C ‖ 33 εἰ corr. A^c ‖ χρυσῆι A^cΘBC ‖ 1413b, 1 Verba χρῶνται — ῥήτορες, quae disputationis tenorem interrumpunt, a posteriore intrusa esse iam pridem coniectura veri simillima est ‖ πρεσβυτέρου Z^b ‖ 4 ἡ αὐτὴ γραφικὴ] ἠδὺ τῆι γραφικῆι A^c ‖ 6 ἐστιν om. Tr.

Digitized by Google

στικοί, οἷον Χαιρήμων, ἀκριβὴς γὰρ ὥσπερ λογογράφος, καὶ Λικύμνιος τῶν διθυραμβοποιῶν. καὶ παραβαλλόμενοι
15 οἱ μὲν τῶν γραφικῶν ἐν τοῖς ἀγῶσι στενοὶ φαίνονται, οἱ δὲ τῶν ῥητόρων εὖ λεχθέντες ἰδιωτικοὶ ἐν ταῖς χερσίν. αἴτιον δ' ὅτι ἐν τῷ ἀγῶνι ἁρμόττει· διὸ καὶ τὰ ὑποκριτικὰ ἀφῃρημένης τῆς ὑποκρίσεως οὐ ποιοῦντα τὸ αὐτῶν ἔργον φαίνεται εὐήθη, οἷον τά τε ἀσύνδετα καὶ τὸ πολλά-
20 κις τὸ αὐτὸ εἰπεῖν ἐν τῇ γραφικῇ ὀρθῶς ἀποδοκιμάζεται, ἐν δὲ ἀγωνιστικῇ οὔ, καὶ οἱ ῥήτορες χρῶνται· ἔστι γὰρ ὑποκριτικά. ἀνάγκη δὲ μεταβάλλειν τὸ αὐτὸ λέγοντας, ὅ περ ὥσπερ ὁδοποιεῖ τῷ ὑποκρίνεσθαι· οὗτός ἐστιν ὁ κλέψας ὑμῶν, οὗτός ἐστιν ὁ ἐξαπατήσας, οὗτος ὁ τὸ ἔσχατον προ-
25 δοῦναι ἐπιχειρήσας. οἷον καὶ Φιλήμων ὁ ὑποκριτὴς ἐποίει ἔν τε τῇ Ἀναξανδρίδου γεροντομανίᾳ, ὅτε λέγοι Ῥαδάμανθυς καὶ Παλαμήδης, καὶ ἐν τῷ προλόγῳ τῶν Εὐσεβῶν τὸ ἐγώ· ἐὰν γάρ τις τὰ τοιαῦτα μὴ ὑποκρίνηται, γίγνεται ὁ τὴν δοκὸν φέρων. καὶ τὰ ἀσύνδετα ὡσαύτως· ἦλθον, ἀπήν-
30 τησα, ἐδεόμην· ἀνάγκη γὰρ ὑποκρίνεσθαι καὶ μὴ ὡς ἓν λέγοντα τῷ αὐτῷ ἤθει καὶ τόνῳ εἰπεῖν. ἔτι ἔχει ἴδιόν τι

13 λογογράφοι. Z^b ‖ 15 τῶν γραφῶν A^c et Tr. ‖ 16 εὖ λεχθέντες] ἢ τῶν λεχθέντων A^c, ῥητόρων εὖ λεχθέντων Θ(pr. Y^b)DAld., εὖ μὲν λεχθέντες schol., qui et 17 ἁρμόττει ἡ ὑπόκρισις legisse videtur, καὶ παραβαλλομένη ἡ μὲν τῶν γραφόντων (vel γραφομένων) ἐν τοῖς ἀγῶσι στενὴ φαίνεται, ἡ δὲ τῶν ῥητόρων ἢ τῶν λεχθέντων ἰδιωτικὴ ἐν ταῖς χερσίν, αἴτιον δ' ὅτι ἐν τῷ ἀγῶνι ἁρμόττει coni. Spengel. Cum locus difficillimus nondum sanatus sit, vulgatam constitutam a Victorio secutus sum ‖ 19 εὐήθως Z^b et pr. Y^b EAld. ‖ 21 ἀγωνιστικῇ οὔ A^c, unde Vaterum secutus οὔ Spengel, quod om. ΘΠ ‖ ἀγωνιστικῇ] ἀποδεικτικῇ QB, τῇ ἀποδεικτικῇ C schol. Tr., ἀποδεικτικῷ $Y^b Z^b$DEAld., ἐν δὲ ἀγωνιστικῇ καὶ οἱ ῥήτορες χρῶνται Bekk.[3] ‖ 22 ὑποκριτική QBDEAld., ὑποκριτικὸν Z^bCschol. ‖ 23 ὥσπερ ex A^c et Tr. Vict., om. ΘΠschol. ‖ ὡδοποιεῖ A^c (an ὡδοποίει?), ὡς προοδοποιεῖ ex coniectura Bekker[3] ‖ τῷ ex A^c et Tr. Vict., τὸ ΘBDE, om. C ‖ οὗτος δὲ ὁ κλέψας ΘBDE ‖ 24 ἡμῶν Tr. ‖ ἔστιν etiam in tertio membro addit Tr. ‖ 25 ὁ ὑποκριτικός A^c et Tr. ‖ 26 λέγοι scripsi monente Spengelio, λέγει libri ‖ 31 ἔτι] ὅτι coni. Spengel et duo enuntiata coniungit.

Digitized by Google

τὰ ἀσύνδετα· ἐν ἴσῳ γὰρ χρόνῳ πολλὰ δοκεῖ εἰρῆσθαι· ὁ γὰρ σύνδεσμος ἓν ποιεῖ τὰ πολλά, ὥστε ἐὰν ἐξαιρεθῇ, δῆλον ὅτι τοὐναντίον ἔσται τὸ ἓν πολλά. ἔχει οὖν αὔξησιν· ἦλθον, διελέχθην, ἱκέτευσα· πολλὰ δοκεῖ, ὑπερεῖδεν ὅσα εἶπον. 1414a τοῦτο δὲ βούλεται ποιεῖν καὶ Ὅμηρος ἐν τῷ

Νιρεὺς αὖ Σύμηθεν,
Νιρεὺς Ἀγλαΐης,
Νιρεὺς ὃς κάλλιστος.

περὶ οὗ γὰρ πολλὰ λέγεται, ἀνάγκη καὶ πολλάκις εἰρῆσθαι· εἰ οὖν καὶ πολλάκις, καὶ πολλὰ δοκεῖ, ὥστε ηὔξησεν ἅπαξ 5 μνησθεὶς διὰ τὸν παραλογισμόν, καὶ μνήμην πεποίηκεν, οὐδαμοῦ ὕστερον αὐτοῦ λόγον ποιησάμενος.

ἡ μὲν οὖν δημηγορικὴ λέξις καὶ παντελῶς ἔοικεν τῇ σκιαγραφίᾳ· ὅσῳ γὰρ ἂν πλείων ᾖ ὁ ὄχλος, πορρώτερον ἡ θέα, διὸ τὰ ἀκριβῆ περίεργα καὶ χείρω φαίνεται ἐν ἀμ- 10 φοτέροις· ἡ δὲ δικανικὴ ἀκριβεστέρα. ἔτι δὲ μᾶλλον ἡ ⟨ἐν⟩ ἑνὶ κριτῇ· ἐλάχιστον γάρ ἐστιν ἑνὶ ῥητορικῆς· εὐσύνοπτον γὰρ μᾶλλον τὸ οἰκεῖον τοῦ πράγματος καὶ τὸ ἀλλότριον, καὶ ὁ ἀγὼν ἄπεστιν, ὥστε καθαρὰ ἡ κρίσις. διὸ οὐχ οἱ αὐτοὶ ἐν πᾶσιν τούτοις εὐδοκιμοῦσιν ῥήτορες· ἀλλ' ὅπου μάλιστα 15 ὑποκρίσεως, ἐνταῦθα ἥκιστα ἀκρίβεια ἔνι. τοῦτο δὲ ὅπου φωνῆς, καὶ μάλιστα ὅπου μεγάλης.

34 τοὐναντίον ἔσται τὸ ἓν πολλά. ex A^c et Tr. Vict., τοὐναντίον post πολλά Y^b Z^b(?) B C E ‖ τοὐναντίον ἔχει οὖν — 1414a, 1 πολλὰ om. Q ‖ 1414a, 1 Sic dedit Spengel, ὑπεριδεῖν ὅσα εἶπεν A^c, πολλά· δοκεῖ δὲ ὑπεριδεῖν ὅσα εἶπον, ὅσα φημί Θ Π Ald., nisi quod B C δὲ omittunt, πολλὰ δοκεῖ ὑπεριδεῖν ὅσα εἶπεν Bekker³, „*multa videntur ostentari, quaecunque dixi*" Tr. (?) ‖ 2 ἐν τῷ om. Tr. ‖ 4 λέγεται ex A^c Spengel, εἴρηται cet. ‖ 8 καὶ om. Tr. ‖ 11 ἡ δὲ δικανικὴ ἀκριβεστέρα partim ex Tyrwhiti coniectura scripsit Spengel, ἡ δίκη ἀκριβέστερον libri omnes praeter C, ubi δικανική ‖ καὶ ἔτι μᾶλλον Tr. ‖ ἡ] εἰ Y^b B C ‖ ἐν monente Spengelio inserui ‖ 12 ἐν ῥητορικῆς A^c, unde ἔνεστι ῥητορικῆς coni. Spengel, ἑνὶ ῥητορικῆς (scil. ἑνὶ κριτῇ) dedit Vahlen, ἐν ῥητορικοῖς Θ Π Tr. (τοῖς addit C) ‖ 13 δὲ pro γὰρ Tr.

Digitized by Google

ἡ μὲν οὖν ἐπιδεικτικὴ λέξις γραφικωτάτη· τὸ γὰρ ἔργον αὐτῆς ἀνάγνωσις· δευτέρα δὲ ἡ δικανική. τὸ δὲ προσδιαι-
20 ρεῖσθαι τὴν λέξιν, ὅτι ἡδεῖαν δεῖ καὶ μεγαλοπρεπῆ, περίεργον· τί γὰρ μᾶλλον ἢ σώφρονα καὶ ἐλευθέριον καὶ εἴ τις ἄλλη ἤθους ἀρετή; τὸ δὲ ἡδεῖαν εἶναι ποιήσει δῆλον ὅτι τὰ εἰρημένα, εἴπερ ὀρθῶς ὥρισται ἡ ἀρετὴ τῆς λέξεως· τίνος γὰρ ἕνεκα δεῖ σαφῆ καὶ μὴ ταπεινὴν εἶναι ἀλλὰ
25 πρέπουσαν; ἄν τε γὰρ ἀδολεσχῇ, οὐ σαφής, οὐδὲ ἂν σύντομος. ἀλλὰ δῆλον ὅτι τὸ μέσον ἁρμόττει. καὶ τὸ ἡδεῖαν τὰ εἰρημένα ποιήσει, ἂν εὖ μιχθῇ, τὸ εἰωθὸς καὶ ξενικόν, καὶ ὁ ῥυθμός, καὶ τὸ πιθανὸν ἐκ τοῦ πρέποντος.

περὶ μὲν οὖν τῆς λέξεως εἴρηται, καὶ κοινῇ περὶ ἁπάν-
30 των καὶ ἰδίᾳ περὶ ἕκαστον γένος· λοιπὸν δὲ περὶ τάξεως 13
εἰπεῖν. ἔστι δὲ τοῦ λόγου δύο μέρη· ἀναγκαῖον γὰρ τό τε πρᾶγμα εἰπεῖν περὶ οὗ, καὶ τοῦτ' ἀποδεῖξαι. διὸ εἰπόντα μὴ ἀποδεῖξαι ἢ ἀποδεῖξαι μὴ προειπόντα ἀδύνατον· ὅ τε γὰρ ἀποδεικνύων τι ἀποδείκνυσι, καὶ ὁ προλέγων ἕνεκα
35 τοῦ ἀποδεῖξαι προλέγει. τούτων δὲ τὸ μὲν πρόθεσίς ἐστι τὸ δὲ πίστις, ὥσπερ ἂν εἴ τις διέλοι ὅτι τὸ μὲν πρόβλημα τὸ δὲ ἀπόδειξις. νῦν δὲ διαιροῦσι γελοίως· διήγησις γάρ
που τοῦ δικανικοῦ μόνου λόγου ἐστίν, ἐπιδεικτικοῦ δὲ καὶ δημηγορικοῦ πῶς ἐνδέχεται εἶναι διήγησιν οἷαν λέγουσιν,
1414b ἢ τὰ πρὸς τὸν ἀντίδικον, ἢ ἐπίλογον τῶν ἀποδεικτικῶν; προοίμιον δὲ καὶ ἀντιπαραβολὴ καὶ ἐπάνοδος ἐν ταῖς δημηγορίαις τότε γίνεται ὅταν ἀντιλογία ᾖ. καὶ γὰρ ἡ κατη-

18 γραφικώτατον Y^bZ^bDEAld. ‖ 19 αὐτοῦ ΘDE ‖ 20 δεῖ εἶναι CTr. ‖ 22 τὸ δὲ ex A^c et Tr. Spengel, τὸ γὰρ ΘΠ ‖ 22 εἶναι om. Tr. ‖ 24 ταπεινόν Z^b ‖ 25 σύντομον ΘDEAld. ‖ 30 λοιπὸν δὴ pr. Q corr. δεῖ ‖ 31 μέρη ⟨ἀναγκαῖα⟩ ἀναγκαῖον coni. Spengel ‖ τὸ τό τε DE ‖ 32 τοῦτ A^c et Tr. et pr. Gaisford, τότ' ΘΠ ‖ 33 εἰπόντα QTr. ‖ 38 μόνου λόγου ex A^c pr. Gaisford, λόγου μόνου $QY^bΠ$Tr.Ald., που omissum in Tr. et schol., vel μόνου dubitanter delet Spengel ‖ 39 εἶναι διήγησιν ex A^c Gaisford, διήγησιν εἶναι ΘΠ ‖ 1414b, 1 ἀποδεικτικὸν Tr.

Digitized by Google

γορία καὶ ἡ ἀπολογία πολλάκις, ἀλλ' οὐχ ᾗ συμβουλή· ἀλλ' ὁ ἐπίλογος ἔτι οὐδὲ δικανικοῦ παντός, οἷον ἐὰν μικρὸς ὁ λόγος ἢ τὸ πρᾶγμα εὐμνημόνευτον· συμβαίνει γὰρ τοῦ μήκους ἀφαιρεῖσθαι. ἀναγκαῖα ἄρα μόρια πρόθεσις καὶ πίστις. ἴδια μὲν οὖν ταῦτα, τὰ δὲ πλεῖστα προοίμιον πρόθεσις πίστις ἐπίλογος· τὰ γὰρ πρὸς τὸν ἀντίδικον τῶν πίστεών ἐστι, καὶ ἡ ἀντιπαραβολὴ αὔξησις τῶν αὐτοῦ, ὥστε μέρος τι τῶν πίστεων· ἀποδείκνυσι γάρ τι ὁ ποιῶν τοῦτο, ἀλλ' οὐ τὸ προοίμιον, οὐδ' ὁ ἐπίλογος, ἀλλ' ἀναμιμνήσκει. ἔσται οὖν, ἄν τις τὰ τοιαῦτα διαιρῇ, ὅ περ ἐποίουν οἱ περὶ Θεόδωρον, διήγησις ἕτερον καὶ ἡ ἐπιδιήγησις καὶ προδιήγησις καὶ ἔλεγχος καὶ ἐπεξέλεγχος. δεῖ δὲ εἶδός τι λέγοντα καὶ διαφοράν ὄνομα τίθεσθαι· εἰ δὲ μή, γίνεται κενὸν καὶ ληρῶδες, οἷον Λικύμνιος ποιεῖ ἐν τῇ τέχνῃ, ἐπούρωσιν ὀνομάζων καὶ ἀποπλάνησιν καὶ ὄζους.

14 τὸ μὲν οὖν προοίμιόν ἐστιν ἀρχὴ λόγου, ὅ περ ἐν ποιήσει πρόλογος καὶ ἐν αὐλήσει προαύλιον· πάντα γὰρ ἀρχαὶ ταῦτ' εἰσί, καὶ οἷον ὁδοποίησις τῷ ἐπιόντι. τὸ μὲν οὖν προαύλιον ὅμοιον τῷ τῶν ἐπιδεικτικῶν προοιμίῳ· καὶ γὰρ οἱ αὐληταί, ὅ τι ἂν εὖ ἔχωσιν αὐλῆσαι, τοῦτο προ-

4 ᾗ CDE Aldus, ἡ cet. ‖ ἀλλ' ὁ ἐπίλογος ἔτι ex codd. pr. Vict., ἀλλ' ὁ ἐπίλογος· ἔτι Θ(?), ἀλλ' ὁ ἐπίλογος· ἔτι δὲ DE, ἔτι aut in ἐστι mutandum aut delendum censet Spengel ‖ 7 ἀφαιρεῖσθαι ex A^c et Tr. Vict., ἀφαιρουμένου DE ‖ 8 ἰδίαι A^c, ἴδια γὰρ Tr., ἴδια — 9 πίστις om. Q ‖ 14 Contra codd. auctoritatem et usum Aristot. ἡ ante ἐπιδιήγησις om. Morelius Bekker[8] ‖ 15 ἐπεξέλεγχος ex codd. (A^c) Vict., ἐπέλεγχος ΘDE ‖ 16 λέγοντας ΘΠ ‖ ὀνόματι θέσθαι A^c, καὶ ὄνομα τι τίθεσθαι Tr. ‖ 17 κενὸν in ras. A^c, κοινὸν Y^b Z^b Ald. ‖ Λυκίμνιος QE ‖ ἐπούρωσιν A^c et Tr., ἐπόρουσιν corr. Y^b C schol., ἐπέρωσιν Q Z^b DE Ald., ἐπέρρωσιν Portus, ὄνομα τίθεσθαι ⟨σαφές⟩ schol. legisse videtur, unde maiore correctione totum locum sic scribendum censet Spengel: τίθεσθαι· ἰδεῖν δὲ μὴ γένηται κενὸν καὶ ληρῶδες οἷον ..... τέχνῃ, ἐπούρωσιν ὀνομάζων ἀποπλάνησιν καὶ ὄζους ‖ 19 ὥσπερ Tr. ‖ 22 προοιμίων A^c, τῷ μὲν οὖν προαυλίῳ ὅμοιον τὸ τῶν ἐπιδεικτικῶν προοίμιον coni. Spengel ‖ 23 εὖ ex A^c et Tr. Vict., om. ΘΠ ‖ προαυλίσαντες Y^b, προαβλήσαντες Z^b.

Digitized by Google

αυλήσαντες συνῆψαν τῷ ἐνδοσίμῳ, καὶ ἐν τοῖς ἐπιδεικτι-
25 κοῖς λόγοις δεῖ οὕτως γράφειν· ὅ τι γὰρ ἂν βούληται εὐθὺ
εἰπόντα ἐνδοῦναι καὶ συνάψαι, ὅ περ πάντες ποιοῦσιν.
παράδειγμα τὸ τῆς Ἰσοκράτους Ἑλένης προοίμιον· οὐθὲν
γὰρ οἰκεῖον ὑπάρχει τοῖς ἐριστικοῖς καὶ Ἑλένῃ. ἅμα δὲ καὶ
ἐὰν ἐκτοπίσῃ, ἁρμόττει, καὶ μὴ ὅλον τὸν λόγον ὁμοειδῆ
30 εἶναι. λέγεται δὲ τὰ τῶν ἐπιδεικτικῶν προοίμια ἐξ ἐπαίνου
ἢ ψόγου, οἷον Γοργίας μὲν ἐν τῷ Ὀλυμπικῷ λόγῳ, ὑπὸ
πολλῶν ἄξιοι θαυμάζεσθαι, ὦ ἄνδρες Ἕλληνες· ἐπαινεῖ
γὰρ τοὺς τὰς πανηγύρεις συνάγοντας· Ἰσοκράτης δὲ ψέγει
ὅτι τὰς μὲν τῶν σωμάτων ἀρετὰς δωρεαῖς ἐτίμησαν, τοῖς
35 δ' εὖ φρονοῦσιν οὐθὲν ἆθλον ἐποίησαν. καὶ ἀπὸ συμβου-
λῆς, οἷον ὅτι δεῖ τοὺς ἀγαθοὺς τιμᾶν, διὸ καὶ αὐτὸς
Ἀριστείδην ἐπαινεῖ, ἢ τοὺς τοιούτους οὗ μήτε εὐδοκιμοῦσιν
μήτε φαῦλοι, ἀλλ' ὅσοι ἀγαθοὶ ὄντες ἄδηλοι, ὥσπερ Ἀλέ-
1415a ξανδρος ὁ Πριάμου· οὗτος γὰρ συμβουλεύει. ἔτι δ' ἐκ τῶν
δικανικῶν προοιμίων· τοῦτο δ' ἐστὶν ἐκ τῶν πρὸς τὸν ἀκροα-
τήν, εἰ περὶ παραδόξου λόγος ἢ περὶ χαλεποῦ ἢ περὶ τεθρυ-
λημένου πολλοῖς, ὥστε συγγνώμην ἔχειν, οἷον Χοιρίλος

νῦν δ' ὅτε πάντα δέδασται.

5 τὰ μὲν οὖν τῶν ἐπιδεικτικῶν λόγων προοίμια ἐκ τούτων, ἐξ ἐπαίνου, ἐκ ψόγου, ἐκ προτροπῆς, ἐξ ἀποτροπῆς,

24 „persecuntur seriosum" Tr. (non vertit *συνῆψαν τῷ ἐνδοσίμῳ*, de cuius lectionis veritate dubitat Spengel), *συνάπτουσι* schol. ‖ 26 *καὶ πάντες* schol. ‖ 28 *οἰκεῖον* libri omnes, *κοινὸν* coni. Bonitz (cf. Poet. 1447b, 17), quod recepit Spengel, (*οἰκεῖον* h. l. „cognatum" significare videtur et ferri potest) ‖ 29 *καὶ μὴ* A^c, quod recepit Spengel, *καὶ* om. cet. ‖ 31 *Ὀλυμπικῷ* ex A^c Vict., *Ὀλυμπιακῷ* ΘBE ‖ 36 *ὁ αὐτὸς* scil. Gorgias(?) dubitanter coni. Spengel, an *ἐπαινεῖν*? ‖ 37 *ἢ τοὺς τοιούτους* ex A^c Vict., *οὐ τοὺς* ΘEAld., *καὶ τοὺς* B ‖ 38 *ἄδηλοι* ex A^c et Tr. Vict., *ἀλλήλοις* ΘΠ ‖ 1415a, 1 *ὁ Πριάμου* non legit schol. nec parum offendit, cf. 1363a, 18 ‖ *γρ. καὶ οὕτως* C in marg. et schol. fol. 73a, 38, sed *οὗτος* verum est; nam ipse heros declamans inducitur, ut nuper vidit Bruno Keil Hermes 19, p. 649 ‖ 3 *τεθρυλλημένου* ΘΠ ‖ 5 *λόγων*] *λεγόμενα* DE.

Digitized by Google

ἐκ τῶν πρὸς τὸν ἀκροατήν· δεῖ δὲ ἢ ξένα ἢ οἰκεῖα εἶναι τὰ ἐνδόσιμα τῷ λόγῳ. τὰ δὲ τοῦ δικανικοῦ προοίμια δεῖ λαβεῖν ὅτι ταὐτὸ δύναται ὅ περ τῶν δραμάτων οἱ πρόλογοι καὶ τῶν ἐπῶν τὰ προοίμια· τὰ μὲν γὰρ τῶν διθυράμβων 10 ὅμοια τοῖς ἐπιδεικτικοῖς·

διὰ σὲ καὶ τεὰ δῶρα εἴτε σκῦλα.

ἐν δὲ τοῖς λόγοις καὶ ἔπεσι δεῖγμά ἐστιν τοῦ λόγου, ἵνα προειδῶσι περὶ οὗ ᾖ ὁ λόγος καὶ μὴ κρέμηται ἡ διάνοια· τὸ γὰρ ἀόριστον πλανᾷ· ὁ δοὺς οὖν ὥσπερ εἰς τὴν χεῖρα τὴν ἀρχὴν ποιεῖ ἐχόμενον ἀκολουθεῖν τῷ λόγῳ. διὰ τοῦτο 15

μῆνιν ἄειδε θεά.

ἄνδρα μοι ἔννεπε μοῦσα.

ἤγεό μοι λόγον ἄλλον, ὅπως Ἀσίας ἀπὸ γαίης
ἦλθεν ἐς Εὐρώπην πόλεμος μέγας.

καὶ οἱ τραγικοὶ δηλοῦσι περὶ τὸ δρᾶμα, κἂν μὴ εὐθὺς ὥσπερ Εὐριπίδης, ἀλλ' ἐν τῷ προλόγῳ γέ που [δηλοῖ,] ὥσπερ 20 καὶ Σοφοκλῆς

ἐμοὶ πατὴρ ἦν Πόλυβος.

καὶ ἡ κωμῳδία ὡσαύτως. τὸ μὲν οὖν ἀναγκαιότατον ἔργον

7 *δεῖ δὲ ξένα, οὐκ οἰκεῖα* vel *μᾶλλον ξένα ἢ οἰκεῖα* exspectat Spengel (vix recte) ‖ 8 *τῶν δικανικῶν* praefert Spengel (sed cf. 1415b, 33) ‖ *προοιμίου* A^c ‖ 11 *εἴ τι* Z^b, *εἶτα σκύλλα* A^c ‖ 12 *ἐν δὲ τοῖς προλόγοις* schol. et Tr. ‖ *λόγοις καὶ* seclusit Spengel, sed verba nullo modo abesse possunt; itaque uncinos delevi ‖ 13 *προίδωσιν* A^c et Tr. (?), quod recepit Gaisford, *προειδῶσι* cet. ‖ *ᾖ* ex A^c, ubi *ἠῖ*, cum Gaisfordio recepi, delet Spengel, *ἦν* ΘCDE, quod Bekk.[3] retinuit ‖ *κρέμαται* ΘBE schol. Ald. ‖ 15 „*volenti intendere orationi*" (*βουλόμενον ἀκολουθεῖν*?) Tr. ‖ 17 *λόγον ἄλλον* pr. Vict. ex Tr. et A^c, ubi *ἤγε ὁμοιόλογον, λόγων ἄλλων* QY^b Ald. et corr. Z^b *Π* ‖ *Ἀσίης* coni. Barnesius ‖ 19 *περὶ δ τὸ δρᾶμα* coni. Portus ‖ 20 *δηλοῖ* auctore Vahlenio seclusit Bekker[3] ‖ *ὥσπερ Εὐριπίδης ἐν τῷ προλόγῳ, ἀλλά γέ που ὥσπερ Σοφοκλῆς* (vel *ὥσπερ δηλοῖ καὶ Σ.*) *ἐμοὶ πατὴρ ἦν Πόλυβος* coni. Spengel. Verba *ἐμοὶ πατὴρ ἦν Πόλυβος* cum Twiningio et Vatero delenda censeo nec legisse videtur schol. De toto loco cf. Mus. Rhen. N. F. XXXIX pag. 508 sqq. ‖ 21 *πολύβιος* A^c et *Π*.

Digitized by Google

τοῦ προοιμίου καὶ ἴδιον τοῦτο, δηλῶσαι τί ἐστιν τὸ τέλος οὗ ἕνεκα ὁ λόγος· διόπερ ἂν δῆλον ᾖ καὶ μικρὸν τὸ πρᾶγμα, οὐ χρηστέον προοιμίῳ. τὰ δὲ ἄλλα εἴδη οἷς χρῶνται, ἰα-
25 τρεύματα καὶ κοινά. λέγεται δὲ ταῦτα ἔκ τε τοῦ λέγοντος καὶ τοῦ ἀκροατοῦ καὶ τοῦ πράγματος καὶ τοῦ ἐναντίου. περὶ αὐτοῦ μὲν καὶ τοῦ ἀντιδίκου, ὅσα περὶ διαβολὴν λῦσαι καὶ ποιῆσαι. ἔστιν δὲ οὐχ ὁμοίως· ἀπολογουμένῳ μὲν γὰρ πρῶτον τὰ πρὸς διαβολήν, κατηγοροῦντι δ' ἐν τῷ ἐπι-
30 λόγῳ. δι' ὃ δέ, οὐκ ἄδηλον· τὸν μὲν γὰρ ἀπολογούμενον, ὅταν μέλλῃ εἰσάξειν αὐτόν, ἀναγκαῖον ἀνελεῖν τὰ κωλύοντα, ὥστε λυτέον πρῶτον τὴν διαβολήν· τῷ δὲ διαβάλλοντι ἐν τῷ ἐπιλόγῳ διαβλητέον, ἵνα μνημονεύσωσι μᾶλλον. τὰ δὲ πρὸς τὸν ἀκροατὴν ἔκ τε τοῦ εὔνουν ποιῆσαι καὶ ἐκ τοῦ
35 ὀργίσαι, καὶ ἐνίοτε τὸ προσεκτικὸν ἢ τοὐναντίον· οὐ γὰρ ἀεὶ συμφέρει ποιεῖν προσεκτικόν, διὸ πολλοὶ εἰς γέλωτα πειρῶνται προάγειν. εἰς δὲ εὐμάθειαν ἅπαντα ἀνάξει, ἐάν τις βούληται, καὶ τὸ ἐπιεικῆ φαίνεσθαι· προσέχουσι γὰρ
1415b μᾶλλον τούτοις. προσεκτικοὶ δὲ τοῖς μεγάλοις, τοῖς ἰδίοις, τοῖς θαυμαστοῖς, τοῖς ἡδέσιν· διὸ δεῖ ἐμποιεῖν ὡς περὶ τοιούτων ὁ λόγος. ἐὰν δὲ μὴ προσεκτικούς, ὅτι μικρόν, ὅτι οὐδὲν πρὸς ἐκείνους, ὅτι λυπηρόν. δεῖ δὲ μὴ λαν-
5 θάνειν ὅτι πάντα ἔξω τοῦ λόγου τὰ τοιαῦτα· πρὸς φαῦλον γὰρ ἀκροατὴν καὶ τὰ ἔξω τοῦ πράγματος ἀκούοντα, ἐπεὶ ἂν μὴ τοιοῦτος ᾖ, οὐθὲν δεῖ προοιμίου, ἀλλ' ἢ ὅσον τὸ πρᾶγμα εἰπεῖν κεφαλαιωδῶς, ἵνα ἔχῃ ὥσπερ σῶμα κεφαλήν. ἔτι τὸ προσεκτικοὺς ποιεῖν πάντων τῶν μερῶν

22 τί ἐστιν A^c Tr. Vict., om. ΘΠ ‖ 26 ἔκ τε τοῦ λέγοντος καὶ τοῦ ἐναντίου connectenda censet Spengel ‖ 27 διαβολῆς C D E Ald. ‖ 29 πρὸς διαβολὴν ex codd. (A^c) pr. Vict., διαβολῆς ΘB ‖ 33 μνημονεύωσι Y^b D E ‖ 34 alt. ἐκ om. ΘΠ Ald. ‖ 35 τὸ ex A^c et Tr. Spengel, καὶ ἐνίοτε δὲ ἐκ τοῦ ΘΠ ‖ 1415b, 4 Desideratur h. l. membrum, quod respondeat superiori θαυμαστόν v. c. εὐτελές (cf. 1408a, 13) vel tale quid ‖ 7 ἔδει(?) Tr. ‖ 8 Post ἔχῃ addit ὁ λόγος ead. man. supra lin. C (ex schol.?) ‖ 9 προσεκτικόν Y^b Ald.

Digitized by Google

ποινόν, ἐὰν δέῃ· πανταχοῦ γὰρ ἀνιᾶσι μᾶλλον ἢ ἀρχόμε- 10
μενοι. διὸ γελοῖον ἐν ἀρχῇ τάττειν, ὅτε μάλιστα πάντες προσ-
έχοντες ἀκροῶνται. ὥστε ὅπου ἂν ᾖ καιρός, λεπτέον, καί
μοι προσέχετε τὸν νοῦν· οὐθὲν γὰρ μᾶλλον ἐμὸν ἢ ὑμέ-
τερον, καὶ

ἐρῶ γὰρ ὑμῖν οἷον οὐδεπώποτε

ἀκηκόατε δεινὸν ἢ οὕτω θαυμαστόν. τοῦτο δ' ἐστίν, ὥσπερ 15
ἔφη Πρόδικος, ὅτε νυστάζοιεν οἱ ἀκροαταί, παρεμβάλλειν
τῆς πεντηκονταδράχμου αὐτοῖς. ὅτι δὲ πρὸς τὸν ἀκροατὴν
οὐχ ᾧπερ [ὁ] ἀκροατής, δῆλον· πάντες γὰρ ἢ διαβάλλουσιν
ἢ φόβους ἀπολύονται ἐν τοῖς προοιμίοις.

ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως σπουδῆς ὕπο. 20

τί φροιμιάζῃ;

καὶ οἱ πονηρὸν τὸ πρᾶγμα ἔχοντες ἢ δοκοῦντες· πανταχοῦ
γὰρ βέλτιον διατρίβειν ἢ ἐν τῷ πράγματι, διὸ οἱ δοῦλοι οὐ
τὰ ἐρωτώμενα λέγουσιν ἀλλὰ τὰ κύκλῳ, καὶ προοιμιάζονται.
πόθεν δ' εὔνους δεῖ ποιεῖν, εἴρηται, καὶ τῶν ἄλλων ἕκαστον 25
τῶν τοιούτων. ἐπεὶ δ' εὖ λέγεται

δός μ' ἐς Φαίηκας φίλον ἐλθεῖν ἠδ' ἐλεεινόν,

τούτων οὖν δεῖ δύο στοχάζεσθαι. ἐν δὲ τοῖς ἐπιδεικτικοῖς
οἴεσθαι δεῖ ποιεῖν συνεπαινεῖσθαι τὸν ἀκροατήν, ἢ αὐτὸν
ἢ γένος ἢ ἐπιτηδεύματ' αὐτοῦ ἢ ἁμῶς γέ πως· ὃ γὰρ 30
λέγει Σωκράτης ἐν τῷ ἐπιταφίῳ, ἀληθές, ὅτι οὐ χαλεπὸν
Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν ἀλλ' ἐν Δακεδαιμονίοις.

10 ἀνείασιν A^c, ἀνιῶσι Y^b B, ἀνιάσει E Ald. ‖ 11 „in principio praecipere (προστάττειν?), quod" (ὅτι) Tr. ‖ 13 οὐδὲ Y^b Z^b Π ‖ 14 καὶ om. Tr. et schol. ‖ 18 ὁ monente iam Victorio seclusi ‖ 21 τί φροιμιάζῃ post v. 24 προοιμιάζονται inserendum censuit Gaisford ‖ 22 πονηρὸν δὲ τὸ ΘBCD ‖ 24 τὰ ante κύκλῳ in ras. A^c ‖ 25 τῶν ἄλλων] τῷ μᾶλλον Y^b BC Ald., τῶν ἀγγέλων δ' (?) Q ‖ 26 ἐπεὶ δὴ ΘBC ‖ 28 οὖν ex A^c (et schol.) receperunt Gaisford et Spengel in commentario, om. cet. Ald. ‖ 30 ἐπιτήδευμα ΘB CD Tr. ‖ ἁμῶς scripsi Bekkerum secutus, ἄλλως libri omnes, quod retinuit Spengel, cf. praefat. pag. XV ‖ γε om. Z^b.

Digitized by Google

τὰ δὲ τοῦ δημηγορικοῦ ἐκ τῶν τοῦ δικανικοῦ λόγου ἐστίν, φύσει δὲ ἥκιστα ἔχει· καὶ γὰρ καὶ περὶ οὗ ἴσασιν, καὶ οὐδὲν δεῖται τὸ πρᾶγμα προοιμίου, ἀλλ' ἢ δι' αὐτὸν ἢ τοὺς ἀντιλέγοντας, ἢ ἐὰν μὴ ἡλίκον βούλει ὑπολαμβάνωσιν, ἀλλ' ἢ μεῖζον ἢ ἔλαττον, διὸ ἢ διαβάλλειν ἢ ἀπολύεσθαι ἀνάγκη, καὶ ἢ αὐξῆσαι ἢ μειῶσαι. τούτων δὲ ἕνεκα προοιμίου δεῖται, ἢ κόσμου χάριν, ὡς αὐτοκάβδαλα φαίνεται, ἐὰν μὴ ἔχῃ. τοιοῦτον γὰρ τὸ Γοργίου ἐγκώμιον εἰς Ἠλείους· οὐδὲν γὰρ προεξάγκωνίσας οὐδὲ προανακινήσας εὐθὺς ἄρχεται Ἦλις πόλις εὐδαίμων.

περὶ δὲ διαβολῆς ἐν μὲν τὸ ἐξ ὧν ἄν τις ὑπόληψιν δυσχερῆ ἀπολύσαιτο· οὐθὲν γὰρ διαφέρει εἴτε εἰπόντος τινὸς εἴτε μή, ὥστε τοῦτο καθόλου. ἄλλος τόπος ὥστε πρὸς τὰ ἀμφισβητούμενα ἀπαντᾶν, ἢ ὡς οὐκ ἔστιν, ἢ ὡς οὐ βλαβερὸν ἢ οὐ τούτῳ ἢ ὡς οὐ τηλικοῦτον, ἢ οὐκ ἄδικον ἢ οὐ μέγα, ἢ οὐκ αἰσχρὸν ἢ οὐκ ἔχον μέγεθος· περὶ γὰρ τοιούτων ἡ ἀμφισβήτησις, ὥσπερ Ἰφικράτης πρὸς Ναυσικράτην· ἔφη γὰρ ποιῆσαι ὃ ἔλεγεν καὶ βλάψαι, ἀλλ' οὐκ ἀδικεῖν. ἢ ἀντικαταλλάττεσθαι ἀδικοῦντα, εἰ βλαβερόν, ἀλλ' οὖν καλόν, εἰ λυπηρὸν ἀλλ' ὠφέλιμον ἤ τι ἄλλο τοιοῦτον. ἄλλος τόπος ὡς ἐστὶν ἁμάρτημα ἢ ἀτύχημα ἢ ἀναγκαῖον, οἷον Σοφοκλῆς ἔφη τρέμειν οὐχ ὡς ὁ διαβάλ-

33 λόγου ex A^c et Tr. Vict. et sic schol. 75a, 7, λόγων Π || 34 Alterum καὶ om. Tr. || 35 προοιμίου τὸ πρᾶγμα ΘΠ Ald. || ἢ om. QY^b Π Tr. || 36 τὸν ἀντιλέγοντα Tr. || βούλει A^c, cf. 1417a, 2 || 38 δὴ coni. Vict. || 39 αὐτοκαύδαλα Π schol. Ald., αὐτοκώδαλα Q, cf. var. ad 1408a, 12 || 1416a, 5 „sive subexistente aliquo" (ὑπόντος vel ὑπάρχοντός τινος?) Tr. || 6 τόπος ΘΠ schol., quod monente Spengelio (cf. infra 1416b, 1) restitui, τρόπος A^c et Tr. Vict. Bekker || 7 ἅπαντᾶν] ἅπαντα A^c || 8 τούτῳ ex codd. (A^c) et Tr. Vict., τοῦτο Y^b CE || ὡς] ὦι A^c || ἢ οὐ τηλικοῦτον . . . ἢ ὡς οὐκ ἄδικον . . ἢ ὡς οὐκ αἰσχρὸν coni. Thurot || 12 ἀδικῆσαι QBC Tr. schol. || ἀντιδικοῦντα pro ἀδικοῦντα coni. Madvig || 13 οὐ καλὸν A^c, unde Spengelius correxit οὖν, quod om. cet. || τόπος ΘΠ schol., τρόπος A^c et Tr., cf. supra ad 6.

Digitized by Google

λων ἔφη, ἵνα δοκῇ γέρων, ἀλλ' ἐξ ἀνάγκης· οὐ γὰρ ἑκόντι εἶναι αὐτῷ ἔτη ὀγδοήκοντα. καὶ ἀντικαταλλάττεσθαι τὸ οὗ ἕνεκα, ὅτι οὐ βλάψαι ἐβούλετο ἀλλὰ τόδε, καὶ οὐ τοῦτο ὃ διεβάλλετο ποιῆσαι, συνέβη δὲ βλαβῆναι· δίκαιον δὲ μισεῖν, εἰ ὅπως τοῦτο γένηται ἐποίουν. ἄλλος, εἰ 20 ἐμπεριείληπται ὁ διαβάλλων, ἢ νῦν ἢ πρότερον, ἢ αὐτὸς ἢ τῶν ἐγγύς. ἄλλος, εἰ ἄλλοι ἐμπεριλαμβάνονται, οὓς ὁμολογοῦσιν μὴ ἐνόχους εἶναι τῇ διαβολῇ, οἷον εἰ ὅτι καθάριος, [ὁ] μοιχός, καὶ ὁ δεῖνα ἄρα. ἄλλος, εἰ ἄλλους διέβαλεν, ἢ ἄλλος αὐτούς, ἢ ἄνευ διαβολῆς ὑπελαμβάνοντο 25 ὥσπερ αὐτὸς νῦν, οἳ πεφήνασιν οὐκ ἔνοχοι. ἄλλος ἐκ τοῦ ἀντιδιαβάλλειν τὸν διαβάλλοντα· ἄτοπον γὰρ εἰ ὃς αὐτὸς ἄπιστος, οἱ τούτου λόγοι ἔσονται πιστοί. ἄλλος, εἰ γέγονεν κρίσις, ὥσπερ Εὐριπίδης πρὸς Ὑγιαίνοντα ἐν τῇ ἀντιδόσει κατηγοροῦντα ὡς ἀσεβής, ὅς γ' ἐποίησε κελεύων 30 ἐπιορκεῖν·

ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

ἔφη γὰρ αὐτὸν ἀδικεῖν τὰς ἐκ τοῦ Διονυσιακοῦ ἀγῶνος κρίσεις εἰς τὰ δικαστήρια ἄγοντα· ἐκεῖ γὰρ αὐτῶν δεδωκέναι λόγον ἢ δώσειν, εἰ βούλεται κατηγορεῖν. ἄλλος

16 ἑκόντι ex A^c et cet. libris Gaisford et Bekker, ἑκοντὶ Y^{b}Z^{b}Ald. ‖ 18 ἠβούλετο ΘBDEAld., ἠβουλόμην schol. 75b, 19 ‖ 19 δίκαιος praefert Spengel ‖ 20 ὅπως] οὕτως A^c ‖ „fecisset" (ἐποίει) Tr. ‖ 22 τις ante τῶν ἐγγύς ead. man. supra lineam C et schol. et Tr.(?) ‖ 23 ὅτι καθάριος, μοιχός ex Riccoboni coniectura Spengel, καθαρὸς ὁ μοιχός libri omnes ‖ 24 Post ὁ δεῖνα repetunt καὶ ὁ δεῖνα ΘΠ schol., om. A^{c}Tr. et delevit Gaisford ‖ 25 διαβαλεῖν A^c εῖν in ras., διέβαλλεν ΘBschol. Ald. ‖ ἄλλος αὐτὸν Tr. et schol., ἄλλος αὐτὸς A^c, unde Spengel ἢ ἄλλος ἢ αὐτὸς coniecit ‖ 27 ἀντιδιαβάλλειν ex A^c Vict., τοῦ ἐναντίου διαβάλλειν ΘCD ETr., ἐκ τούναντίον B ‖ ὃς dedit Spengel, ὁ libri omnes praeter C, ubi ὧν αὐτὸς (an ex schol.?), et Q et Tr., qui ὁ omittunt ‖ 28 ἔσονται λόγοι ΘBCAld. ‖ 29 Ὑγιαίνετον coni. Valkenaer ‖ 30 εἰ in ἀντιδόσει in litura A^c ‖ ἀσεβοῦς scripsit Gaisford ‖ ὥς γ' A^c ‖ 31 ἐφιορκεῖν A^c ‖ ὀμώμοκεν A^c, ὤμοσεν QZ^{b}DE ‖ 33 εἰς om. A^c ‖ αὐτῶν Bekker ex A^c, αὐτὸν ΘΠ Tr. Ald. ‖ 34 ἠβούλετο ΘBTr., ἐβούλετο CDE.

Digitized by Google

35 ἐκ τοῦ διαβολῆς κατηγορεῖν, ἡλίκον, καὶ τοῦτο ὅτι ἄλλας κρίσεις ποιεῖ, καὶ ὅτι οὐ πιστεύει τῷ πράγματι. κοινὸς
1416b δ' ἀμφοῖν ὁ τόπος τὸ σύμβολα λέγειν, οἷον ἐν τῷ Τεύκρῳ ὁ Ὀδυσσεὺς ὅτι οἰκεῖος τῷ Πριάμῳ· ἡ γὰρ Ἡσιόνη ἀδελφή· ὁ δὲ ὅτι ὁ πατὴρ ἐχθρὸς τῷ Πριάμῳ, ὁ Τελαμών, καὶ ὅτι οὐ κατεῖπε τῶν κατασκόπων. ἄλλος τῷ διαβάλλοντι,
5 τῷ ἐπαινοῦντι μικρὸν μακρῶς ψέξαι μέγα συντόμως, ἢ πολλὰ ἀγαθὰ προθέντα, ὃ εἰς τὸ πρᾶγμα προφέρει ἓν ψέξαι. τοιοῦτοι δὲ οἱ τεχνικώτατοι καὶ ἀδικώτατοι· τοῖς ἀγαθοῖς γὰρ βλάπτειν πειρῶνται, μιγνύντες αὐτὰ τῷ κακῷ.

κοινὸν δὲ τῷ διαβάλλοντι καὶ τῷ ἀπολυομένῳ, ἐπειδὴ
10 τὸ αὐτὸ ἐνδέχεται πλειόνων ἕνεκα πραχθῆναι, τῷ μὲν διαβάλλοντι κακοηθιστέον ἐπὶ τὸ χεῖρον ἐκλαμβάνοντι, τῷ δὲ ἀπολυομένῳ ἐπὶ τὸ βέλτιον, οἷον ὅτι ὁ Διομήδης τὸν Ὀδυσσέα προείλετο, τῷ μὲν ὅτι διὰ τὸ ἄριστον ὑπολαμβάνειν τὸν Ὀδυσσέα, τῷ δ' ὅτι οὔ, ἀλλὰ διὰ τὸ μόνον μὴ ἀντα-
15 γωνιστὴν ὡς φαῦλον.

καὶ περὶ μὲν διαβολῆς εἰρήσθω τοσαῦτα, διήγησις δ' 16
ἐν μὲν τοῖς ἐπιδεικτικοῖς ἐστὶν οὐκ ἐφεξῆς ἀλλὰ κατὰ μέρος· δεῖ μὲν γὰρ τὰς πράξεις διελθεῖν ἐξ ὧν ὁ λόγος· σύγκειται γὰρ ἔχων ὁ λόγος τὸ μὲν ἄτεχνον, οὐθὲν γὰρ αἴτιος ὁ λέγων
20 τῶν πράξεων, τὸ δ' ἐκ τῆς τέχνης· τοῦτο δ' ἐστὶν ἢ ὅτι ἔστι δεῖξαι, ἐὰν ᾖ ἄπιστον, ἢ ὅτι ποιόν, ἢ ὅτι ποσόν, ἢ καὶ ἅπαντα. διὰ δὲ τοῦτ' ἐνίοτε οὐκ ἐφεξῆς δεῖ διηγεῖσθαι

35 ἐκ τοῦ ἐκ A^c ‖ 1416b, 3 Aut ὁ πατὴρ aut ὁ Τελαμών delendum videtur ‖ 4 καὶ ὅτι ⟨αὐτὸς⟩? ‖ 5 τῷ ante ἐπαινοῦντι om. QC et delendum censet Spengel, τὸ scripsit Bekker ‖ ἐπαινοῦντα ex schol. marg. édit. Venet., ἐπαινοῦντα μέγα συντόμως μικρὸν μακρῶς ψέξαι coni. Thurot ‖ 6 προθέντας Tr. ‖ 7 τοιοῦτοι γὰρ C ‖ 9 ἀπολογουμένω Y^b ‖ ἐπεὶ ΘΠ ‖ 11 κακοηθιστέον dubitanter delet Spengel, κακοηθέστερον C et schol. ‖ 14 ἀνταγωνιστὴν libri fere omnes et restitui, ἀνταγωνιστεῖν Y^bpr. C Bekker Spengel ‖ 16 et 17 μὲν om. Tr. ‖ 21 δεῖξαι ἢ ὅτι ἔστιν ΘCDETr. schol. Ald. ‖ ποῖον A^c.

Digitized by Google

πάντα, ὅτι δυσμνημόνευτον τὸ δεικνύναι οὕτως. ἐκ μὲν οὖν τούτων ἀνδρεῖος, ἐκ δὲ τῶνδε σοφὸς ἢ δίκαιος. καὶ ἁπλούστερος ὁ λόγος οὗτος, ἐκεῖνος δὲ ποικίλος καὶ οὐ 25 λιτός. δεῖ δὲ τὰς μὲν γνωρίμους ἀναμιμνήσκειν· διὸ οἱ πολλοὶ οὐδὲν δέονται διηγήσεως, οἷον εἰ θέλεις Ἀχιλλέα ἐπαινεῖν· ἴσασι γὰρ πάντες τὰς πράξεις, ἀλλὰ χρῆσθαι αὐταῖς δεῖ. ἐὰν δὲ Κρητίαν, δεῖ· οὐ γὰρ πολλοὶ ἴσασιν * * * νῦν δὲ γελοίως τὴν διήγησίν φασι δεῖν εἶναι ταχεῖαν. 30 καίτοι ὥσπερ ὁ τῷ μάττοντι ἐρομένῳ πότερον σκληρὰν ἢ μαλακὴν μάξῃ, τί δ'; ἔφη, εὖ ἀδύνατον; καὶ ἐνταῦθα ὁμοίως· δεῖ γὰρ μὴ μακρῶς διηγεῖσθαι ὥσπερ οὐδὲ προοιμιάζεσθαι μακρῶς, οὐδὲ τὰς πίστεις λέγειν· οὐδὲ γὰρ ἐνταῦθά ἐστι τὸ εὖ ἢ τὸ ταχὺ ἢ τὸ συντόμως, ἀλλὰ τὸ με- 35 τρίως· τοῦτο δ' ἐστὶ τὸ λέγειν ὅσα δηλώσει τὸ πρᾶγμα, ἢ ὅσα ποιήσει ὑπολαβεῖν γεγονέναι ἢ βεβλαφέναι ἢ ἠδι- 1417a κηκέναι, ἢ τηλικαῦτα ἡλίκα βούλει· τῷ δὲ ἐναντίῳ τὰ ἐναντία. παραδιηγεῖσθαι δὲ ὅσα εἰς τὴν σὴν ἀρετὴν φέρει, οἷον ἐγὼ δ' ἐνουθέτουν ἀεὶ τὰ δίκαια λέγων, μὴ τὰ τέκνα ἐγκαταλείπειν, ἢ θατέρου κακίαν· ὁ δὲ ἀπεκρίνατό μοι ὅτι, 5 οὐ ἂν ᾖ αὐτός, ἔσται ἄλλα παιδία, ὃ τοὺς ἀφισταμένους Αἰγυπτίους ἀποκρίνασθαί φησιν ὁ Ἡρόδοτος. ἢ ὅσα ἡδέα

23 δεικνύναι] ἐπιέναι C ‖ 26 τοὺς μὲν Tr. schol. Ald. ‖ 29 Post ἴσασιν in omnibus libris et excusis ante Victorium verba repetuntur I, 9 ἔστι δὲ — — μετατεθῇ 1367b, 26—1368a, 10. Lacunae signa appicta sunt, quod finis demonstrativi, principium iudicialis excidisse videntur ‖ 31 ἐρωμένωι A^c, ἐρωμένως Z^b, ἐρρωμένως E Ald. ‖ πότερον om. ΘBCE Ald. ‖ 32 μάξει ΘΠ Ald. ‖ εὖ ἔφη ΘBDETr., τί δὲ τὸ εὖ ἀδύνατον omisso ἔφη C ‖ 35 τῷ ταχὺ ΘBDETr., τῷ συντόμως ΘBDETr., τῷ μετρίως QZ^bTr., ἐν τῷ schol., τὸ A^c ed. Isingr., οὐδὲ ἐνταῦθά ἐστι τὸ εὖ τὸ ταχὺ ἢ τὸ συντόμως coni. Spengel ‖ 36 δ' ἔστι τὸ] δεῖ ὑπολέγειν A^c(?), „hoc autem est in dicendo" (ἐν τῷ λέγειν?) Tr. ‖ 1417a, 1 βεβλακέναι QZ^bDE ‖ 2 βούληι A^c, βούλεται Tr. ‖ 4 δὲ νουθετῶν A^c(?) ‖ 6 αὐτὸς ᾖ ΘΠ Ald. ‖ παιδία δ] πανδιο A^c ‖ ἢ δ ΘCDE, ἢ pr. delevit Vict. ex A^c ‖ 7 Αἰγυπτίους ex codd. (A^c) Vict., αἰγύπτου QZ^bDE.

Digitized by Google

τοῖς δικασταῖς. ἀπολογουμένῳ δὲ ἐλάττων ἡ διήγησις· αἱ γὰρ ἀμφισβητήσεις ἢ μὴ γεγονέναι ἢ μὴ βλαβερὸν εἶναι ἢ μὴ ἄδικον ἢ μὴ τηλικοῦτον, ὥστε περὶ τὸ ὁμολογούμενον οὐ διατριπτέον, ἐὰν μή τι εἰς ἐκεῖνο συντείνῃ, οἷον εἰ πέπρακται, ἀλλ' οὐκ ἄδικον. ἔτι πεπραγμένα δεῖ λέγειν ὅσα μὴ πραττόμενα ἢ οἶκτον ἢ δείνωσιν φέρει. παράδειγμα ὁ Ἀλκίνου ἀπόλογος, ὅτι πρὸς τὴν Πηνελόπην ἐν ἑξήκοντα ἔπεσιν πεποίηται. καὶ ὡς Φάϋλλος τὸν κύκλον, καὶ ὁ ἐν τῷ Οἰνεῖ πρόλογος. ἠθικὴν δὲ χρὴ τὴν διήγησιν εἶναι. ἔσται δὲ τοῦτο, ἂν εἰδῶμεν τί ἦθος ποιεῖ. ἓν μὲν δὴ τὸ προαίρεσιν δηλοῦν, ποιὸν δὲ τὸ ἦθος τῷ ποιὰν ταύτην· ἡ δὲ προαίρεσις ποιὰ τῷ τέλει. διὰ τοῦτο οὐκ ἔχουσιν οἱ μάθηματικοὶ λόγοι ἤθη, ὅτι οὐδὲ προαίρεσιν· τὸ γὰρ οὗ ἕνεκα οὐκ ἔχουσιν. ἀλλ' οἱ Σωκρατικοί· περὶ τοιούτων γὰρ λέγουσιν. ἄλλα ἠθικὰ τὰ ἑπόμενα ἑκάστῳ ἤθει, οἷον ὅτι ἅμα λέγων ἐβάδιζεν· δηλοῖ γὰρ θρασύτητα καὶ ἀγροικίαν ἤθους. καὶ μὴ ὡς ἀπὸ διανοίας λέγειν, ὥσπερ οἱ νῦν, ἀλλ' ὡς ἀπὸ προαιρέσεως· ἐγὼ δὲ ἐβουλόμην· καὶ προειλόμην γὰρ τοῦτο· ἀλλ' εἰ μὴ ὠνήμην, βέλτιον. τὸ μὲν γὰρ φρονίμου τὸ δὲ ἀγαθοῦ· φρονίμου μὲν γὰρ ἐν τῷ τὸ ὠφέλιμον διώκειν, ἀγαθοῦ δ' ἐν τῷ τὸ καλόν. ἂν δ' ἄπιστον ᾖ, τότε τὴν αἰτίαν ἐπιλέγειν, ὥσπερ Σοφοκλῆς ποιεῖ· παράδειγμα τὸ ἐκ τῆς Ἀντιγόνης, ὅτι μᾶλλον τοῦ ἀδελφοῦ ἐκήδετο ἢ ἀνδρὸς ἢ τέκνων· τὰ μὲν γὰρ ἂν γενέσθαι ἀπολόμενα,

μητρὸς δ' ἐν Ἅιδου καὶ πατρὸς βεβηκότων
οὐκ' ἔστ' ἀδελφὸς ὅς τις ἂν βλάστοι ποτέ.

9 γὰρ dedit Spengel, δὲ libri omnes ‖ 10 η in μὴ ante ἄδικον infra lineam A^c ‖ 11 διατρεπτέον QZ^{b}DEAld. ‖ 14 Ἀλκινόου ΘDEAld. ‖ ὅτι ex codd. (A^c) Vict., ὅτε DE ‖ τριάκοντα coni. Victorius (ψ 310—341 omisso versu spurio 320) ‖ 15 ἔτεσι ΘD (non A^c) ‖ κύκλον ex codd. (A^c) Vict., κύκλωπα corr. Y^{b}B ‖ 16 δεῖ ΘΠAld. ‖ 20 γὰρ οὕνεκα A^c ‖ 22 ἀλλὰ QZ^{b}C, ἄλλα δὲ DEAld. ‖ 26 ὠνίμην A^c ‖ 29 Post ποιεῖ pr. Vict. et Buhleus distinxerunt, ceteri coniungunt ‖ 33 ἀναβλάστοι A^cZ^{b}E, ἂν βλαστῇ Q.

Digitized by Google

ἐὰν δὲ μὴ ἔχῃς αἰτίαν, ἀλλ' ὅτι οὐκ ἀγνοεῖς ἄπιστα λέγων, ἀλλὰ φύσει τοιοῦτος εἶ· ἀπιστοῦσι γὰρ ἄλλο τι πράττειν ἑκόντα πλὴν τὸ συμφέρον. ἔτι ἐκ τῶν παθητικῶν λέγε διηγούμενος καὶ τὰ ἑπόμενα καὶ ἃ ἴσασι, καὶ τὰ ἴδια ἢ αὐτῷ ἢ ἐκείνῳ προσόντα· ὁ δ' ᾧχετό με ὑποβλέψας. καὶ ὡς περὶ Κρατύλου Αἰσχίνης, ὅτι διασίζων, τοῖν χεροῖν διασείων· πιθανὰ γάρ, διότι σύμβολα γίγνεται ταῦτα ἃ ἴσασιν ἐκείνων ὧν οὐκ ἴσασιν. πλεῖστα δὲ τοιαῦτα λαβεῖν ἐξ Ὁμήρου ἔστιν.

ὧς ἄρ' ἔφη, γρῆυς δὲ κατέσχετο χερσὶ πρόσωπα· οἱ γὰρ δακρύειν ἀρχόμενοι ἐπιλαμβάνονται τῶν ὀφθαλμῶν. καὶ εὐθὺς εἰσάγαγε καὶ σεαυτὸν ποιόν τινα, ἵνα ὡς τοιοῦτον θεωρῶσιν καὶ τὸν ἀντίδικον· λανθάνων δὲ ποίει. ὅτι δὲ ῥᾴδιον, ὁρᾶν ἐκ τῶν ἀπαγγελλόντων· περὶ ὧν γὰρ μηθὲν ἴσμεν, ὅμως λαμβάνομεν ὑπόληψιν τινά. πολλαχοῦ δὲ δεῖ διηγεῖσθαι, καὶ ἐνίοτε οὐκ ἐν ἀρχῇ.

ἐν δὲ δημηγορίᾳ ἥκιστα διήγησις ἔστιν, ὅτι περὶ τῶν μελλόντων οὐθεὶς διηγεῖται· ἀλλ' ἐάν περ διήγησις ᾖ, τῶν γενομένων ἔσται, ἵνα ἀναμνησθέντες ἐκείνων βέλτιον βουλεύσωνται περὶ τῶν ὕστερον. ἢ διαβάλλοντες, ἢ ἐπαινοῦντες. ἀλλὰ τότε οὐ τὸ τοῦ συμβούλου ποιεῖ ἔργον. ἂν δ' ᾖ ἄπιστον, ὑπισχνεῖσθαί τε καὶ αἰτίαν λέχειν εὐθύς, καὶ διατάττειν οἷς βούλονται, οἷον ἡ Ἰοκάστη ἡ Καρκίνου ἐν τῷ

37 λέγε διηγούμενος ex A^c et Tr. (?) Spengel, δεῖ λέγειν C, λέγειν διηγούμενον cet. ‖ 38 ἢ αὐτῷ] ἑαυτῷ ΘBCD Ald., σεαυτῷ dubitanter proposuit Spengel ‖ Post ὑποβλέψας ἄγριον καὶ μανικὸν addit schol. (?) ‖ 1417b, 2 καὶ ante τοῖν om. A^c, itaque delevi, καὶ ταῖν ΘΠ Ald. ‖ 7 εἰσάγει καὶ σεαυτὸν A^c, εἴσαγε praefert Spengel, καί, quod et Tr. et schol. exhibent, retinui, om. cet. ‖ 8 ὅτι ῥᾴδιον ὁρᾶν δὲ A^c, ὅτι δὲ ῥᾴδιον, ὁρᾶν δεῖ cet., δὲ transposuit Spengel ‖ 10 πανταχοῦ schol. et Tr. ‖ 11 δεῖ om. Y^b (non A^c) ‖ οὐκ] καὶ ed. Isingr. Buhle Gaisford ‖ 15 ἢ διαβάλλοντες ἢ ἐπαινοῦντες male addita esse putat Spengel ‖ 16 ποιεῖ ex codd. (A^c) et Tr. pr. Vict., ποιοῦσι DE ‖ 17 ὑπισχνεῖσθαι A^c ‖ „et vadiare quibus volunt" Tr. (διατάττειν vix invenisse videtur, an διαιτᾶσθαι vel διαιτηταῖς?).

Digitized by Google

Οἰδίποδι ἀεὶ ὑπισχνεῖται πυνθανομένου τοῦ ζητοῦντος τὸν
20 υἱόν, καὶ ὁ Αἵμων ὁ Σοφοκλέους.

τὰς δὲ πίστεις δεῖ ἀποδεικτικὰς εἶναι· ἀποδεικνύναι δὲ 17
χρή, ἐπεὶ περὶ τεττάρων ἡ ἀμφισβήτησις, περὶ τοῦ ἀμφισβη-
τουμένου φέροντα τὴν ἀπόδειξιν, οἷον εἰ ὅτι οὐ γέγονεν
ἀμφισβητεῖται ἐν τῇ κρίσει, δεῖ τούτου μάλιστα τὴν ἀπόδειξιν
25 φέρειν, εἰ δ' ὅτι οὐκ ἔβλαψεν, τούτου, καὶ ὅτι οὐ τοσόνδε
ἢ ὅτι δικαίως, ὡσαύτως καὶ εἰ περὶ τοῦ γενέσθαι τοῦτο ἡ
ἀμφισβήτησις. μὴ λανθανέτω δ' ὅτι ἀναγκαῖον ἐν ταύτῃ
τῇ ἀμφισβητήσει μόνῃ τὸν ἕτερον εἶναι πονηρόν· οὐ γάρ
ἐστιν ἄγνοια αἰτία, ὥσπερ ἂν εἴ τινες περὶ τοῦ δικαίου ἀμ-
30 φισβητοῖεν, ὥστ' ἐν τούτῳ χρηστέον, ἐν δὲ τοῖς ἄλλοις οὔ.
ἐν δὲ τοῖς ἐπιδεικτικοῖς τὸ πολύ, ὅτι καλὰ καὶ ὠφέλιμα, ἡ
αὔξησις ἔσται· τὰ γὰρ πράγματα δεῖ πιστεύεσθαι· ὀλιγάκις
γὰρ καὶ τούτων ἀποδείξεις φέρουσιν, ἐὰν ἄπιστα ᾖ ἢ ἐὰν
ἄλλος αἰτίαν ἔχῃ. ἐν δὲ τοῖς δημηγορικοῖς ἢ ὡς οὐκ ἔσται ἀμ-
35 φισβητήσειεν ἄν τις, ἢ ὡς ἔσται μὲν ἃ κελεύει, ἀλλ' οὐ δίκαια
ἢ οὐκ ὠφέλιμα ἢ οὐ τηλικαῦτα. δεῖ δὲ καὶ ὁρᾶν εἴ τι
ψεύδεται ἐκτὸς τοῦ πράγματος. τεκμήρια γὰρ ταῦτα φαίνεται
1418a καὶ τῶν ἄλλων ὅτι ψεύδεται. ἔστιν δὲ τὰ μὲν παραδείγματα
δημηγορικώτατα, τὰ δ' ἐνθυμήματα δικανικώτερα· ἡ μὲν

22 Post χρὴ ⟨ἐν μὲν τοῖς δικανικοῖς⟩ inserendum censet Spengel ‖ 24 ἀμφισβητεῖται Tr., quod etiam Madvigius coniecerat, recepimus eundemque secuti sumus in oratione interpungenda, cet. ἀμφισβητεῖ vel ἀμφισβητεῖν ut BC ‖ 25 εἴθ' ὅτι A^c et Tr., ἢ ὅτι E et edd. ante Vict. ‖ 26 εἰ et ἡ om. A^c et Tr. Spengel ‖ ὡσαύτως ὡς καὶ περὶ τοῦ γενέσθαι τοῦτο ἀμφισβήτησις coni. Madvig ‖ 29 ἀμφισβητεῖεν A^c ‖ 30 χρηστέον ex A^c Tr. schol. recepi, χρονιστέον ΘΠ Bekker^3 Spengel ‖ 31 καὶ] ἢ ΘDEAld. ‖ 34 ἄλλος recte libri omnes, ἄλλως ex coniectura Bekkeri Spengel ‖ 36 τις ψεύδεται ἐκ τοσούτου πράγματος A^c Tr. (nec contemnenda videtur haec optimorum librorum lectio, si τι et τοῦ scribitur; nunquam enim, nisi fallor, Aristot. dicit ἐκτὸς τοῦ πράγματος, sed semper ἔξω τοῦ πράγματος. Praeterea cf. supra 1354b, 27 ὅτι ἧττόν ἐστι κτλ. De ἐκ cf. et Polit. 1254a, 31 et Indicem. Mus. Rhen. l. l. p. 508.

Digitized by Google

γὰρ περὶ τὸ μέλλον, ὥστ' ἐκ τῶν γενομένων ἀνάγκη παραδείγματα λέγειν, ἡ δὲ περὶ ὄντων ἢ μὴ ὄντων, οὗ μᾶλλον ἀπόδειξίς ἐστι καὶ ἀνάγκη· ἔχει γὰρ τὸ γεγονὸς ἀνάγκην. 5 οὐ δεῖ δὲ ἐφεξῆς λέγειν τὰ ἐνθυμήματα, ἀλλ' ἀναμιγνύναι· εἰ δὲ μή, καταβλάπτει ἄλληλα. ἔστιν γὰρ καί τοῦ ποσοῦ ὅρος.

ὦ φίλ', ἐπεὶ τόσα εἶπες ὅσ' ἂν πεπνυμένος ἀνήρ,

ἀλλ' οὐ τοιαῦτα. καὶ μὴ περὶ πάντων ἐνθυμήματα ζητεῖν· εἰ δὲ μή, ποιήσεις ὅ περ ἔνιοι ποιοῦσι τῶν φιλοσοφούντων, 10 οἳ συλλογίζονται τὰ γνωριμώτερα καὶ πιστότερα ἢ ἐξ ὧν λέγουσιν. καὶ ὅταν πάθος ποιῇς, μὴ λέγε ἐνθύμημα· ἢ γὰρ ἐκκρούσει τὸ πάθος ἢ μάτην εἰρημένον ἔσται τὸ ἐνθύμημα· ἐκκρούουσι γὰρ αἱ κινήσεις ἀλλήλας αἷ ἅμα, καὶ ἢ ἀφανίζουσιν ἢ ἀσθενεῖς ποιοῦσιν. οὐδ' ὅταν ἠθικὸν τὸν 15 λόγον, οὐ δεῖ ἐνθύμημά τι ζητεῖν ἅμα· οὐ γὰρ ἔχει οὔτε ἦθος οὔτε προαίρεσιν ἡ ἀπόδειξις. γνώμαις δὲ χρηστέον καὶ ἐν διηγήσει καὶ ἐν πίστει· ἠθικὸν γάρ, καὶ ἐγὼ δέδωκα, καὶ ταῦτ' εἰδὼς ὡς οὐ δεῖ πιστεύειν. ἐὰν δὲ παθητικῶς, καὶ οὐ μεταμέλει μοι καίπερ ἠδικημένῳ· τούτῳ μὲν 20 γὰρ περίεστιν τὸ κέρδος, ἐμοὶ δὲ τὸ δίκαιον. τὸ δὲ δημηγορεῖν χαλεπώτερον τοῦ δικάζεσθαι, εἰκότως, διότι περὶ τὸ μέλλον· ἐκεῖ δὲ περὶ τὸ γεγονός, ὃ ἐπιστητὸν ἤδη καὶ τοῖς μάντεσιν, ὡς ἔφη Ἐπιμενίδης ὁ Κρής. ἐκεῖνος γὰρ περὶ τῶν ἐσομένων οὐκ ἐμαντεύετο, ἀλλὰ περὶ τῶν γεγονότων 25 μὲν ἀδήλων δὲ. καὶ ὁ νόμος ὑπόθεσις ἐν τοῖς δικανικοῖς·

1418a, 2 *„magis concionalia“* (δημηγορικώτερα) Tr. et sic Bekker[3] contra cet. librorum auctoritatem ‖ 3 παράδειγμα Tr. ‖ 4 περὶ τὸ ὂν ἢ μὴ ὄν coni. Spengel ‖ 9 καὶ μὴ — ζήτει praefert Spengel ‖ 11 τὰ πιστότερα καὶ γνωριμώτερα C, καὶ πιστότερα om. Q ‖ 16 ἐνθυμήματι ζητεῖν A^{c}, ἐνθυμηματίζειν C schol. Tr. ‖ 18 ἐν διηγήσεσι Tr. schol. ‖ καὶ ante ἐγὼ om. ΘΠ schol. Ald. ‖ 20 *„huic quidem .. acquisitum est“* (πεπόρισται?) Tr. ‖ 24 κρατ$^{\varsigma}$ (κράτης) A^{c}.

Digitized by Google

ἔχοντα δὲ ἀρχὴν ῥᾷον εὑρεῖν ἀπόδειξιν. καὶ οὐκ ἔχει πολλὰς διατριβάς, οἷον πρὸς ἀντίδικον ἢ περὶ αὑτοῦ, ἢ παθητικὸν ποιεῖν. ἀλλ' ἥκιστα πάντων, ἐὰν μὴ ἐξιστῇ. δεῖ οὖν
